Chalcondylas
Erotemata

28-5

Moschopul
Erotemata

27

I
00157

BIBLIOTECA
DE LA
Universidad de Salamanca.
Sala 2 Est. 13 Tab. 4 Núm. 4

157

n 157

ς Κόσμου ~~πόσα~~ δημιουργίας

Chalcondyla

I
00157

b18617037

Num. 28. cax. 5. num. 22.

Τὰ ἐν τῇ γραμματικῇ εὑρισκόμενα σφάλματα ἐν ταύ-
τῃ περιέχονται τῇ σελίδι καὶ τινὲς ἐπισημειώσεις.

Ἐν τῷ ἑβδόμῳ φύλλῳ τοῦ πρώτου τετραδίου ἐν τῇ δευτέρᾳ
σελίδι κατὰ τὸ τέλος λείπει ὦ δημοσθένεες καὶ δημοσθένεις.

Ἐν τῷ ὀγδόῳ τοῦ αὐτοῦ ἐν τῇ πρώτῃ σελίδι ἐν τῷ ὀκτὼ καὶ
δεκάτῳ στίχῳ τό, εὐθείας καί, περιττεύει.

Ἐν δὲ τῷ δευτέρῳ φύλλῳ τοῦ δευτέρου τετραδίου ἐν τῷ
ἐνάτῳ στίχῳ τοῦ δευτέρου καταβατοῦ λείπει εἰς πρὸ τοῦ ιε.

Ἐν τῷ τετάρτῳ φύλλῳ τοῦ αὐτοῦ ἐν τῷ εἰκοστῷ τετάρτῳ
στίχῳ τῆς δευτέρας σελίδος ἐσσαρμαι γραπτέον. Ἐν τῷ ἑβ-
δόμῳ φύλλῳ τοῦ αὐτοῦ ἐν τῇ πρώτῃ σελίδι ἐπὶ τοῦ τέ-
λους λείπει μέσος ἀόριστος δεύτερος. ἐὰν τύπωμαι τύ-
πῃαι τύπῃ τύπηται. Δ. ἐὰν τυπώμεθον τύπησθον τύ-
πησθον. πλ. ἐὰν τυπώμεθα τύπησθε τύπωνται.

Ἐν τῷ τρίτῳ φύλλῳ τοῦ τρίτου τετραδίου ἐν τῇ πρώτῃ σελίδι.
ἐν τῷ πέμπτῳ στίχῳ λείπει ἀόριστος πρῶτος ποιηθείην. ης. η.

Ἐν τῷ πέμπτῳ φύλλῳ τοῦ αὐτοῦ ἐπὶ τῆς δευτέρας σελίδος
ἐν τῷ εἰκοστῷ στίχῳ μεταγραπτέον χρυσοέσθω χρυσούσθω
χρυσοέσθον χρυσούσθον χρυσοέσθων χρυσούσθων χρυσό-
εσθε χρυσοῦσθε χρυσοέσθωσαν χρυσούσθωσαν.

Ἐν τῷ πρώτῳ φύλλῳ τοῦ τετάρτου τετραδίου ἐπὶ τῆς δευ-
τέρας σελίδος ἐν τῷ ἑβδόμῳ στίχῳ λείπει τό, ἵστασθαι.
μετοχαὶ παθητικαὶ ἐνεστῶτος καὶ παρατατικός.

Ἐν τῷ τετάρτῳ φύλλῳ τοῦ πέμπτου τετραδίου ἐπὶ τῆς
πρώτης σελίδος ἐν τῷ τριακοστῷ πρώτῳ στίχῳ μεταγρα-
πτέον ὁ παρακείμενος. Ἐν δὲ τῷ τριακοστῷ τρίτῳ προσθετέ-
ον μετὰ τὸ ἔψαλκα σεσημείωται τὸ πέπτωκα κέκτημαι
μέμνημαι. Ἔτι ἐν τῷ τετάρτῳ τοῦ αὐτοῦ ἐπὶ τῆς δευτέ-
ρας σελίδος ἐν τῷ εἰκοστῷ ἑβδόμῳ στίχῳ γραπτέον ἀλείφα
διὰ τοῦ ι μόνον. Ἐν δὲ τῷ τριακοστῷ πρὸ τοῦ ἑώρων προσθετέον
ὥρων. ἐν δὲ τῷ τριακοστῷ τετάρτῳ ἐξαιρείσθω τὸ ἀλείλιμμαι

Ἐν τῷ πέμπτῳ τοῦ αὐτοῦ ἐν τῷ ἑβδόμῳ στίχῳ τῆς πρώτης
σελίδος ἐξαιρείσθω τὸ ὁμοίως. προστεθείσθω δὲ τὰ καὶ με-
τὰ τὸ δὲ ἐξαιρείσθω καὶ τά.

Ἐν τῷ ἑβδόμῳ φύλλῳ τοῦ αὐτοῦ ἐπὶ τῆς δευτέρας σελίδος

καταβατοῦ. appellat sufficiem q[uem] alias dicit σελίδα.

Ἐν τῷ εἰκοστῷ στίχῳ ἀντὶ τοῦ ἐν θέσει τῆς μὴ προσθέσει τῆς μὴν γραπτέον. ἐν δὲ τῷ εἰκοστῷ πρώτῳ μετὰ τὸ δεύτερος προσθετέον ἐν θέσει τῆς μή.

Ἐν τῷ πρώτῳ φύλλῳ τοῦ ἕκτου ἐπὶ τῆς δευτέρας σελίδος ἐν τῷ τεσσαρεσκαιδεκάτῳ στίχῳ μετὰ τὸ τύψῃ προσθετέον σεσημείωται τὸ βούλομαι βούλει. οἴομαι οἴει ὄψομαι ὄψει ἃ διὰ τῆς ε καὶ ι διφθόγγου γράφονται.

Ἐν τῷ τρίτῳ φύλλῳ τοῦ αὐτοῦ ἐν τῷ ἑνδεκάτῳ στίχῳ τῆς πρώτης σελίδος προσθετέον καί τινα τῆς δευτέρας συζυγίας. οἷον πρίαμαι δύναμαι κρέμαμαι.

Ἐν τῷ τετάρτῳ φύλλῳ τοῦ αὐτοῦ ἐν τῷ τρίτῳ στίχῳ τῆς πρώτης σελίδος μετὰ τὸ οὐκ ἀνάβαθι προστεθήτω. σεσημειώσθω μέντοι ἔνια τῶν προστακτικῶν τῶν εἰς ε καθαρὸν ληγόντων μετὰ ποιήσει τοῦ ε εἰς θι κλίνεσθαι. οἷον ἴε ἴθι ἴτω. κλύε κλῦθι. ἵλαε ἵλαθι. δέδιε δέδιθι.

Ἔτι ἐν τῷ τετάρτῳ τοῦ αὐτοῦ ἐν τῷ τριακοστῷ δευτέρῳ στίχῳ τῆς δευτέρας σελίδος μετὰ τὸ πληθυντικῶν προσκείσθω καὶ παθητικῶν.

Ἐν τῷ ἕκτῳ φύλλῳ τοῦ αὐτοῦ ἐν τῷ εἰκοστῷ πρώτῳ στίχῳ τῆς πρώτης σελίδος. προστιθέσθω ὡς ἐξαιρεῖται τὸ ἐὰν δύνωμαι. πρίωμαι. κρέμωμαι. ἐπίστωμαι προπαροξυνόμενα.

Ἐν τῷ τρίτῳ φύλλῳ τοῦ ἑβδόμου τετραδίου ἐν τῷ δεκάτῳ ἕκτῳ στίχῳ προστεθήτω μετὰ τὸ ἀπὸ τοῦ ἀμφιέω.

Ἐν τῷ τετάρτῳ φύλλῳ τοῦ αὐτοῦ ἐν τῷ δεκάτῳ στίχῳ τῆς δευτέρας σελίδος, προσθετέον ὁ μέσος ἐδηδα ὅθεν παρὸν ἥρως τό, κατὰ ταῦρον ἐδηδώς.

Ἐν τῷ ἕκτῳ φύλλῳ τοῦ αὐτοῦ ἐν τῷ πρώτῳ στίχῳ τῆς πρώτης σελίδος μετὰ τὸ ἀχρήστου προσθετέον ἢ τοῦ πεδόω κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ μέσου εἰς τὸ ψιλὸν πεπέδωκα πέπωκα.

*Ego Commendatarius fernandus nugnius pincianus emi hunc codicem* [illegible] *precio unius nummi aurei*



Δημητρίου Χαλκονδύλου ἐρωτήματα συνοπτικὰ τῶν ὀκτὼ τοῦ λόγου μερῶν μετά τινων χρησίμων κανόνων.

## Περὶ διαιρέσεως τῶν γραμμάτων.

Εἰς πόσα διαιροῦνται τὰ εἰκοσιτέσσαρα γράμματα, εἰς δύο εἰς φωνήεντα καὶ εἰς σύμφωνα. Πόσα φωνήεντα ἑπτά. α. ε. η. ι. ο μικρὸν υ ψιλὸν καὶ ω μέγα. εἰς πόσα διαιροῦνται τὰ ἑπτὰ φωνήεντα εἰς τρία εἰς μακρὰ εἰς βραχέα καὶ εἰς δίχρονα. Πόσα μακρὰ δύο η. καὶ ω μέγα. Πόσα βραχέα δύο. ε. ψιλὸν καὶ ο μικρόν. Πόσα δίχρονα τρία. α. ι. υ. Πόσαι δίφθογγοι κυρίως ἕξ. αι. αυ. ει. ευ. οι. ου. καταχρηστικῶς δὲ τέσσαρες. ᾳ. ῳ. ῃ. υι. Πόσα σύμφωνα δεκαεπτά. β. γ. δ. ζ. θ. κ. λ. μ. ν. ξ. π. ρ. σ. τ. φ. χ. ψ. εἰς πόσα διαιροῦνται τὰ δεκαεπτὰ σύμφωνα. εἰς δύο εἰς ἡμίφωνα καὶ ἄφωνα. Πόσα ἡμίφωνα ὀκτώ ζ. ξ. ψ. λ. μ. ν. ρ. σ. εἰς πόσα διαιροῦνται τὰ ὀκτὼ ἡμίφωνα. εἰς τρία εἰς διπλᾶ εἰς ἀμετάβολα καὶ εἰς τὸ σ. Πόσα διπλᾶ τρία. ζ. ξ. ψ. Πόσα ἀμετάβολα τέσσαρα. λ. μ. ν. ρ. Πόσα ἄφωνα ἐννέα. β. γ. δ. κ. π. τ. θ. φ. χ. εἰς πόσα διαιροῦνται τὰ ἐννέα ἄφωνα εἰς τρία. εἰς ψιλὰ εἰς δασέα καὶ εἰς μέσα. Πόσα ψιλὰ τρία. κ. π. τ. Πόσα δασέα τρία. θ. φ. χ. Πόσα μέσα τρία. β. γ. δ. καὶ ἔστι τὸ μὲν. β. μέσον τοῦ. π. καὶ. φ. τὸ δὲ. γ. μέσον τοῦ. κ. καὶ. χ. τὸ δὲ. δ. μέσον τοῦ. τ. καὶ. θ. ἀντιστοιχεῖ δὲ τὰ δασέα τοῖς ψιλοῖς. τὸ μὲν. φ. τῷ. π. τῷ δὲ κ. τὸ. χ. τὸ δὲ. θ. τῷ. τ. ἐκ δὲ τῶν διῃρημένων τῶν δὲ γραμμάτων αἱ συλλαβαὶ γίνονται ὅθεν αἱ λέξεις ἐξ ὧν ὁ λόγος.

## Περὶ συλλαβῆς.

Τί ἐστι συλλαβή σύνελευσις τοὐλάχιστον δύο γραμμάτων καταχρηστικῶς δὲ καὶ αἱ μονογράμματοι συλλαβαὶ λέγονται οἷον. α. ε. εἰς πόσα διαιρεῖται ἡ συλλαβὴ εἰς τρία εἰς μακρὰν εἰς βραχεῖαν καὶ εἰς κοινήν.



η. ω
ε. ω
α. ι. υ
Dipthon. ppriè
αι. αυ. ει. ευ. οι. ου
Dipthon. impr.
ᾳ. ῳ. ῃ. υι
Semiuocales 8
ζ. ξ. ψ
λ. μ. ν. ρ
σ.
Mutae 9
κ. π. τ
χ. φ. θ
γ. β. δ.

Dipthongi improprie . 4
ᾳ. ῳ. ῃ. υι

περὶ μακρᾶς συλλαβῆς.

*Syllabá diphthógú habenté longá esse natura.*

Ἔστι δὲ ἡ μακρὰ συλλαβὴ ἢ φύσει ἢ θέσει. φύσει μὲν ὁπόταν ἐν τῶν μακρῶν φωνηέντων ἐκφέρηται· οἷον ἥρως· ἢ δίφθογγον οἷον αἴας· ἢ ἐν τῶν διχρόνων ἐκτεινόμενον ἔχῃ οἷον λᾶας. θέσει δὲ ὅταν μετὰ τὸ ἐν αὐτῇ φύσει βραχὺ φωνῆεν δύο σύμφωνα ὁπωσοῦν ἐπιφέρηται οἷον ἔργον· πλὴν εἰ ἄφωνον ἀμεταβόλου προηγεῖται. τότε γὰρ κοινὴ γίνεται δυναμένη μακρὰ εἶναι ἡ αὐτὴ καὶ βραχεῖα. οἷον ἀγρός.

περὶ κοινῆς συλλαβῆς.

*Cómuns syllabá 3 modis*

Γίνεται δὲ κατὰ τρεῖς τρόπους ἡ κοινὴ συλλαβή· ἤτοι ὅταν εἰς φωνῆεν μακρὸν λήγῃ καὶ εἰς μέρος λόγου καταπεραιοῖ, εἶτα τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην οἷον οὔτι μοι αἰτίη ἐσσί· ἢ ὅταν βραχεῖα οὖσα καταπεραιοῖ εἰς μέρος λόγου καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην οἷον νέστορα δ' οὐκ ἔλαθεν ἰαχή· ἢ ὅταν βραχεῖ φωνήεντι ἢ διχρόνῳ κατὰ συστολὴν παραλαμβανομένῳ δύο σύμφωνα ἐπιφέρηται τὸ μὲν δεύτερον ἀμετάβολον τὸ δὲ ἡγούμενον ἐν τῶν ἀφώνων. οἷον πάτροκλέ μοι δειλῇ.

*Homer.* *Homer.*

περὶ βραχείας συλλαβῆς.

Τί ἐστι βραχεῖα συλλαβή; ἡ ἔχουσα βραχὺ φωνῆεν ἢ δίχρονον κατὰ συστολὴν παραλαμβανόμενον. οἷον λόγος. φίλος. μοῦσα.

περὶ προσῳδιῶν

περὶ προσῳδιῶν.

Πόσαι προσῳδίαι; δέκα. ὀξεῖα. / . βαρεῖα. \ . περισπωμένη. ⌒ . μακρὰ. – . βραχεῖα. ∪ . δασεῖα. c . ψιλή. ɔ . ἀπόστροφος. ɔ . ὑφὲν. ‿ . καὶ ὑποδιαστολή. , . Εἰς πόσα διαιροῦνται αἱ δέκα προσῳδίαι; εἰς τέσσαρα. εἰς τόνους. εἰς χρόνους. εἰς πνεύματα καὶ εἰς πάθη.

περὶ τόνου

περὶ τόνων.

*Acuti loca 3.*

Πόσοι τόνοι; τρεῖς. ἡ ὀξεῖα. ἡ βαρεῖα καὶ ἡ περισπωμένη. Πόσοι τόποι τῆς ὀξείας; τρεῖς. ἡ λήγουσα· ἡ παραλήγουσα καὶ ἡ προπαραλήγουσα. καὶ καλεῖται τὸ μὲν ἐπὶ τῆς ληγούσης ἔχον τὴν ὀξεῖαν ὀξύτονον. τὸ δὲ ἐπὶ τῆς παραληγούσης παροξύτονον καὶ βαρύτονον. τὸ δὲ ἐπὶ τῆς προπαραληγούσης προπαροξύτονον καὶ βαρύτονον. Ποῖος

ὀξύτονον

παροξύτονον ἢ βαρύτονον

προπαροξύτονον ἢ βαρύτονον



ἐστὶ τῆς βαρείας ὁ τόπος; πᾶσαι αἱ καθ' ὁμαλισμὸν ἀναγινωσκόμεναι συλλαβαί. τίθεται δὲ οὐκ ἐπὶ πασῶν, ἀλλ' ἐπὶ μόνων τῶν ὀξυτονουμένων, ὅταν κατὰ συνέπειαν ἀναγινώσκωνται. Πόσοι τόποι τῆς περισπωμένης; δύο. ἡ λήγουσα καὶ ἡ παραλήγουσα καὶ καλεῖται τὸ μὲν ἐπὶ τῆς ληγούσης ἔχον τὴν περισπωμένην περισπώμενον. τὸ δὲ ἐπὶ τῆς παραληγούσης προπερισπώμενον καὶ βαρύτονον.

*Grauis accét loca*

*Circúflexi loca*

περισπώμενον

προπερισπώμενον ἢ βαρύτονον

περὶ χρόνων

περὶ χρόνων.

Πόσοι χρόνοι; δύο, ἡ μακρὰ καὶ ἡ βραχεῖα. ἔστι δὲ βραχεῖα σημεῖον συστελλομένου φωνήεντος. ἐτίθετο γὰρ ἐπὶ τῶν ἀμφιβαλλομένων φωνηέντων καὶ δυνάμει ἀμφότερα ὄντων ἐν τοῖς ἐμμέτροις οἷον ἀπόλλων, ἐπάνω γὰρ τοῦ α ἐτίθεσαν τὸ σημεῖον τῆς βραχείας. μακρὰ δέ ἐστι σημείωσις ἐκτεινομένου φωνήεντος οἷον ἄρες ἄρες.

περὶ πνευματος

περὶ πνεύματος.

Πόσα πνεύματα; δύο ἡ δασεῖα καὶ ἡ ψιλή. Ποῖός ἐστι τῶν πνευμάτων ὁ τόπος; πάντα τὰ ἀρκτικὰ τῶν λέξεων φωνήεντα οἷον ἄνθρωπος, ὅμηρος. καὶ τῶν συμφώνων μόνον τὸ ρ. ἐν ἀρχαῖς τῶν λέξεων εὑρισκόμενον οἷον ῥῆμα.

περὶ παθων

περὶ παθῶν.

Πόσα πάθη; τρία ἡ ἀπόστροφος ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολή. Τί ἐστιν ἀπόστροφος; σημεῖον ἐκθλίψεως φωνήεντος ἢ φωνηέντων οἷον τοῦτ' ἐστι, βούλομ' ἐγώ. τίθεται δὲ ἡ ἀπόστροφος ἀντὶ τεσσάρων φωνηέντων. ἀντὶ βραχέος α. οἷον ἆρα οὗτος ἄρ' οὗτος. ἀντὶ βραχέος ο. οἷον τοῦτο ἐμόν τοῦτ' ἐμόν. ἀντὶ βραχέος ι. οἷον ἐπὶ ἡμῖν ἐφ' ἡμῖν. ἀντὶ τοῦ ε. οἷον φέρε εἰπέ. φέρ' εἰπέ. παρὰ ποιηταῖς δὲ καὶ ἀντὶ τῆς αι διφθόγγου ἢ τῆς

*Pro qbus uocalib. ponitur apostro.*

*Apud poetas poni apostrophum pro. αι. diphthó & pro. οι.*

οἱ τῆς διὰ τοῦ ο καὶ τίθεται οἷον βουλομένοιο· καὶ οἴμ' ὡς ἄχθομαι. Τί ἐστιν ὑφέν; σημεῖον συναφείας δύο λέξεων. ὑπόκειται γὰρ ἢ δυσὶν λέξεσιν φύσει διῃρημέναις οἷον τὴν ἀρχήν· ἢ συνθέτοις ἐκ δυοῖν ἢ καὶ πλειόνων οἷον πασιμέλουσα, θριμβεπιδώρου. Τί ἐστιν ὑποδιαστολή; σημεῖον διαστάσεως λέξεων οἷον ὅ,τι, τό,τε. Τί ἐστι λέξις; μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου.

*Dictio qd?*

*περὶ τῶν τοῦ λόγου μερῶν*

## περὶ τῶν τοῦ λόγου μερῶν.

*Orationis partes 8*

Πόσα μέρη τοῦ λόγου; ὀκτώ· ὄνομα, ῥῆμα, μετοχή, ἄρθρον, ἀντωνυμία, πρόθεσις, ἐπίρρημα, σύνδεσμος. τούτων κλίνονται μὲν πέντε· ὄνομα, ῥῆμα, μετοχή, ἄρθρον, ἀντωνυμία. οὐ κλίνονται δὲ τρία· πρόθεσις, ἐπίρρημα, σύνδεσμος. Τί ἐστιν ὄνομα; μέρος λόγου πτωτικὸν σῶμα ἢ πρᾶγμα σημαῖνον· σῶμα μὲν οἷον λίθος, πρᾶγμα δὲ οἷον παιδεία· κοινῶς τε καὶ ἰδίως λεγόμενον· κοινῶς μὲν οἷον ἄνθρωπος, ἵππος· ἰδίως δὲ οἷον Σωκράτης, Πλάτων. πόσα παρέπεται τῷ ὀνόματι; πέντε· γένη, εἴδη, σχήματα, ἀριθμοί, πτώσεις.

*Nomen*

*Nominis accidetia 5*

*περὶ γενῶν*

## περὶ γενῶν.

*Genera ꝑprie 3*

Πόσα γένη; τρία· ἀρσενικόν, θηλυκόν, καὶ οὐδέτερον. ἔστι δὲ καὶ κοινόν τι καὶ ἐπίκοινον. γένος μὲν ἀρσενικόν, ᾧ προτάσσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ ὁ, οἷον ὁ Αἴας. θηλυκὸν δὲ ᾧ προτάσσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ ἡ, οἷον ἡ Μοῦσα. οὐδέτερον δὲ ᾧ προτάσσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ τό, οἷον τὸ βῆμα. κοινὸν δὲ γένος ἐστὶν ᾧ προτάσσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν τό τε ὁ καὶ τὸ ἡ τὰ ἄρθρα, οἷον ὁ καὶ ἡ ἄνθρωπος. ἐπίκοινον δὲ τὸ μεθ' ἑνὸς ἄρθρου μόνου ἢ ἀρσενικοῦ ἢ θηλυκοῦ δηλοῦν τὰ δύο γένη, οἷον ὁ κόραξ ὁ ἄρρην καὶ ἡ θήλεια, ἡ χελιδών.

*Commune genus*

*Epicoenu genus*

*περὶ εἰδῶν*

## περὶ εἰδῶν.



Πόσα εἴδη; δύο· πρωτότυπον καὶ παράγωγον. πρωτότυπον μὲν οἷον δῆμος· παράγωγον δὲ οἷον δημοτικός.

*Species 2*

*περὶ σχημάτων*

## περὶ σχημάτων.

Πόσα σχήματα; τρία· ἁπλοῦν, σύνθετον, παρασύνθετον. ἁπλοῦν μὲν οἷον ἵππος· σύνθετον δὲ οἷον Φίλιππος· παρασύνθετον δὲ οἷον Φιλιππίδης.

*Figuræ 3*

*περὶ ἀριθμῶν*

## περὶ ἀριθμῶν.

Πόσοι ἀριθμοί; τρεῖς· ἑνικός, δυϊκός, καὶ πληθυντικός.

*Numeri 3*

*περὶ πτώσεων*

## περὶ πτώσεων.

Πόσαι πτώσεις; πέντε· ὀρθὴ ἥτις καὶ εὐθεῖα καὶ ὀνομαστικὴ λέγεται, γενική, δοτική, αἰτιατικὴ καὶ κλητική.

*Casus 5*

*περὶ ἄρθρου*

## περὶ ἄρθρου.

Τί ἐστιν ἄρθρον; μέρος λόγου πτωτικὸν προτασσόμενον τῆς κλίσεως τῶν ὀνομάτων καὶ ὑποτασσόμενον. πόσα παρέπεται τῷ ἄρθρῳ; τρία· γένη, ἀριθμοί, πτώσεις. εἰς πόσα διαιροῦνται τὰ ἄρθρα; εἰς δύο· εἰς προτακτικὰ καὶ ὑποτακτικά.

*Articulus & ei accidetia 3*

*περὶ ἄρθρων προτακτικῶν*

## περὶ ἄρθρων προτακτικῶν.

Πόσα ἄρθρα προτακτικὰ τῶν ἀρσενικῶν ὀνομάτων; δέκα· ἑνικὰ μὲν τέσσαρα· ὁ, τοῦ, τῷ, τόν. δυϊκὰ δὲ δύο· τώ, τοῖν. πληθυντικὰ δὲ τέσσαρα· οἱ, τῶν, τοῖς, τούς. πόσα ἄρθρα τῶν θηλυκῶν ὀνομάτων; δέκα· ἑνικὰ μὲν τέσσαρα

*Articuli præpositiui*

ἡ· τῆς· τῇ· τήν. δυϊκὰ δὲ δύο· τὰ· ταῖν. πληθυντικὰ δὲ τέσσαρα· αἱ· τῶν· ταῖς· τάς. πόσα ἄρθρα τῶν οὐδετέρων ὀνομάτων; δέκα· ἑνικὰ μὲν τέσσαρα· τό· τοῦ· τῷ· τό. δυϊκὰ δὲ δύο· τώ· τοῖν. πληθυντικὰ δὲ τέσσαρα· τά· τῶν· τοῖς· τά.

## περὶ ὑποτακτικῶν ἄρθρων.

*Articuli postpositivi*

Τῶν δὲ ὑποτακτικῶν τὰ μὲν ἀρσενικὰ ἑνικὰ· ὅς· οὗ· ᾧ· ὅν. δυϊκὰ· ὥ· οἷν. πληθυντικὰ· οἵ· ὧν· οἷς· οὕς. τὰ δὲ θηλυκὰ ἑνικὰ· ἥ· ἧς· ᾗ· ἥν. δυϊκὰ· ἅ· αἷν. πληθυντικὰ· αἵ· ὧν· αἷς· ἅς. τὰ δὲ οὐδέτερα· ὅ· οὗ· ᾧ· ὅ. δυϊκὰ· ὥ· οἷν. πληθυντικὰ· ἅ· ὧν· οἷς· ἅ.

*ω̄ nō esse articulū*

Ἰστέον ὅτι τὸ ὦ τῆς κλητικῆς οὐκ ἄρθρον ἐστὶν ἀλλ' ἐπίρρημα κλητικόν· διὸ καὶ ψιλοῦται καὶ περισπᾶται. καθόλου γὰρ πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται· καὶ τὰ μὲν προτακτικὰ ὅσα μὲν ἀπὸ φωνήεντος ἄρχεται δασύνεται μόνον· ὅσα δὲ ἀπὸ συμφώνου τόνον ἐπιδέχεται. τὰ δὲ ὑποτακτικὰ δασεῖαν ἅμα καὶ τόνον ἐπιδέχονται· καὶ ὅσα μὲν εὐθείας ἢ αἰτιατικῆς πτώσεώς εἰσι βαρύνεται τῷ κοινῷ κανόνι τῷ λέγοντι· πᾶσα ὀρθὴ καὶ αἰτιατικὴ μὴ οὖσα ἀπὸ συναιρέσεως ὀξύνεται· ἐν δὲ τῇ συνεπείᾳ τὴν ὀξεῖαν εἰς βαρεῖαν τρέπουσιν. ὅσα δὲ γενικῆς ἢ δοτικῆς εἰσι περισπᾶται· πᾶσα γὰρ γενικὴ καὶ δοτικὴ μακροκατάληκτος ἐπὶ τῆς μακρᾶς ἔχουσα τὸν τόνον περισπᾶται.

*Da inter arti. praepo. & postposit.*
*Ra. accentꝰ*
*Ra. accentꝰ*

## περὶ ὀνόματος.

Ὄνομα δέ ἐστι τὸ μὲν κύριον οἷον Σωκράτης· τὸ δὲ προσηγορικὸν οἷον ἄνθρωπος· τὸ δὲ ἐπίθετον οἷον ἀγαθός· τὸ δὲ ἐρωτηματικὸν οἷον ποῖος· τὸ δὲ ἀναφορικὸν, οἷον οἷος· τὸ δὲ ἀριθμητικὸν οἷον εἷς δύο τρεῖς. ἐστὶ δὲ τῶν ὀνο-



μάτων τὰ μὲν ἰσοσύλλαβα οἷον Αἰνείας Αἰνείου· τὰ δὲ περιττοσύλλαβα οἷον Αἴας Αἴαντος. καὶ τέσσαρες μὲν εἰσὶ τῶν ἰσοσυλλάβων κλίσεις· μία δὲ ἁπάντων τῶν περιττοσυλλάβων.

*Quattuor aeqsyllabina imparisylla.*

## πρώτη κλίσις.

*Prima decli. in ās. uel. ns. masculinorū tantū*

Πρώτη μὲν οὖν τῶν ἰσοσυλλάβων κλίσις ἐστὶ τῶν εἰς ας ἢ εἰς ης ληγόντων ἀρσενικῶν ὀνομάτων· ὧν ἡ γενικὴ εἰς ου· ἡ δοτικὴ εἰς α ἢ εἰς η· ἡ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει.

Ἡ εὐθεῖα τῶν ἑνικῶν ὁ Αἰνείας· ἡ γενικὴ τοῦ Αἰνείου· ἡ δοτικὴ τῷ Αἰνείᾳ· ἡ αἰτιατικὴ τὸν Αἰνείαν· ἡ κλητικὴ ὦ Αἰνείας καὶ ὦ Αἰνεία.

Ἡ εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυϊκῶν τὼ Αἰνεία· ἡ γενικὴ καὶ δοτικὴ τοῖν Αἰνείαιν· ἡ κλητικὴ ὦ Αἰνεία.

Ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ Αἰνεῖαι· ἡ γενικὴ τῶν Αἰνειῶν· ἡ δοτικὴ τοῖς Αἰνείαις· ἡ αἰτιατικὴ τοὺς Αἰνείας· ἡ κλητικὴ ὦ Αἰνεῖαι.

Ὁ Χρύσης τοῦ Χρύσου τῷ Χρύσῃ τὸν Χρύσην ὦ Χρύσης καὶ ὦ Χρύση· τὼ Χρύσα τοῖν Χρύσαιν ὦ Χρύσα· αἱ Χρύσαι τῶν Χρυσῶν τοῖς Χρύσαις τοὺς Χρύσας ὦ Χρύσαι.

Σημειῶσαι ὅτι τὰ εἰς ης λήγοντα ὀνόματα ἔχοντα ἐπὶ τῆς ἐσχάτης συλλαβῆς τὸ τ ἢ ἐθνικὰ ὄντα τροπῇ τοῦ η εἰς α τὴν κλητικὴν τῶν ἑνικῶν ποιεῖ· οἷον ὁ δεσπότης ὦ δέσποτα· ὁ Πέρσης ὦ Πέρσα. ἔτι ἐπὶ τῶν δυϊκῶν καὶ πληθυντικῶν ἡ κλητικὴ ὁμοφωνεῖ ἀεὶ τῇ ἰδίᾳ εὐθείᾳ.

*In duali & plurali eundē ēē uocatiuū cum nominatiuo*

## Δευτέρα κλίσις.

Δευτέρα δὲ κλίσις τῶν ἰσοσυλλάβων ἐστὶ τῶν εἰς α ἢ εἰς η ληγόντων θηλυκῶν· ὧν ἡ γενικὴ εἰς ας ἢ εἰς

*Secunda decli. in ā. uel. n̄. foemininorum tantū.*

ης ἡ δοτικὴ εἰς α ἢ εἰς η. ἡ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει.

Ἡ μαῖα τῆς μαίας τῇ μαίᾳ τὴν μαῖαν ὦ μαῖα. τὰ μαία ταῖν μαίαιν ὦ μαία. αἱ μαῖαι τῶν μαιῶν ταῖς μαίαις τὰς μαίας ὦ μαῖαι.

Ἡ μοῦσα τῆς μούσης τῇ μούσῃ τὴν μοῦσαν ὦ μοῦσα. τὰ μούσα ταῖν μούσαιν ὦ μούσα. αἱ μοῦσαι τῶν μουσῶν ταῖς μούσαις τὰς μούσας ὦ μοῦσαι.

Ἡ τιμὴ τῆς τιμῆς τῇ τιμῇ τὴν τιμὴν ὦ τιμή. τὰ τιμά ταῖν τιμαῖν ὦ τιμά. αἱ τιμαὶ τῶν τιμῶν ταῖς τιμαῖς τὰς τιμὰς ὦ τιμαί.

*α purū. ρα. δα. θα. seruari in obliqs:*

Ἰστέον ὅτι μόνα τὰ εἰς α λήγοντα καθαρὸν ἢ εἰς ρα ἢ εἰς δα ἢ εἰς θα φυλάττει τὸ α ἐπὶ τῆς γενικῆς. οἷον μαῖα μαίας. ἡμέρα ἡμέρας. λήδα λήδας. κισσαίθα κισσαίθας. τὰ δὲ πρὸ τοῦ α ἄλλο τι σύμφωνον ἔχοντα τρέπει αὐτὸ εἰς η ἐπὶ τῆς γενικῆς οἷον μοῦσα μούσης. δίψα δίψης. δόξα δόξης.

*τρίτη κλίσις*

### Τρίτη κλίσις.

*Tertia decl.o in ος & ον*

Τρίτη κλίσις ἐστὶ τῶν ἰσοσυλλάβων ἐστὶ τῶν εἰς ος ληγόντων ἀρσενικῶν τε καὶ θηλυκῶν καὶ εἰς ον οὐδετέρων ὧν ἡ γενικὴ εἰς ου. ἡ δοτικὴ εἰς ω. ἡ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει.

Ὁ λόγος τοῦ λόγου τῷ λόγῳ τὸν λόγον ὦ λόγος καὶ ὦ λόγε. τὼ λόγω τοῖν λόγοιν ὦ λόγω. οἱ λόγοι τῶν λόγων τοῖς λόγοις τοὺς λόγους ὦ λόγοι.

Ἡ ὁδὸς τῆς ὁδοῦ τῇ ὁδῷ τὴν ὁδὸν ὦ ὁδὸς καὶ ὦ ὁδέ. τὰ ὁδὼ ταῖν ὁδοῖν ὦ ὁδώ. αἱ ὁδοὶ τῶν ὁδῶν ταῖς ὁδοῖς τὰς ὁδοὺς ὦ ὁδοί.

Τὸ ξύλον τοῦ ξύλου τῷ ξύλῳ τὸ ξύλον ὦ ξύλον. τὼ ξύλω τοῖν ξύλοιν ὦ ξύλω. τὰ ξύλα τῶν ξύλων τοῖς ξύλοις τὰ ξύλα ὦ



ξύλα.

*τετάρτη κλίσις*

### Τετάρτη κλίσις.

*Quarta decl.o in ως & ων*

Τετάρτη κλίσις ἐστὶ τῶν ἰσοσυλλάβων ἐστὶ τῶν εἰς ως ληγόντων ἀρσενικῶν καὶ θηλυκῶν καὶ εἰς ων οὐδετέρων. ὧν ἡ γενικὴ καὶ δοτικὴ εἰς ω. ἡ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει.

Ὁ μενέλεως τοῦ μενέλεω τῷ μενέλεῳ τὸν μενέλεων ὦ μενέλεως. τὼ μενέλεω τοῖν μενέλεων ὦ μενέλεω. οἱ μενέλεῳ τῶν μενέλεων τοῖς μενέλεως τοὺς μενέλεως ὦ μενέλεῳ.

Ἡ ἅλως τῆς ἅλω τῇ ἅλῳ τὴν ἅλων ὦ ἅλως. τὰ ἅλω ταῖν ἅλων ὦ ἅλω. αἱ ἅλῳ τῶν ἅλων ταῖς ἅλως τὰς ἅλως ὦ ἅλῳ.

Τὸ ἀνώγεων τοῦ ἀνώγεω τῷ ἀνώγεῳ τὸ ἀνώγεων ὦ ἀνώγεων. τὼ ἀνώγεω τοῖν ἀνώγεων ὦ ἀνώγεω. τὰ ἀνώγεω τῶν ἀνώγεων τοῖς ἀνώγεως τὰ ἀνώγεω ὦ ἀνώγεω.

*πέμπτη κλίσις*

### Πέμπτη κλίσις.

*Quinta decl.o*

Πέμπτη κλίσις ἐστὶν ἁπάντων τῶν περιττοσυλλάβως κλινομένων ὀνομάτων ἀρσενικῶν τε καὶ θηλυκῶν καὶ οὐδετέρων. ὧν ἡ γενικὴ εἰς ος. ἡ δοτικὴ εἰς ι. ἡ αἰτιατικὴ εἰς α λήγει.

Ὁ αἴας τοῦ αἴαντος τῷ αἴαντι τὸν αἴαντα ὦ αἴας καὶ ὦ αἶαν. τὼ αἴαντε τοῖν αἰάντοιν ὦ αἴαντε. οἱ αἴαντες τῶν αἰάντων τοῖς αἴασι τοὺς αἴαντας ὦ αἴαντες.

Ἡ τρυγὼν τῆς τρυγόνος τῇ τρυγόνι τὴν τρυγόνα ὦ τρυγών. τὰ τρυγόνε ταῖν τρυγόνοιν ὦ τρυγόνε. αἱ τρυγόνες τῶν τρυγόνων ταῖς τρυγόσι τὰς τρυγόνας ὦ τρυγόνες.

Τὸ βῆμα τοῦ βήματος τῷ βήματι τὸ βῆμα ὦ βῆμα. τὼ βήματε τοῖν βημάτοιν ὦ βήματε. τὰ βήματα τῶν βημάτων τοῖς βήμασι τὰ βήματα ὦ βήματα.

Ἰστέον ὅτι ἐστὶ τῶν οὐδετέρων ἡ αὐτὴ ἐστὶν ὀρθὴ καὶ αἰτιατικὴ καὶ κλητική.

Ἐπεὶ δὲ ταύτης τῆς κλίσεως διάφοροι καταλήξεις εἰσὶ τῶν τε ἀρσενικῶν καὶ θηλυκῶν καὶ οὐδετέρων ἐκθετέον κατὰ γένη καὶ ταύτας. καὶ τοῦ μὲν ἀρσενικοῦ εἰσὶν αὗται.

περὶ ἀρσενικῶν ὀνομάτων

## Περὶ ἀρσενικῶν ὀνομάτων.

αν ὁ ἀλκμὰν τοῦ ἀλκμᾶνος τῷ ἀλκμᾶνι τὸν ἀλκμᾶνα ὦ ἀλκμάν.
ας ὁ ἀρκὰς τοῦ ἀρκάδος τῷ ἀρκάδι τὸν ἀρκάδα ὦ ἀρκάς.
αις ὁ παῖς τοῦ παιδὸς τῷ παιδὶ τὸν παῖδα ὦ παῖς καὶ ὦ παῖ
αξ ὁ θώραξ τοῦ θώρακος τῷ θώρακι τὸν θώρακα ὦ θώραξ.
ὁ ἅρπαξ τοῦ ἅρπαγος τῷ ἅρπαγι τὸν ἅρπαγα ὦ ἅρπαξ.
αψ ὁ ἄραψ τοῦ ἄραβος τῷ ἄραβι τὸν ἄραβα ὦ ἄραψ.
ης ὁ λάχης τοῦ λάχητος τῷ λάχητι τὸν λάχητα ὦ λάχης.
ην ὁ ἕλλην τοῦ ἕλληνος τῷ ἕλληνι τὸν ἕλληνα ὦ ἕλλην.
ην ὁ τέρην τοῦ τέρενος τῷ τέρενι τὸν τέρενα ὦ τέρεν.
ην ὁ σωλὴν τοῦ σωλῆνος τῷ σωλῆνι τὸν σωλῆνα ὦ σωλήν.
ην ὁ ποιμὴν τοῦ ποιμένος τῷ ποιμένι τὸν ποιμένα ὦ ποιμήν.
ηξ ὁ μύρμηξ τοῦ μύρμηκος τῷ μύρμηκι τὸν μύρμηκα ὦ μύρμηξ.
ηξ ὁ βουπλὴξ τοῦ βουπλῆγος τῷ βουπλῆγι τὸν βουπλῆγα ὦ βουπλήξ.
ιξ ὁ πέρδιξ τοῦ πέρδικος τῷ πέρδικι τὸν πέρδικα ὦ πέρδιξ.
ιξ ὁ τέττιξ τοῦ τέττιγος τῷ τέττιγι τὸν τέττιγα ὦ τέττιξ.
ηρ ὁ πατὴρ τοῦ πατέρος καὶ πατρὸς τῷ πατέρι καὶ πατρὶ τὸν πατέρα ὦ πάτερ.
ηρ ὁ λουτὴρ τοῦ λουτῆρος τῷ λουτῆρι τὸν λουτῆρα ὦ λουτήρ.
ηρ ὁ ἀστὴρ τοῦ ἀστέρος τῷ ἀστέρι τὸν ἀστέρα ὦ ἀστήρ.
ηρ ὁ αἰθὴρ τοῦ αἰθέρος τῷ αἰθέρι τὸν αἰθέρα ὦ αἰθήρ.
ις ὁ χαρίεις τοῦ χαρίεντος τῷ χαρίεντι τὸν χαρίεντα ὦ χαρίεις καὶ ὦ χαρὶς καὶ ὦ χαρίεν.
υνς ὁ τίρυνς τοῦ τίρυνθος τῷ τίρυνθι τὸν τίρυνθα ὦ τίρυνς.

ὦ χαρίς καί
ὦ χαρίεις καί
ὦ χαρίεν



ὁ γέλως τοῦ γέλωτος τῷ γέλωτι τὸν γέλωτα ὦ γέλως. ως
ὁ ἥρως τοῦ ἥρωος τῷ ἥρωι τὸν ἥρωα ὦ ἥρως. ως
ὁ ἱδρὼς τοῦ ἱδρῶτος τῷ ἱδρῶτι τὸν ἱδρῶτα ὦ ἱδρώς. ως
ὁ θέων τοῦ θέωνος τῷ θέωνι τὸν θέωνα ὦ θέων. ων
ὁ φιλήμων τοῦ φιλήμονος τῷ φιλήμονι τὸν ·μα· ὦ φιλήμον. ων
ὁ νέστωρ τοῦ νέστορος τῷ νέστορι τὸν νέστορα ὦ νέστορ. ωρ
ὁ κύκλωψ τοῦ κύκλωπος τῷ κύκλωπι ·πα· ὦ κύκλωψ. ωψ
ὁ αἰθίοψ τοῦ αἰθίοπος τῷ αἰθίοπι τὸν αἰθίοπα ὦ αἰθίοψ. οψ

θηλυκά. Foem.

ἡ λαμπὰς τῆς λαμπάδος τῇ λαμπάδι ·δα· ὦ λαμπάς ας
ἡ ἃλς τῆς ἁλὸς τῇ ἁλὶ τὴν ἅλα ὦ ἅλς. λς
ἡ δάμαρ τῆς δάμαρτος τῇ δάμαρτι ·τα· ὦ δάμαρ. αρ
ἡ αὖλαξ τῆς αὔλακος τῇ αὔλακι τὴν αὔλακα ὦ αὖλαξ. αξ
ἡ δαὶς τῆς δαιτὸς τῇ δαιτὶ τὴν δαῖτα ὦ δαίς. αις
ἡ παῖς τῆς παιδὸς τῇ παιδὶ τὴν παῖδα ὦ παῖς. αις
ἡ φιλότης τῆς φιλότητος τῇ φιλότητι τὴν ·τα· ὦ φιλότης ης
ἡ φλὲψ τῆς φλεβὸς τῇ φλεβὶ τὴν φλέβα ὦ φλέψ. εψ
ἡ τροιζὴν τῆς τροιζῆνος τῇ τροιζῆνι τὴν τροιζῆνα ὦ τροιζήν ην
ἡ χαλὴξ τῆς χάληκος τῇ χάληκι τὴν χάληκα ὦ χαλήξ. ηξ
ἡ ἀλώπηξ τῆς ἀλώπεκος τῇ ἀλώπεκι τὴν ·κα· ὦ ἀλώπηξ.
ἡ σαλαμὶν τῆς σαλαμῖνος τῇ σαλαμῖνι ·να· ὦ σαλαμίν. ιν
ἡ κύλιξ τῆς κύλικος τῇ κύλικι τὴν κύλικα ὦ κύλιξ. ιξ
ἡ μάστιξ τῆς μάστιγος τῇ μάστιγι τὴν μάστιγα ὦ μάστιξ. ιξ
ἡ φλὸξ τῆς φλογὸς τῇ φλογὶ τὴν φλόγα ὦ φλόξ. οξ
ἡ χεὶρ τῆς χειρὸς τῇ χειρὶ τὴν χεῖρα ὦ χείρ. ιρ
ἡ μήτηρ τῆς μητέρος καὶ μητρὸς τῇ μητέρι καὶ μητρί, τὴν μητέρα ὦ μῆτερ. ηρ
ἡ μῆνις τῆς μήνιδος τῇ μήνιδι τὴν μήνιδα καὶ μῆνιν ὦ μῆνις καὶ ὦ μῆνι. ις
ἡ κλεὶς τῆς κλειδὸς τῇ κλειδὶ τὴν ·δα· καὶ κλεῖν ὦ κλείς. ις
ἡ χλαμὺς τῆς χλαμύδος τῇ χλαμύδι ·δα· ὦ χλαμύς. υς
ἡ ἐρινὺς τῆς ἐρινύος τῇ ἐρινύϊ τὴν ἐρινὺν ὦ ἐρινύς. υς
ἡ γένυς τῆς γένυος τῇ γένυϊ τὴν γένυν ὦ γένυς. υς

οὐδέτερα. Neutra

τὸ βῆμα τοῦ βήματος τῷ βήματι τὸ βῆμα ὦ βῆμα. α

ας · αις · αν · αρ · αρ · εν · ι · υ · υ · υρ · ωρ · ως

τὸ ἅλας τοῦ ἅλατος· τι· τὸ ἅλας· ὦ ἅλας.
τὸ σταῖς τοῦ σταιτός· τι· τὸ σταῖς· ὦ σταῖς.
τὸ μέλαν τοῦ μέλανος· νι· τὸ μέλαν· ὦ μέλαν.
τὸ ἧπαρ τοῦ ἥπατος· τι· τὸ ἧπαρ· ὦ ἧπαρ.
τὸ νέκταρ τοῦ νέκταρος· ρι· τὸ νέκταρ· ὦ νέκταρ.
τὸ χαρίεν τοῦ χαρίεντος· τι· τὸ χαρίεν· ὦ χαρίεν.
τὸ μέλι τοῦ μέλιτος· τι· τὸ μέλι· ὦ μέλι.
τὸ ἄστυ τοῦ ἄστεος· ει· ει· τὸ ἄστυ ὦ ἄστυ.
τὸ δόρυ τοῦ δόρυος τῷ δόρυι τὸ δόρυ ὦ δόρυ.
τὸ δόρυ τοῦ δόρατος· τι· τὸ δόρυ· ὦ δόρυ.
τὸ πῦρ τοῦ πυρὸς τῷ πυρὶ τὸ πῦρ ὦ πῦρ.
τὸ ἕλωρ τοῦ ἕλωρος· ρι· τὸ ἕλωρ· ὦ ἕλωρ.
τὸ φῶς τοῦ φωτός· τι· τὸ φῶς· ὦ φῶς.

οὕτω μὲν οὖν τὰ ἁπλᾶ κλίνονται τῶν ὀνομάτων· νῦν δὲ περὶ τῶν συνῃρημένων ῥητέον.

Εἰσὶ τοίνυν ἕτεραι πέντε κλίσεις τῶν συνῃρημένων ὀνομάτων ἀπὸ τῆς πέμπτης περιττοσυλλάβου τῶν ἀσυναιρέτων κλίσεως κατὰ συναίρεσιν καὶ κρᾶσιν γινόμεναι. ἔστι δὲ συναίρεσις δύο φωνηέντων συναλοιφὴ καὶ ἀμφοτέρων φυλαττομένων οἷον δημοσθένεϊ δημοσθένει. κρᾶσις δὲ δύο φωνηέντων συναλοιφὴ καὶ ἀμφοτέρων ἀλλοιουμένων οἷον δημοσθένεα δημοσθένη ἢ τοῦ ἑνὸς οἷον δημοσθένεος δημοσθένους.

*Quinq: posteriors declinatio · cotra a. 5. simplicium factae*

*Synaeresis*

*Crasis* D[a]

## Πρώτη κλίσις τῶν συνῃρημένων.

Πρώτη μὲν οὖν κλίσις τῶν συνῃρημένων ἐστὶ τῶν εἰς ης ἀρσενικῶν τε καὶ θηλυκῶν καὶ εἰς ες ἢ εἰς ος οὐδετέρων ὧν ἡ γενικὴ διὰ τοῦ εος οὖσα εἰς ους ποιεῖ τὸ συνῃρημένον.

*Prima decl.o contrac. in ης · ες · ος*

ὁ δημοσθένης τοῦ δημοσθένεος καὶ δημοσθένους τῷ δημοσθένεϊ καὶ δημοσθένει τὸν δημοσθένεα καὶ δημοσθένη ὦ δημόσθενες καὶ ὦ δημοσθένης. τὼ δημοσθένεε καὶ δημοσθένη τοῖν δημοσθενέοιν καὶ δημοσθενοῖν ὦ δημοσθένεε καὶ ὦ δημοσθένη. οἱ δημοσθένεες καὶ δημοσθένεις τῶν δημοσθενέων καὶ δημοσθενῶν τοῖς δημοσθένεσι ὁμοίως τοὺς δημοσθένεας καὶ δημοσθένεις
ὦ δημοσθένεες δημοσθένεις



ης · ες · ος

ἡ ἀληθὴς τῆς ἀληθέος· οῦς· τῇ ἀληθέϊ· ει· τὴν ἀληθέα· ῆ· ὦ ἀληθὴς καὶ ὦ ἀληθές. τὰ ἀληθέε ῆ· ταῖν ἀληθέοιν· οῖν· ὦ ἀληθέε· ῆ. αἱ ἀληθέες· εις· τῶν ἀληθέων· ῶν· ταῖς ἀληθέσι ὁμοίως τὰς ἀληθέας· εις· ὦ ἀληθέες· εις. 34
τὸ ἀληθὲς τοῦ ἀληθέος· οῦς· τῷ ἀληθέϊ· ει· τὸ ἀληθὲς ὦ ἀληθές. τὼ ἀληθέε· ῆ· τοῖν ἀληθέοιν· οῖν· ὦ ἀληθέε· ῆ. τὰ ἀληθέα· ῆ· τῶν ἀληθέων· ῶν· τοῖς ἀληθέσι τὰ ἀληθέα· ῆ· ὦ ἀληθέα· ῆ.
τὸ τεῖχος τοῦ τείχεος· ους· τῷ τείχεϊ· ει· τὸ τεῖχος ὦ τεῖχος. τὼ τείχεε· η· τοῖν τειχέοιν· οῖν· ὦ τείχεε· η· τὰ τείχεα· η· τῶν τειχέων· ῶν· τοῖς τείχεσι τὰ τείχεα· η· ὦ τείχεα· η.

## περὶ τῶν συναιρέσεων τῆς πρώτης κλίσεως.

Ταύτης δὲ τῆς κλίσεως αἱ συναιρέσεις εἰσὶν αὗται. τὸ ε καὶ ο εἰς τὴν ου δίφθογγον κιρνᾶται· οἷον δημοσθένεος· ους· τὸ ε καὶ ι εἰς τὴν ει δίφθογγον κιρνᾶται οἷον δημοσθένεϊ· ει. τὰ δύο εε ἐπὶ μὲν τῆς εὐθείας καὶ αἰτιατικῆς τῶν δυϊκῶν εἰς η κιρνᾶται οἷον τὼ δημοσθένεε· η· ἐπὶ δὲ τῆς εὐθείας τῶν πληθυντικῶν εἰς τὴν ει δίφθογγον οἷον οἱ δημοσθένεες· εις. ἔτι τὸ ε καὶ α ἐπὶ μὲν τῆς ~~εὐθείας καὶ~~ αἰτιατικῆς τῶν ἑνικῶν εἰς η κιρνᾶται οἷον δημοσθένεα· η· ὁμοίως δὲ καὶ ἐπὶ τῆς εὐθείας καὶ αἰτιατικῆς τῶν οὐδετέρων πληθυντικῶν οἷον τὰ τείχεα· η· ἐπὶ δὲ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν εἰς τὴν ει δίφθογγον· οἷον τοὺς δημοσθένεας εις. τὸ δὲ ε καὶ οι συναιρεῖται εἰς τὴν οι δίφθογγον· οἷον τοῖν δημοσθενέοιν· οῖν. ἔτι τὸ ε καὶ ω μέγα εἰς ω μέγα κιρνᾶται οἷον δημοσθενέων· ῶν.

ε.ο. ου · ε.ι. ει · ε.ε. η · ε.ε. ει · ε.α. η · ε.α. ει · ε.οι. οι · ε.ω. ω

## Δευτέρα τῶν συνῃρημένων.

Δευτέρα δὲ κλίσις ἐστὶ τῶν συνῃρημένων τῶν εἰς ις ἀρσενικῶν τε καὶ θηλυκῶν καὶ εἰς ι οὐδετέρων ὧν ἡ γενικὴ γίνεται διὰ τοῦ ιος κοινῶς καὶ εος ἰωνικῶς καὶ εως ἀττικῶς.

*Secunda decl.o contracto in ις & ι*

ὁ ὄφις τοῦ ὄφιος κοινῶς καὶ ὄφεος ἰωνικῶς καὶ ὄφεως ἀττικῶς τῷ ὄφιϊ· ι· καὶ ὄφει· ει· τὸν ὄφιν ὁμοίως ὦ ὄφις καὶ ὦ ὄφι. τὼ ὄφιε καὶ ὄφεε· τοῖν ὀφίοιν καὶ ὀφέοιν καὶ ὄφεων ὦ ὄφιε καὶ ὦ ὄφεε. οἱ ὄφιες καὶ ὄφις καὶ ὄφεες· εις· τῶν ὀφίων καὶ ὀφέων καὶ ὄφεων τοῖς ὄφισι καὶ ὄφεσι τοὺς ὄφιας· ις· καὶ ὄφεας· εις· ὦ ὄφιες καὶ ὄφις καὶ ὄφεες καὶ ὄφεις.
ἡ πόλις τῆς πόλιος κοινῶς καὶ πόλεος ἰωνικῶς καὶ πό-

*Τὼ ὄφιε κ(αὶ) ὄφεε · nō addit ὄφη ut technicus q̃ tres ponit rectos*

λεως ἀττικῶς· τῇ πόλϊι·ι· καὶ πόλεϊ·ει· τὴν πόλιν μόνως· ὦ πόλις καὶ ὦ πόλι. τὰ πόλιε καὶ πόλεε· ταῖν πολίοιν καὶ πολέοιν καὶ πολέων· ὦ πόλιε καὶ πόλεε. αἱ πόλιες·ις· καὶ πόλεες·εις· τῶν πολίων καὶ πολέων καὶ πόλεων· ταῖς πόλισι καὶ πόλεσι· τὰς πόλιας·ις· καὶ πόλεας·εις· ὦ πόλιες·ις· καὶ πόλεες πόλεις·

τὸ σίναπι τοῦ σινάπιος κοινῶς καὶ σινάπεος ἰωνικῶς καὶ σινάπεως ἀττικῶς· τῷ σινάπϊι·ι· καὶ σινάπεϊ·ει· τὸ σίναπι· ὦ σίναπι. τὼ σινάπιε καὶ σινάπεε· τοῖν σιναπίοιν καὶ σιναπέοιν καὶ σιναπέων· ὦ σινάπιε καὶ σινάπεε. τὰ σινάπια·ι· καὶ σινάπεα·η· τῶν σιναπίων καὶ σιναπέων καὶ σινάπεων· τοῖς σινάπισι καὶ σιναπέσι· τὰ σινάπια·ι· καὶ σινάπεα·η· ὦ σινάπια·ι· καὶ σινάπεα·η·

Cu

Ἰστέον ὅτι ταύτης τῆς κλίσεως τὸ παραλῆγον ι εἰς ε μεταβάλλεται ἐπὶ πασῶν τῶν πτώσεων· οἷον ὄφιος ὄφεος· ὄφιι ὄφει· καὶ τὸ ὀμικρὸν τῆς γενικῆς εἰς ὠμέγα ἀττικῶς· ὄφεος ὄφεως.

Rª. declinatio

Σημειῶσαι δὲ ὅτι ὅτε ἡ γενικὴ τῶν ἑνικῶν οὐ συναιρεῖται οὔτε τὰ δυϊκὰ ὅλως οὔτε ἡ γενικὴ τῶν πληθυντικῶν συναίρεσιν ἐπιδέχεται.

περὶ τῶν συναιρέσεων τῆς δευτέρας κλίσεως.

Ταύτης δὲ τῆς κλίσεως αἱ ἴδιαι συναιρέσεις εἰσὶν αἵδε. τὰ δύο ιι εἰς ι μακρὸν κιρνᾶται· οἷον τῷ ὄφιι·ι· ὁμοίως δὲ τὸ ι καὶ ε εἰς ι μακρόν· οἷον οἱ ὄφιες·ις· ἔτι τὸ ι καὶ α εἰς ι μακρόν· οἷον τοὺς ὄφιας·ις·

.ι.ι m. ῑ.
ι.ε m. ῑ.
ι.α m. ῑ.

τρίτη τῶν συνῃρημένων

Τρίτη κλίσις ἐστὶ τῶν συνῃρημένων τῶν εἰς ευς ληγόντων ἀρσενικῶν ὀνομάτων· ὧν ἡ γενικὴ διὰ τοῦ εος καὶ ηος καὶ εως ἀττικῶς προφέρεται.

Tertia decli° in . ευς mascu .

ὁ βασιλεύς τοῦ βασιλέος κοινῶς καὶ βασιλῆος ἰωνικῶς καὶ βασιλέως ἀττικῶς· τῷ βασιλέϊ·ει· καὶ βασιλῆϊ· τὸν βασιλέα καὶ βασιλῆα· ὦ βασιλεῦ καὶ ὦ βασιλεῦ. τὼ βασιλέε καὶ βασιλῆε· τοῖν βασιλέοιν καὶ βασιλήοιν· ὦ βασιλέε καὶ ὦ βασιλῆε. οἱ βασιλέες·εις· καὶ βασιλῆες· τῶν βασιλέων καὶ βασιλήων· τοῖς βασιλεῦσι μόνως· τοὺς βασιλέας·εις· καὶ

Si genitiuus singularis nõ cõtrahitur, neq: etiã casus dualis numeri contrahuntur, neq: genitiu9 pluralis ./ Si g° haec regula est uera merito neq: moschopulus neq: hic demetri9 ponunt in duali ὄφεε καὶ ὄφη



βασιλῆας· ὦ βασιλέες·εις· καὶ βασιλῆες.

Ταύτης δὲ τῆς κλίσεως τὸ παραλῆγον ε εἰς η μεταβάλλει ἰωνικῶς ἐπὶ πάσης πτώσεως· οἷον βασιλέος βασιλῆος· βασιλέϊ βασιλῆϊ· καὶ ἡ αἰτιατικὴ δὲ τῶν ἑνικῶν οὐδέποτε συναιρεῖται ὅτι τῆς κλητικῆς εἰς φωνῆεν ληγούσης ἡ αἰτιατικὴ τῶν ἑνικῶν οὐδέποτε καταλήγει εἰς η.

Rª. declinatiõis

τετάρτη τῶν συνῃρημένων.

Τετάρτη κλίσις τῶν συνῃρημένων ἐστὶ τῶν εἰς ω καὶ ως θηλυκῶν ὀνομάτων· ὧν ἡ γενικὴ διὰ τοῦ οος οὖσα εἰς ους ποιεῖ τὸ συνῃρημένον.

Quarta declin° in . ω. & ως foemini

ἡ λητὼ τῆς λητόος·οῦς· τῇ λητόϊ·οῖ· τὴν λητόα·ώ· ὦ λητοῖ. τὼ λητὼ ταῖν λητοῖν ὦ λητώ. αἱ λητοὶ τῶν λητῶν ταῖς λητοῖς τὰς λητοὺς ὦ λητοί.

ἡ αἰδὼς τῆς αἰδόος·οῦς· τῇ αἰδόϊ·οῖ· τὴν αἰδόα·ῶ· ὦ αἰδοῖ. τὼ αἰδὼ ταῖν αἰδοῖν ὦ αἰδώ. αἱ αἰδοὶ τῶν αἰδῶν ταῖς αἰδοῖς τὰς αἰδοὺς ὦ αἰδοί.

Ταύτης δὲ τῆς κλίσεως τὰ δυϊκὰ καὶ πληθυντικὰ οὐ συναιροῦνται· κλίνονται δὲ ὥσπερ τὰ δυϊκὰ καὶ πληθυντικὰ τῆς τρίτης κλίσεως τῶν ἰσοσυλλάβων.

In hac . 4 . nõ cõtrahi dualẽ neq: pluralẽ . & declinari p tertiã simplicium

περὶ τῶν συναιρέσεων τῆς τετάρτης κλίσεως.

Αἱ δὲ συναιρέσεις εἰσὶν αὗται· τὰ δύο οο εἰς τὴν ου δίφθογγον κιρνᾶται· τὸ δὲ ο καὶ ι εἰς τὴν οι δίφθογγον· τὸ δὲ ο καὶ α εἰς ω μέγα. ἔτι σημειῶσαι ὅτι τῶν εἰς ω καὶ εἰς ως θηλυκῶν ἡ κλητικὴ τῶν ἑνικῶν εἰς οι δίφθογγον τελευτᾷ.

ο.ο m . ου.
ο.ι. m . οι.
ο.α. m . ω.

πέμπτη τῶν συνῃρημένων.

Πέμπτη κλίσις τῶν συνῃρημένων ἐστὶ τῶν εἰς ας ἢ εἰς ρας ληγόντων οὐδετέρων· ὧν ἡ γενικὴ διὰ τοῦ ατος κοινῶς καὶ αος ἰωνικῶς καὶ ως κατὰ συναίρεσιν ἀττικῶς γίνεται.

Quinta cõtracto. declin° in . ας. uel . ρας

τὸ κρέας τοῦ κρέατος κοινῶς καὶ κρέαος ἰωνικῶς καὶ κρέως ἀττικῶς· τῷ κρέατι καὶ κρέαϊ·α· τὸ κρέας ὦ κρέας. τὼ κρέατε καὶ κρέαε καὶ κρέα· τοῖν κρεάτοιν καὶ κρεάοιν καὶ κρεῶν· ὦ κρέατε καὶ κρέαε·α. τὰ κρέατα καὶ κρέαα·α· τῶν κρεάτων καὶ κρεάων·ῶν· τοῖς κρέασι μόνως· τὰ κρέατα καὶ κρέαα·α· ὦ κρέατα καὶ κρέαα·α·

τὸ κέρας τοῦ κέρατος καὶ κέραος καὶ κέρως· τῷ κέρατι καὶ

κέραϊ καὶ κέρα· τὸ κέρας, ὦ κέρας. τὼ κέρατε καὶ κέραε· καὶ κέρατοιν, κεράτοιν καὶ κεράοιν· ῷν. τὰ κέρατα καὶ κέραα· α. τῶν κεράτων καὶ κεράων· ῶν. τοῖς κέρασι μόνως. τὰ κέρατα καὶ κέραα· α. ὦ κέρατα καὶ κέραα· α.

περὶ τῶν συναιρέσεων τῆς πέμπτης κλίσεως.

ᾱ.ο. in ω̄
ᾱ.ι. in ᾱ
ᾱ.ε. in ᾱ
ᾱ.οι. in ω̄
ᾱ.ᾱ. in ᾱ

Αἱ δὲ συναιρέσεις ταύτης τῆς κλίσεώς εἰσιν αὗται· τὸ α καὶ ο εἰς ω μέγα κιρνᾶται, οἷον τοῦ κρέαος· ως. τὸ δὲ α καὶ ι εἰς α μακρὸν, οἷον κρέαϊ· α. καὶ τὸ α καὶ ε εἰς α μακρὸν, οἷον τὼ κρέαε· α. τὸ δὲ α καὶ οι εἰς ω κιρνᾶται, οἷον τοῖν κρεάοιν· ῷν. ὡσαύτως δὲ καὶ τὰ δύο αα εἰς α μακρὸν συναιρεῖται, οἷον τὰ κρέαα καὶ κρέα.

De nominibus quæ dicunt(ur) p(ri)mu(m) υ. & secundu(m) υ.

Ἔστι δὲ καὶ ἄλλα τινὰ ὀνόματα ἐπὶ τῆς εὐθείας καὶ αἰτιατικῆς τῶν πληθυντικῶν συναιρούμενα μόνον. ἔνια δὲ καὶ ἐπὶ τῆς δοτικῆς τῶν ἑνικῶν, οἷον τὰ μὲν εἰς υς λήγοντα ὀνόματα ὧν ἡ γενικὴ διὰ τοῦ εος κλίνεται, συναιρεῖται καὶ ἐπὶ τῆς δοτικῆς τῶν ἑνικῶν, οἷον ὁ ἡδὺς τοῦ ἡδέος τῷ ἡδέϊ καὶ ἡδεῖ. καὶ ἐπὶ τῆς εὐθείας καὶ αἰτιατικῆς τῶν πληθυντικῶν, οἷον οἱ ἡδέες καὶ ἡδεῖς· τοὺς ἡδέας· εἰς. τὰ δὲ εἰς υς ὧν ἡ γενικὴ διὰ τοῦ υος κλίνεται, ἐπὶ τῆς εὐθείας καὶ αἰτιατικῆς τῶν πληθυντικῶν κιρνᾶται μόνον, οἷον οἱ βότρυες καὶ βότρυς, τοὺς βότρυας καὶ βότρυς. ὁμοίως δὲ καὶ τὰ εἰς ους ὧν ἡ γενικὴ διὰ καθαροῦ τοῦ ος κλίνεται, οἷον οἱ βόες καὶ βοῦς, τοὺς βόας καὶ βοῦς.

De accusatiuo nomi(num) quæ uocantur p(ri)mu(m) & secundu(m) υ.

Τούτων δὲ πάντων καὶ ἔτι τῶν εἰς ις προσηγορικῶν τῆς δευτέρας κλίσεως τῶν συνῃρημένων ἡ αἰτιατικὴ τῶν ἑνικῶν εἰς ν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει, οἷον ὁ ὄφις τὸν ὄφιν, ὁ ἡδὺς τὸν ἡδὺν, ὁ βότρυς τὸν βότρυν, ὁ βοῦς τὸν βοῦν.

παρὰ δὲ ταῦτα εὕρηταί τινα ὀνόματα θηλυκὰ εἰς αυς λήγοντα κλινόμενα καὶ συναιρούμενα οὕτως.

Dualis in hoc nomine ναῦς.

ἡ ναῦς τῆς ναὸς καὶ νηὸς καὶ νεώς. τῇ ναῒ καὶ νηΐ. τὴν νάα καὶ νῆα καὶ ναῦν. ὦ ναῦς καὶ ὦ ναῦ. τὰ νάε καὶ νῆε. ταῖν ναοῖν καὶ νηοῖν. ὦ νάε καὶ νῆε. αἱ νάες καὶ νῆες. τῶν ναῶν καὶ νηῶν καὶ νεῶν. ταῖς ναυσὶ καὶ νηυσί. τὰς νάας καὶ νῆας καὶ ναῦς. ὦ νάες καὶ νῆες.

ἡδέω. no(n) agnoscit ἡδέα

ἡ γραῦς τῆς γραὸς καὶ γρηός. τῇ γραῒ καὶ γρηΐ. τὴν γραῦν. ὦ γραῦς καὶ ὦ γραῦ. τὰ γράε καὶ γρῆε. ταῖν γραοῖν καὶ γρηοῖν. ὦ γράε καὶ γρῆε. αἱ γράες καὶ γρῆες. τῶν γραῶν καὶ γρηῶν. ταῖς γραυσὶ καὶ γρηυσί. τὰς γράας καὶ γρῆας καὶ γραῦς. ὦ γράες καὶ γρῆες.

πλόος. οῦς

Ἰστέον δὲ ὅτι ἔνια τῶν ἰσοσυλλάβων ὀνομάτων τῆς τρίτης κλίσεως ἐφ᾽ ὧν πρὸ τοῦ ος ἕτερον ο ἢ ε ψιλὸν προηγεῖται, ἐπὶ πάσης πτώσεως συναιρεῖται, οἷον· ὁ πλόος ὁ πλοῦς, τοῦ πλόου τοῦ πλοῦ, τῷ πλόῳ τῷ πλῷ, τὸν πλόον τὸν πλοῦν καὶ τὰ ἑξῆς. ὁμοίως δὲ καὶ ἁπλόος ἁπλοῦς, ἁπλόη ἁπλῆ, ἁπλόον ἁπλοῦν. παραπλησίως δὲ καὶ χρύσεος χρυσοῦς, χρυσέα χρυσῆ, χρύσεον χρυσοῦν καὶ ἐπὶ τῶν λοιπῶν πτώσεων ὁμοίως.

ἁπλόος. οῦς

περὶ ἀριθμητικῶν ὀνομάτων.

Numeralia no(m)i(n)a

Τῶν δὲ ἀριθμητικῶν ὀνομάτων τὰ μὲν ἓν σημαίνοντα ἑνικῶς ἀεὶ κλίνεται. τὰ δὲ δύο δυϊκῶς. τὰ δὲ πλείω πληθυντικῶς ὧδε.

εἷς, ἑνὸς, ἑνὶ, ἕνα. μία, μιᾶς, μιᾷ, μίαν. ἓν, ἑνὸς, ἑνὶ, ἕν.

δύο· sing. & pl.

δύο δυοῖν. τὸ δὲ δύο οὐ μόνον δυϊκῶς ἀλλὰ καὶ πληθυντικῶς λέγεται ἐπὶ πάσης πτώσεως πλὴν τῆς δοτικῆς, οἷον οἱ δύο, αἱ δύο, τὰ δύο, τῶν δύο, τοῖς δυσὶ, τοὺς δύο, τὰς δύο, τὰ δύο.

τρεῖς, τριῶν, τρισὶ, τρεῖς. τρία, τριῶν, τρισὶ, τρία.

τέσσαρες, τεσσάρων, τέσσαρσι, τέσσαρας. τέσσαρα, τεσσάρων, τέσσαρσι, τέσσαρα. ἀπὸ δὲ τῶν τεσσάρων μέχρι τῶν ἑκατὸν πᾶς ἀριθμὸς ἄκλιτός ἐστι. διακρίνονται δὲ τὰ γένη καὶ αἱ πτώσεις διὰ τῶν ἄρθρων, οἷον οἱ πέντε, τῶν πέντε, τοῖς πέντε, τοὺς πέντε. αἱ πέντε, τῶν πέντε, ταῖς πέντε, τὰς πέντε. τὰ πέντε, τῶν πέντε, τοῖς πέντε, τὰ πέντε. ὡσαύτως δὲ καὶ οἱ ἐφεξῆς ἀριθμοὶ κλίνονται. ἀπὸ δὲ τῶν διακοσίων πᾶς ἀριθμὸς κλίνεται τριγενῶς, οἷον οἱ διακόσιοι, τῶν διακοσίων, τοῖς διακοσίοις, τοὺς διακοσίους. αἱ διακόσιαι, τῶν διακοσίων, ταῖς διακοσίαις, τὰς διακοσίας. τὰ διακόσια, τῶν διακοσίων, τοῖς διακοσίοις, τὰ διακόσια. ὁμοίως καὶ τριακόσιοι, τετρακόσιοι, πεντακόσιοι, ἑξακόσιοι, ἑπτακόσιοι, ἐννακόσιοι, χίλιοι, δισχίλιοι, τρισχίλιοι, τετράκις χίλιοι. ὡσαύτως

Quando numeralia declinat(ur) & q(ua)ndo no(n) declinant(ur)

καὶ μύριοι, δισμύριοι, τρισμύριοι, τετρακισμύριοι καὶ τὰ ἑξῆς.

### Περὶ διαφόρου καταλήξεως τῶν ἐπιθέτων.

Ῥητέον δὲ καὶ περὶ τῆς καταλήξεως τῶν ἐπιθέτων τριγενῶν ὀνομάτων διαφόρου οὔσης. τῶν τοίνυν ἐπιθέτων τὰ μὲν εἰς ας, οἷον ὁ πᾶς τοῦ παντός, ἡ πᾶσα τῆς πάσης, τὸ πᾶν τοῦ παντός. τὰ δὲ εἰς ης, οἷον ὁ καὶ ἡ ἀληθής, τὸ ἀληθές. τὰ δὲ εἰς ην, οἷον ὁ καὶ ἡ τέρην, τὸ τέρεν. τὰ δὲ εἰς εις, οἷον ὁ χαρίεις, ἡ χαρίεσσα, τὸ χαρίεν. τὰ δὲ εἰς ις, οἷον ὁ καὶ ἡ φιλόπατρις, τὸ φιλόπατρι. τὰ δὲ εἰς ος, οἷον ἀνδρεῖος, ἀνδρεία, ἀνδρεῖον. σοφός, σοφή, σοφόν. ὁ καὶ ἡ φιλόκαλος, τὸ φιλόκαλον. Δεῖ δὲ εἰδέναι ὅτι τὰ εἰς ος καθαρὸν ἐπίθετα ἢ τὸ ρ ἔχοντα συλλαβιζόμενον εἰς α ποιοῦσι τὸ θηλυκόν, οἷον ἀνδρεῖος ἀνδρεία, λόγιος λογία, φοβερὸς φοβερά. τὰ δὲ εἰς μὴ καθαρὸν εἰς η, οἷον σοφὸς σοφή, ἀγαθὸς ἀγαθή. τὰ μέντοι σύνθετα τῶν εἰς ος ἐπιθέτων κοινὴν ἔχουσι τὴν κατάληξιν ἐπί τε τοῦ ἀρσενικοῦ καὶ θηλυκοῦ, οἷον ὁ καὶ ἡ φιλόκαλος, ὁ καὶ ἡ ἔνδοξος. ἔτι τὰ μὲν εἰς ους σύνθετα, οἷον ὁ καὶ ἡ πολύπους, τὸ πολύπουν. τὰ δὲ εἰς ους κατὰ συναίρεσιν εἰς η σχηματίζει τὸ θηλυκόν, πλὴν τῶν ἐχόντων ἐπὶ τῆς ἐσχάτης συλλαβῆς τὸ ρ, οἷον ἁπλόος ἁπλοῦς, ἁπλῆ, ἁπλοῦν. ὁμοίως δὲ καὶ χρυσοῦς, χρυσῆ, χρυσοῦν. χαλκοῦς, χαλκῆ, χαλκοῦν. ἀργυροῦς μέντοι, ἀργυρᾶ, ἀργυροῦν. τὰ δὲ εἰς υς, οἷον ἡδύς, ἡδεῖα, ἡδύ. ὁ καὶ ἡ ἄδακρυς, τὸ ἄδακρυ. τὰ δὲ εἰς ων, οἷον ὁ καὶ ἡ εὐδαίμων, τὸ εὔδαιμον. τὰ δὲ εἰς ως, οἷον ὁ καὶ ἡ εὔγεως, τὸ εὔγεων. Ταῦτι μὲν περὶ τοῦ ὀνόματος ἱκανά. νῦν δὲ περὶ τοῦ ῥήματος λέγωμεν.

### Περὶ ῥήματος.

Τί ἐστι ῥῆμα; μέρος λόγου ἄπτωτον, ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους χρόνους δηλοῦν μετ' ἐνεργείας ἢ πάθους ἢ οὐδετέρου. ἔστι δὲ προσώπων σημαντικὸν ὅτε καὶ ψυχῆς διαθέσεις δηλοῖ. παρέπονται δὲ αὐτῷ ὀκτώ, ἐγκλίσεις, διαθέσεις, εἴδη, σχήματα, ἀριθμοί, πρόσωπα, χρόνοι καὶ συζυγίαι.

#### Ἐγκλίσεις.

Πόσαι ἐγκλίσεις; πέντε. ὁριστική, προστακτική, εὐκτική, ὑποτακτικὴ καὶ ἀπαρέμφατος.

#### Διαθέσεις.

Πόσαι διαθέσεις; πέντε, ἤτουν γένη ε. ἐνεργητικὸν οἷον τύπτω. παθητικὸν οἷον τύπτομαι. οὐδέτερον οἷον ὑγιαίνω. κοινὸν ἤτουν μέσον οἷον βιάζομαι. αὐτοενεργητικὸν οἷον μάχομαι. αὐτοπαθητικὸν οἷον πάσχω.

#### Εἴδη.

Πόσα εἴδη; δύο. πρωτότυπον μὲν οἷον ἄρδω. παράγωγον δὲ οἷον ἀρδεύω.

#### Σχήματα.

Πόσα σχήματα; τρία. ἁπλοῦν μὲν οἷον φρονῶ. σύνθετον δὲ οἷον καταφρονῶ. παρασύνθετον δὲ οἷον φιλιππίζω.

#### Ἀριθμοί.

Πόσοι ἀριθμοί; τρεῖς. ἑνικὸς οἷον τύπτω. δυϊκὸς οἷον τύπτετον. πληθυντικὸς οἷον τύπτομεν.

Πόσα πρόσωπα; τρία. πρῶτον οἷον τύπτω. δεύτερον οἷον τύπτεις. τρίτον οἷον τύπτει.

#### Χρόνοι.

Πόσοι χρόνοι; ἕξ. ἐνεστώς, παρατατικός, παρακείμενος, ὑπερσυντέλικος, ἀόριστος καὶ μέλλων.

Τί ἐστιν ἐνεστώς; ὁ ἐνισταμένην καὶ ἀπλήρωτον ἔχων τὴν σημασίαν. Τί ἐστι παρατατικός; ὁ παρατεταμένην καὶ ἀτελῆ τὴν σημασίαν ἔχων τοῦ παρῳχημένου. Τί ἐστι παρακείμενος; ὁ τὴν ἐνέργειαν ἢ τὸ πάθος ἔχων παρακειμένην τῷ ἐνεστῶτι. Τί ἐστιν ὑπερσυντέλικος; ὁ τὴν τοῦ παρεληλυθότος σημασίαν ἔχων καὶ ἐντελῆ τοῦ παρακειμένου. Τί ἐστιν ἀόριστος; ὁ ἐπὶ τοῦ παρεληλυθότος μὲν λεγόμενος καὶ πεπληρωμένην σημασίαν ἔχων, μὴ ἔχων δὲ ὡρισμένον καιρὸν τῆς ἐνεργείας αὐτοῦ ἢ τοῦ πάθους. Τί ἐστι μέλλων; ὁ μήπω γεγονώς.

#### Συζυγίαι.

Πόσαι συζυγίαι; δεκατρεῖς. ἓξ τῶν βαρυτόνων ῥημάτων, τρεῖς τῶν περισπωμένων καὶ τέσσαρες τῶν εἰς μι. Τῶν γὰρ ῥημάτων τρεῖς εἰσι καταλήξεις. μία μὲν εἰς ω βαρύτονον, οἷον τύπτω. δευτέρα δὲ εἰς ω περισπώμενον ἐκ συναιρέσεως, οἷον ποιέω ποιῶ. τρίτη δὲ εἰς μι, οἷον τίθημι.



Handwritten marginalia (left page): περὶ τῶν ἐπιθέτων; Variae adiectiuorum terminationes; ἀργυροῦς ᾶ οῦν; Verbum; Verbo accidunt 8; Modi. Beneath the text: ὁ καὶ ἡ ἄδακρυς καὶ τὸ ἄδακρυ

Handwritten marginalia (right page): Notitiae; Species; Figurae; Numeri; Personae; Tempora; Presens; Preteritum imperfectum; Preteritum perfectum; Preter plusquamperfectum; Aoristus; Futurum; Coniugationes 13

## πρώτη συζυγία.

Coniuga. 1. Πρώτη μὲν οὖν συζυγία τῶν βαρυτόνων ῥημάτων ἐκφέρεται διὰ τοῦ. β. ἢ. φ. ἢ. π. ἢ. πτ. οἷον λείβω τέρπω. γράφω τύπτω. ὧν ὁ μὲν μέλλων διὰ τοῦ. ψ. οἷον τύψω. ὁ δὲ παρακείμενος διὰ τοῦ. φ. οἷον τέτυφα.

### ἐνεργητικά.

ὁ ἐνεστὼς τύπτω. ὁ παρατατικὸς ἔτυπτον. ὁ μέλλων τύψω ὁ παρακείμενος τέτυφα. ὁ ὑπερσυντέλικος ἐτετύφειν. ὁ μέσος παρακείμενος τέτυπα. ὁ μέσος ὑπερσυντέλικος ἐτετύπειν. ὁ πρῶτος ἀόριστος ἔτυψα. ὁ δεύτερος ἔτυπον. ὁ δεύτερος μέλλων τυπῶ.

### παθητικά.

ὁ ἐνεστὼς τύπτομαι. ὁ παρατατικὸς ἐτυπτόμην. ὁ παρακείμενος τέτυμμαι. ὁ ὑπερσυντέλικος ἐτετύμμην. ὁ πρῶτος ἀόριστος ἐτύφθην. ὁ δεύτερος ἐτύπην. ὁ πρῶτος μέλλων τυφθήσομαι. ὁ δεύτερος μέλλων τυπήσομαι. ὁ μετ᾽ ὀλίγον μέλλων τετύψομαι.

### μέσοι.

ὁ μέσος ἀόριστος πρῶτος ἐτυψάμην. ὁ μέσος δεύτερος ἀόριστος ἐτυπόμην. ὁ μέσος μέλλων πρῶτος τύψομαι. ὁ μέσος μέλλων δεύτερος τυποῦμαι.

## δευτέρα.

Coniugaº. 2. Δευτέρα δὲ ἐκφέρεται διὰ τοῦ. γ. ἢ. κ. ἢ. χ. ἢ. κτ. οἷον λέγω πλέκω τρέχω τίκτω. ὧν ὁ μὲν μέλλων διὰ τοῦ. ξ. οἷον πλέξω ὁ δὲ παρακείμενος διὰ τοῦ. χ. οἷον πέπλεχα.

### ἐνεργητικά.

ὁ ἐνεστὼς πλέκω. ὁ παρατατικὸς ἔπλεκον. ὁ μέλλων πλέξω. ὁ παρακείμενος πέπλεχα. ὁ ὑπερσυντέλικος ἐπεπλέχειν. ὁ μέσος παρακείμενος πέπλοκα. ὁ μέσος ὑπερσυντέλικος ἐπεπλόκειν. ὁ ἀόριστος πρῶτος ἔπλεξα. ὁ δεύτερος ἀόριστος ἔπλακον. ὁ δεύτερος μέλλων πλακῶ.

### παθητικά.

ὁ ἐνεστὼς πλέκομαι. ὁ παρατατικὸς ἐπλεκόμην. ὁ παρακείμενος πέπλεγμαι. ὁ ὑπερσυντέλικος ἐπεπλέγμην. ὁ ἀόριστος πρῶτος ἐπλέχθην. ὁ δεύτερος ἐπλάκην. ὁ μέλλων πρῶτος πλεχθήσομαι ὁ δεύτερος πλακήσομαι. ὁ μετ᾽ ὀλίγον



μέλλων πεπλέξομαι.

### μέσοι.

ὁ μέσος ἀόριστος πρῶτος ἐπλεξάμην. ὁ μέσος ἀόριστος δεύτερος ἐπλακόμην. ὁ μέσος μέλλων πρῶτος πλέξομαι. ὁ μέσος μέλλων δεύτερος πλακοῦμαι.

## τρίτη.

Τρίτη δὲ ἐκφέρεται διὰ τοῦ. δ. ἢ. θ. ἢ. τ. οἷον ᾄδω πλήθω ἀνύτω. ὧν ὁ μὲν μέλλων διὰ τοῦ. σ. οἷον πλήσω. ὁ δὲ παρακείμενος διὰ τοῦ. κ. οἷον πέπληκα. Coingº. 3.

### ἐνεργητικά.

ὁ ἐνεστὼς πλήθω ὁ παρατατικὸς ἔπληθον ὁ μέλλων πλήσω ὁ παρακείμενος πέπληκα. ὁ ὑπερσυντέλικος ἐπεπλήκειν ὁ μέσος παρακείμενος πέπληθα. ὁ μέσος ὑπερσυντέλικος ἐπεπλήθειν ὁ ἀόριστος πρῶτος ἔπλησα ὁ δεύτερος ἀόριστος ἔπλαθον ὁ δεύτερος μέλλων πλαθῶ.

ἔπλαθον. αορ. β. ἀπὸ τοῦ πλήθω

### παθητικά.

ὁ ἐνεστὼς πλήθομαι ὁ παρατατικὸς ἐπληθόμην ὁ παρακείμενος πέπλησμαι ὁ ὑπερσυντέλικος ἐπεπλήσμην ὁ ἀόριστος ἐπλήσθην ὁ δεύτερος ἐπλάθην ὁ πρῶτος μέλλων πλησθήσομαι ὁ δεύτερος πλαθήσομαι ὁ μετ᾽ ὀλίγον μέλλων πεπλήσομαι.

### μέσοι.

ὁ μέσος ἀόριστος πρῶτος ἐπλησάμην ὁ μέσος ἀόριστος δεύτερος ἐπλαθόμην ὁ μέσος μέλλων πρῶτος πλήσομαι ὁ μέσος μέλλων δεύτερος πλαθοῦμαι.

## τετάρτη.

Τετάρτη δὲ ἐκφέρεται διὰ τοῦ. ζ. ἢ δύο. σσ. ἢ δύο. ττ. ἢ. τγ. κατὰ τοὺς παλαιοὺς οἷον φράζω ὀρύσσω ὀρύττω ὀρύγω. ὧν ὁ μὲν μέλλων διὰ τοῦ. σ. ἢ. ξ. οἷον φράσω ὀρύξω. ὁ δὲ παρακείμενος διὰ τοῦ. κ. ἢ. χ. οἷον πέφρακα ὤρυχα. Coniugº. 4.

### ἐνεργητικά.

ὁ ἐνεστὼς φράζω ὁ παρακείμενος ἔφραζον ὁ μέλλων φράσω ὁ παρακείμενος πέφρακα ὁ ὑπερσυντέλικος ἐπεφράκειν. ὁ μέσος παρακείμενος πέφραδα ὁ μέσος ὑπερσυντέλικος ἐπεφράδειν ὁ ἀόριστος πρῶτος ἔφρασα ὁ δεύτερος ἔφραδον ὁ δεύτερος μέλλων φραδῶ.

### παθητικά



Nota apud antiquos quarta coniugatione efferri solitam p. τγ. Hanc opinione eleganter urbanus confutat.

ὁ ἐνεστὼς φράζομαι ὁ παρατατικὸς ἐφραζόμην ὁ παρακείμενος πέφρασμαι ὁ ὑπερσυντέλικος ἐπεφράσμην ὁ ἀόριστος πρῶτος ἐφράσθην ὁ ἀόριστος δεύτερος ἐφράδην ὁ πρῶτος μέλλων φρασθήσομαι ὁ δεύτερος μέλλων φραδήσομαι ὁ μετ' ὀλίγον μέλλων πεφράσομαι.

μέσοι.

ὁ μέσος ἀόριστος πρῶτος ἐφρασάμην ὁ μέσος ἀόριστος δεύτερος ἐφραδόμην. ὁ μέσος μέλλων πρῶτος φράσομαι ὁ μέσος μέλλων δεύτερος φραδοῦμαι.

Πέμπτη.

Coniug. 5

Πέμπτη δὲ ἐκφέρεται διὰ τῶν τεσσάρων ἀμεταβόλων. λ. μ. ν. ρ. οἷον ψάλλω νέμω κρίνω σπείρω. ὧν ὁ μὲν μέλλων διὰ τοῦ αὐτοῦ ἀμεταβόλου περισπώμενος καὶ βραχεῖαν τὴν παραλήγουσαν ἔχων οἷον σπερῶ. ὁ δὲ παρακείμενος διὰ τοῦ. κ. οἷον ἔσπαρκα.

ἐνεργητικά.

ὁ ἐνεστὼς σπείρω ὁ παρατατικὸς ἔσπειρον ὁ μέλλων σπερῶ ὁ παρακείμενος ἔσπαρκα ὁ ὑπερσυντέλικος ἐσπάρκειν ὁ μέσος παρακείμενος ἔσπορα ὁ μέσος ὑπερσυντέλικος ἐσπόρειν ὁ ἀόριστος πρῶτος ἔσπειρα ὁ δεύτερος ἔσπαρον ὁ μέλλων δεύτερος σπαρῶ.

παθητικά.

ὁ ἐνεστὼς σπείρομαι ὁ παρατατικὸς ἐσπειρόμην ὁ παρακείμενος ἔσπαρκα [ἔσπαρμαι] ὁ ὑπερσυντέλικος ἐσπάρμην ὁ ἀόριστος πρῶτος ἐσπάρθην ὁ δεύτερος ἐσπάρην ὁ μέλλων πρῶτος σπαρθήσομαι ὁ μέλλων δεύτερος σπαρήσομαι ὁ μετ' ὀλίγον μέλλων ἐσπάρσομαι.

μέσοι

ὁ μέσος ἀόριστος πρῶτος ἐσπειράμην ὁ μέσος ἀόριστος δεύτερος ἐσπαρόμην ὁ μέσος μέλλων πρῶτος σπεροῦμαι ὁ μέσος μέλλων δεύτερος σπαροῦμαι.

Coniug. 6.

Ἕκτη δὲ ἐκφέρεται διὰ καθαροῦ τοῦ ω οἷον ἀκούω βασιλεύω. ὧν ὁ μὲν μέλλων διὰ τοῦ σ οἷον ἀκούσω ὁ δὲ παρακείμενος διὰ τοῦ κ οἷον ἤκουκα.

ἐνεργητικά.



ὁ ἐνεστὼς ἀκούω ὁ παρατατικὸς ἤκουον ὁ μέλλων ἀκούσω ὁ παρακείμενος ἤκουκα ὁ ὑπερσυντέλικος ἠκούκειν ὁ μέσος παρακείμενος ἤκουα. ὁ μέσος ὑπερσυντέλικος ἠκούειν ὁ ἀόριστος πρῶτος ἤκουσα ὁ δεύτερος ἤκοον. ὁ δεύτερος μέλλων ἀκοῶ.

μέλλων. β. ἀκοῶ.

παθητικά.

ὁ ἐνεστὼς ἀκούομαι ὁ παρατατικὸς ἠκουόμην ὁ παρακείμενος ἤκουσμαι ὁ ὑπερσυντέλικος ἠκούσθην ὁ δεύτερος ἠκόην ὁ μέλλων πρῶτος ἀκουσθήσομαι ὁ μέλλων δεύτερος ἀκοήσομαι ὁ μετ' ὀλίγον μέλλων ἠκούσομαι.

ἠκουσάμην ὁ ἀόριστος πρῶτος

μέσοι.

ὁ μέσος ἀόριστος πρῶτος ἠκουσάμην ὁ μέσος ἀόριστος δεύτερος ἠκοόμην ὁ μέσος μέλλων πρῶτος ἀκούσομαι ὁ μέσος μέλλων δεύτερος ἀκοοῦμαι.

σύμφωνα τοῦ μέλλοντος καὶ τοῦ παρακειμένου.

Τὰ μὲν οὖν τοῦ μέλλοντος σύμφωνα ἐστὶ. ψ. ξ. σ. ἀμετάβολα. τὰ δὲ τοῦ ἐνεργητικοῦ παρακειμένου τρία. φ. χ. κ. διὸ εἰ μὲν ὁ μέλλων τὸ. ψ. ἔχει ἀεὶ ὁ ἐνεργητικὸς παρακείμενος ἔχει τὸ. φ. εἰ δὲ ὁ μέλλων τὸ. ξ. ὁ παρακείμενος τὸ χ. εἰ δὲ ὁ μέλλων τὸ. σ. ἢ ἕν τι τῶν ἀμεταβόλων ὁ ἐνεργητικὸς παρακείμενος τὸ κ. καὶ αὕτη μὲν χρονικὴ κλίσις τῶν ῥημάτων. ἔστι δὲ καὶ κλίσις ἐγκλιτικὴ καὶ ἑτέρα τις προσωπικὴ ὧδε.

Coniug.
Temporalis
Modalis
Personalis

ὁριστικὰ ἐνεργητικὰ ἐνεστῶτος.

ε. τύπτω τύπτεις τύπτει. δ. τύπτετον τύπτετον. πλ. τύπτομεν τύπτετε τύπτουσιν. παρατατικός.

ε. ἔτυπτον ἔτυπτες ἔτυπτε. δ. ἐτύπτετον ἐτυπτέτην. πλ. ἐτύπτομεν ἐτύπτετε ἔτυπτον. παρακείμενος.

ε. τέτυφα τέτυφας τέτυφε. δ. τετύφατον τετύφατον. πλ. τετύφαμεν τετύφατε τετύφασιν. ὑπερσυντέλικος.

ε. ἐτετύφειν ἐτετύφεις ἐτετύφει. δ. ἐτετύφειτον ἐτετυφείτην. π. ἐτετύφειμεν ἐτετύφειτε ἐτετύφεισαν. μέσος παρακείμε.

ε. τέτυπα τέτυπας τέτυπε. δ. τετύπατον τετύπατον. πλ. τετύπαμεν τετύπατε τετύπασι. μέσος ὑπερ.

ε. ἐτετύπειν ἐτετύπεις ἐτετύπει. δ. ἐτετύπειτον ἐτετυπείτην

πλ. ἐτετύπειμεν ἐτετύπειτε ἐτετύπεισαν.

ἀόριστος πρῶτος.

ε. ἔτυψα ἔτυψας ἔτυψε. δ. ἐτύψατον ἐτυψάτην. πλ. ἐτύψαμεν ἐτύψατε ἔτυψαν. ἀόριστος δεύτερος.

ε. ἔτυπον ἔτυπες ἔτυπε. δ. ἐτύπετον ἐτυπέτην. πλ. ἐτύπομεν ἐτύπετε ἔτυπον. μέλλων πρῶτος.

ε. τύψω τύψεις τύψει. δ. τύψετον τύψετον. πλ. τύψομεν τύψετε τύψουσι. μέλλων δεύτερος.

ε. τυπῶ τυπεῖς τυπεῖ. δ. τυπεῖτον τυπεῖτον. πλ. τυποῦμεν τυπεῖτε τυποῦσι.

προστακτικὰ ἐνεργητικὰ ἐνεστῶς καὶ παρατατικός.

ε. τύπτε τυπτέτω. δ. τύπτετον τυπτέτων. πλ. τύπτετε τυπτέτωσαν. παρακείμενος.

ε. τέτυφε τετυφέτω. δ. τέτυφετον τετυφέτων. πλ. τέτυφετε τετυφέτωσαν. μέσος παρακείμενος.

ε. τέτυπε τετυπέτω. δ. τετύπετον τετυπέτων. πλ. τετύπετε τετυπέτωσαν. ἀόριστος πρῶτος.

ε. τύψον τυψάτω. δ. τύψατον τυψάτων. πλ. τύψατε τυψάτωσαν. ἀόριστος δεύτερος.

ε. τύπε τυπέτω. δ. τύπετον τυπέτων. πλ. τύπετε τυπέτωσαν. εὐκτικὰ ἐνεργητικὰ ἐνεστῶς καὶ παρατατ.

ε. τύπτοιμι τύπτοις τύπτοι. δ. τύπτοιτον τυπτοίτην. π. τύπτοιμεν τύπτοιτε τύπτοιεν. παρακείμενος.

ε. τετύφοιμι τετύφοις τετύφοι. δ. τετύφοιτον τετυφοίτην. π. τετύφοιμεν τετύφοιτε τετύφοιεν. μέσος παρ. καὶ ὑπερ.

ε. τετύποιμι τετύποις τετύποι. δ. τετύποιτον τετυποίτην. πλ. τετύποιμεν τετύποιτε τετύποιεν. ἀόριστος πρῶ.

ε. τύψαιμι τύψαις τύψαι. δ. τύψαιτον τυψαίτην. π. τύψαιμεν τύψαιτε τύψαιεν. καὶ αἰολικῶς.

ε. τύψεια τύψειας τύψειε. δ. τυψείατον τυψειάτην. πλ. τυψείαμεν τυψείατε τύψειαν. ἀόριστος δεύτερος.

ε. τύποιμι τύποις τύποι. δ. τύποιτον τυποίτην. π. τύποιμεν τύποιτε τύποιεν. μέλλων πρῶτος.

ε. τύψοιμι τύψοις τύψοι. δ. τύψοιτον τυψοίτην. πλ. τύψοιμεν τύψοιτε τύψοιεν. μέσος μέλλων δεύτερος.



ε. τυποῖμι τυποῖς τυποῖ. δ. τυποῖτον τυποίτην. πλ. τυποῖμεν τυποῖτε τυποῖεν.

ὑποτακτικὰ ἐνεργητικὰ ἐνεστῶς

ε. ἐὰν τύπτω τύπτῃς τύπτῃ. δ. ἐὰν τύπτητον τύπτητον. πλ. ἐὰν τύπτωμεν τύπτητε τύπτωσιν.

παρακείμενος.

ε. ἐὰν τετύφω τετύφῃς τετύφῃ. δ. ἐὰν τετύφητον τετύφητον. πλ. ἐὰν τετύφωμεν τετύφητε τετύφωσιν.

μέσος παρακείμενος καὶ ὑπερ.

ε. ἐὰν τετύπω τετύπῃς τετύπῃ. δ. ἐὰν τετύπητον τετύπητον. πλ. ἐὰν τετύπωμεν τετύπητε τετύπωσιν.

ἀόριστος πρῶτος.

ε. ἐὰν τύψω τύψῃς τύψῃ. δ. ἐὰν τύψητον τύψητον. πλ. ἐὰν τύψωμεν τύψητε τύψωσιν.

ἀόριστος δεύτερος.

ε. ἐὰν τύπω τύπῃς τύπῃ. δ. ἐὰν τύπητον τύπητον. πλ. ἐὰν τύπωμεν τύπητε τύπωσιν.

ἀπαρέμφατα ἐνεργητικὰ ἐνεστῶς καὶ παρατατικός.

τύπτειν. παρακείμενος τετυφέναι. μέσος παρακείμενος τετυπέναι. ἀόριστος πρῶτος τύψαι. μέλλων πρῶτος τύψειν. μέλλων δεύτερος τυπεῖν.

μετοχαὶ ἐνεργητικαὶ ἐνεστῶς.

ὁ τύπτων τοῦ τύπτοντος. ἡ τύπτουσα τῆς τυπτούσης. τὸ τύπτον τοῦ τύπτοντος.

παρακείμενος.

ὁ τετυφὼς τοῦ τετυφότος. ἡ τετυφυῖα τῆς τετυφυίας. τὸ τετυφὸς τοῦ τετυφότος. μέσος παρακείμενος ὁ τετυπὼς τοῦ τετυπότος. ἡ τετυπυῖα τῆς τετυπυίας. τὸ τετυπὸς τοῦ τετυπότος. ἀόριστος πρῶτος.

ὁ τύψας τοῦ τύψαντος. ἡ τύψασα τῆς τυψάσης. τὸ τύψαν τοῦ τύψαντος.

ἀόριστος δεύτερος.

ὁ τυπὼν τοῦ τυπόντος. ἡ τυποῦσα τῆς τυπούσης. τὸ τυπὸν τοῦ τυπόντος. μέλλων πρῶτος.

ὁ τύψων τοῦ τύψοντος. ἡ τύψουσα τῆς τυψούσης. τὸ τύ-

ψον τοῦ τύψοντος.

μέλλων δεύτερος.

ὁ τυπῶν τοῦ τυποῦντος. ἡ τυποῦσα τῆς τυπούσης. τὸ τυποῦν τοῦ τυποῦντος.

Ἰστέον ὅτι ὅτε τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τὸ μ ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχει ἀπολείπει τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν. Ἔτι ὅτε τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν εἰς σι ἢ εἰς αι δίφθογγον λήγει τότε ὁμοφωνοῦσι τὰ δεύτερα καὶ τρίτα πρόσωπα τῶν δυϊκῶν. ὅτε δὲ μὴ οὕτως ἔχει διαλλάττουσι. Ἔτι ἐν τοῖς προστακτικοῖς καὶ ὑποτακτικοῖς μέλλοντες οὐκ εἰσίν. οἱ δὲ ἀόριστοι μελλόντων ἔχουσι σημασίαν καλοῦνται δὲ ἀφ᾽ ὧν παράγονται. Ἔτι ἐν ταῖς ἄλλαις ἐγκλίσεσι πλὴν τῆς ὁριστικῆς ὁ ἐνεστὼς καὶ παρατατικὸς συνημμένοι εἰσίν. ὁμοίως δὲ καὶ ὁ παρακείμενος καὶ ὑπερσυντέλικος.

Σημείωσαι δὲ ὅτι αἱ μετοχαὶ ἐνεργητικαὶ τῶν ἀρσενικῶν καὶ οὐδετέρων κατὰ τὴν πέμπτην ἁπλῆν κλίνονται κλίσιν· αἱ δὲ θηλυκαὶ κατὰ τὴν δευτέραν.

Ὁριστικὰ παθητικὰ ἐνεστώς.

Ἑ. τύπτομαι τύπτῃ τύπτεται. Δ. τυπτόμεθον τύπτεσθον τύπτεσθον. πλ. τυπτόμεθα τύπτεσθε τύπτονται.

παρατατικός.

Ἑ. ἐτυπτόμην ἐτύπτου ἐτύπτου ἐτύπτετο. Δ. ἐτυπτόμεθον ἐτύπτεσθον ἐτυπτέσθην. πλ. ἐτυπτόμεθα ἐτύπτεσθε ἐτύπτοντο.

παρακείμενος.

Ἑ. τέτυμμαι τέτυψαι τέτυπται. Δ. τετύμμεθον τέτυφθον τέτυφθον. π. τετύμμεθα τέτυφθε τετυμμένοι εἰσὶ καὶ ἰωνικῶς τετύφαται.

ὑπερσυντέλικος

Ἑ. ἐτετύμμην ἐτέτυψο ἐτέτυπτο. Δ. ἐτετύμμεθον ἐτέτυφθον ἐτετύφθην. πλ. ἐτετύμμεθα ἐτέτυφθε τετυμμένοι ἦσαν καὶ ἰωνικῶς ἐτετύφατο.

Ἰστέον ὅτι ὅτε τὸ τρίτον πρόσωπον τῶν ἑνικῶν τοῦ παθητικοῦ παρακειμένου ἐπὶ τῆς λήγουσης πρὸ τοῦ τ ἕτερον σύμφωνον ἔχει οὐ ποιεῖ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἀκολούθως· ἀναπληροῖ δὲ ἡ χρῆσις αὐτὸ διὰ μετο-

χῆς καὶ ὑπαρκτικοῦ ῥήματος οἷον τετυμμένοι εἰσί· ἢ ἰωνικῶς προφέρουσιν οἷον τετύφαται. ὁμοίως δὲ γίνεται καὶ ἐπὶ τοῦ ὑπερσυντελίκου ἐτετύφατο.

ἀόριστος πρῶτος.

Ἑ. ἐτύφθην ἐτύφθης ἐτύφθη. Δ. ἐτύφθητον ἐτυφθήτην. πλ. ἐτύφθημεν ἐτύφθητε ἐτύφθησαν.

ἀόριστος δεύτερος.

Ἑ. ἐτύπην ἐτύπης ἐτύπη. Δ. ἐτύπητον ἐτυπήτην. πλ. ἐτύπημεν ἐτύπητε ἐτύπησαν.

μέλλων πρῶτος.

Ἑ. τυφθήσομαι τυφθήσῃ τυφθήσεται. Δ. τυφθησόμεθον τυφθήσεσθον τυφθήσεσθον. πλ. τυφθησόμεθα τυφθήσεσθε τυφθήσονται.

μέλλων δεύτερος.

Ἑ. τυπήσομαι τυπήσῃ τυπήσεται. Δ. τυπησόμεθον τυπήσεσθον τυπήσεσθον. πλ. τυπησόμεθα τυπήσεσθε τυπήσονται.

μετ᾽ ὀλίγον μέλλων.

Ἑ. τετύψομαι τετύψῃ τετύψεται. Δ. τετυψόμεθον τετύψεσθον τετύψεσθον. πλ. τετυψόμεθα τετύψεσθε τετύψονται.

μέσος ἀόριστος πρῶτος.

Ἑ. ἐτυψάμην ἐτύψω ἐτύψατο. Δ. ἐτυψάμεθον ἐτύψασθον ἐτυψάσθην. π. ἐτυψάμεθα ἐτύψασθε ἐτύψαντο.

μέσος ἀόριστος δεύτερος.

Ἑ. ἐτυπόμην ἐτύπου ἐτύπετο. Δ. ἐτυπόμεθον ἐτύπεσθον ἐτυπέσθην. πλ. ἐτυπόμεθα ἐτύπεσθε ἐτύποντο.

μέσος μέλλων πρῶτος.

οἷον ὁ βότρυς τοῦ βότρυος ὁ νέκυς τοῦ νέκυος. πλὴν τοῦ
πῆχυς πήχεως. πέλεκυς πελέκεως. ἔγχελυς ἐγχέλεως.
ἃ καὶ διὰ τοῦ ω μεγάλου κλίνονται ἀττικῶς. Ὡσαύτως δὲ
καὶ τὰ εἰς υς ὀξύτονα μονογενῆ ἢ μακρὸν ἔχει τὸ υ διὰ τοῦ
υος κλίνεται οἷον πληθὺς πληθύος ἀχλὺς ἀχλύος ὀϊζὺς
ὀϊζύος ὀαριστὺς ὀαριστύος. Τὰ δὲ εἰς νς λήγοντα διὰ τοῦ
θος κλίνεται. οἷον ἕλμινς ἕλμινθος. τίρυνς τίρυνθος.
Τὰ δὲ εἰς λς ἐκβολῇ τοῦ ς τῷ ὑπάρχοντι ἀμεταβόλῳ κλί-
νεται· οἷον ἃλς ἁλός. Τὰ δὲ εἰς αξ λήγοντα ὀνόματα
ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ κ κλίνεται πλὴν τῶν ἐχόν-
των ῥῆμα ἀντιπαρακείμενον εἰς ζω λῆγον. ταῦτα γὰρ διὰ
τοῦ γ κλίνονται οἷον ἅρπαξ ἅρπαγος ὅτι ἁρπάζω καὶ πλὴν
τοῦ ἄναξ ἄνακτος ἵνα μὴ συνεμπέσῃ τῷ ἄναξ ἄνακος. Ὁμοίως
δὲ καὶ τὰ εἰς ηξ βαρύτονα ἁπλᾶ διὰ τοῦ κ κλίνονται· οἷον
μύρμηξ μύρμηκος μάρθηξ μάρθηκος. σύνθετα δὲ διὰ τοῦ
γ· οἷον βουπλὴξ βουπλῆγος. Ἔτι τὰ εἰς ιξ διὰ τοῦ ι γραφό-
μενα ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ κ κλίνονται εἰ μὴ ἔχουσι
ῥῆμα ἀντιπαρακείμενον εἰς ζω λῆγον. οἷον τέττιξ τέττι-
γος ὅτι τερετίζω. Ἔτι τὰ εἰς υξ διὰ τοῦ υ ψιλοῦ γραφό-
μενα φύσει μακρὰν ἔχοντα τὴν παραλήγουσαν καὶ ὅσα διὰ
δυοῖν συμφώνοιν προφέρεται ὧν θάτερον τῆς πρώτης συ-
ζυγίας διὰ τοῦ κ κλίνεται· οἷον δοίδυξ δοίδυκος. βέβρυξ
βέβρυκος. ἄμπυξ ἄμπυκος. Τὰ δὲ μὴ οὕτως ἔχοντα διὰ

τοῦ γ· οἷον ἄπτυξ ἄπτυγος. τῶν δὲ εἰς ξ ληγόντων μονοσυλλά-
βων ἐστὶ μὲν ἡ κλίσις ποικίλη. τὰ πλεῖω γε μὴν τούτων διὰ
τοῦ κ κλίνονται· οἷον θρᾶξ θρακός, σφὴξ σφηκός, προὶξ προικός·
πτὺξ πτυκός, πτὼξ πτωκός. ῥὰξ μέντοι ῥαγός, αἲξ αἰγός, στὺξ στυ-
γός, τρὺξ τρυγός, φρὺξ φρυγός, ῥὼξ ῥωγός διὰ τοῦ γ· καὶ βὴξ βηχός, θρὶξ
τριχός, πτὺξ πτυχὸς διὰ τοῦ χ. τὰ δὲ εἰς ψ λήγοντα ὡς ἐπὶ
τὸ πλεῖστον διὰ τοῦ π κλίνονται· οἷον κύκλωψ κύκλωπος, μύ-
ωψ μύωπος, κώνωψ κώνωπος, πλὴν τοῦ ἄραψ ἄραβος, χά-
λυψ χάλυβος, λὶψ λιβὸς, καὶ κίνυψ κίνυφος. τὰ δὲ εἰς ν λήγον-
τα ἀμετάβολον ἢ ρ διὰ τοῦ αὐτοῦ ἀμεταβόλου κλίνονται·
οἷον ἕλλην ἕλληνος, ῥήτωρ ῥήτορος. ὅσα μὲν οὖν εἰς ην λήγου-
σιν ἀρσενικὰ βαρύτονα μονογενῆ τὸ η τηρεῖ καὶ ἐπὶ τῆς γενι-
κῆς καὶ προσθέσει τοῦ ος κλίνονται· οἷον ἕλλην ἕλληνος. ὅσα δὲ
ἔχει οὐδέτερον παρεσχηματισμένον διὰ τοῦ ε κλίνονται·
οἷον τέρην τέρενος, ὅτι καὶ τέρεν. τῶν δὲ εἰς ην ὀξυτόνων ὅσα
μὲν μὴ ἔχει τὸ μ ἐπὶ τῆς ἐσχάτης, τὸ η τηρεῖ καὶ ἐπὶ γενικῆς καὶ
προσθέσει τοῦ ος κλίνονται· οἷον σωλὴν σωλῆνος, χὴν χηνός·
πλὴν τοῦ αὐχὴν αὐχένος καὶ φρὴν φρενός. ὅσα δὲ ἔχει τὸ μ,
τρέπει τὸ η εἰς ε καὶ προσθέσει τοῦ ος κλίνονται, πλὴν τοῦ μὴν
μηνός. τὰ δὲ εἰς ιν διὰ τοῦ ι γραφόμενα δικατάληκτα εἰσὶν
ἐπὶ τῆς ἐσχάτης καὶ προσθέσει τοῦ ος κλίνονται· οἷον δελφὶν
δελφῖνος καὶ δελφὶς δελφῖνος, ῥὶν ῥινὸς καὶ ῥὶς ῥινός.
τῶν δὲ εἰς ηρ ἀρσενικῶν ὅσα μὲν ὀξύτονα ὄντα ἔχει τὸ τ
ἐπὶ ἐσχάτης, τὸ η τηρεῖ καὶ ἐπὶ γενικῆς καὶ προσθέσει τοῦ ος
κλίνονται· οἷον λουτὴρ λουτῆρος, καμπτὴρ καμπτῆρος· πλὴν
τοῦ ἀστὴρ ἀστέρος, πατὴρ πατέρος, γαστὴρ γαστέρος. οἷς ἠκο-
λούθησε καὶ τῶν παροξυτονουμένων θυγάτηρ θυγατέρος, μή-
τηρ μητέρος. ὅσα δὲ μὴ ἔχει τὸ τ, τρέπει τὸ η εἰς ε καὶ προσθέ-
σει τοῦ ος κλίνονται· οἷον αἰθὴρ αἰθέρος, ἀὴρ ἀέρος, πλὴν τοῦ
σπινθὴρ σπινθῆρος καὶ ἐλευθὴρ ἐλευθῆρος. τῶν δὲ εἰς ηρ βαρυτό-
νων ὅσα μὲν μακρᾷ παραλήγονται διὰ τοῦ ερος κλίνονται· οἷον
πίηρ πίερος. ὅσα δὲ βραχείᾳ φυλάττει τὸ η ἐπὶ τῆς γενικῆς· οἷον
ἴβηρ ἴβηρος. τὰ δὲ εἰς ωρ βαρύτονα συστολῇ τοῦ ω μεγάλου καὶ
προσθέσει τοῦ ος κλίνονται· οἷον νέστωρ νέστορος, ἕκτωρ ἕκτορος,
πλὴν τῶν ἐχόντων τὸ λ ἢ τὸ μ ἐπὶ τῆς τελευταίας συλλαβῆς. ταῦ-



τα γὰρ διὰ τοῦ ω μεγάλου κλίνονται· οἷον ἕλωρ ἕλωρος, τέ-
κμωρ τέκμωρος.

## Περὶ αἰτιατικῆς.

Ἰστέον δὲ ὅτι ἔνια τῶν τῆς πέμπτης κλίσεως τῶν εἰς ις ληγόν-
των βαρυτόνων καὶ διὰ τοῦ δ ἢ θ κλινομένων καὶ εἰς ν λήγουσαν
ἔχουσι τὴν αἰτιατικὴν τῶν ἑνικῶν· οἷον ὁ πάρις τοῦ πάριδος
τὸν πάριν· ἡ μῆνις τῆς μήνιδος τὴν μῆνιν· ὁ ὄρνις τοῦ ὄρνιθος
τὸν ὄρνιν· καὶ ἔτι τὰ εἰς υς διὰ καθαροῦ τοῦ ος κλινόμενα· οἷον
ἡ ἀχλὺς τῆς ἀχλύος τὴν ἀχλύν· ἡ γένυς τῆς γένυος τὴν γένυν.
τούτοις δὲ ἠκολούθησε καὶ τὸ ἔπηλυς ἐπήλυδος ἔπηλυν.
ὡσαύτως δὲ καὶ τῶν εἰς ης διὰ τοῦ εος κλινομένων τὴν συναι-
ρουμένην αἰτιατικὴν οἱ ἀττικοὶ ἐπὶ τῶν κυρίων μετὰ τοῦ ν
προφέρουσι· τὸν δημοσθένην λέγοντες καὶ τὸν ἀριστοφάνην.
ἔτι σημειωτέον ὅτι τῶν ἀνωμάλων συγκριτικῶν τῶν εἰς ων
ληγόντων ἡ μὲν τῶν ἑνικῶν αἰτιατικὴ συναιρεῖται εἰς ω ἀττι-
κῶς ἐξαιρέσει δῆλον ὅτι τοῦ ν καὶ κράσει τοῦ ο καὶ εἰς ω μέγα·
οἷον ἀμείνονα ἀμείνω· ἡ δὲ εὐθεῖα καὶ αἰτιατικὴ τῶν πληθυν-
τικῶν τῶν μὲν ἀρσενικῶν καὶ θηλυκῶν εἰς ους· οἷον ἀμείνονες
ἀμείνους, ἀμείνονας ἀμείνους. τῶν δὲ οὐδετέρων εἰς ω μέγα·
οἷον ἀμείνονα ἀμείνω. ἔτι ἔνια τῶν εἰς ως ληγόντων ἰσοσυλ-
λάβων καὶ ἀττικῶς κλινομένων προφέρονται ἐπὶ τῆς αἰτια-
τικῆς τῶν ἑνικῶν ἄνευ τοῦ ν· οἷον τὸν ἄθω, τὸν λαγώ, τὴν κῶ,
τὴν τέω, τὴν ἕω. ἔτι τὰ εἰς ος καθαρὸν λήγοντα παραληγό-
μενα τῷ α οἱ ἀττικοὶ τρέποντες τὸ ο μικρὸν εἰς ω μέγα
καὶ τὸ α εἰς ε κλίνουσιν· οἷον μενέλαος μενέλεως, ναὸς νεώς.
ἔτι τῶν εἰς ευς καθαρὸν ληγόντων καὶ τῶν εἰς ης καθαρὸν
διὰ τοῦ εος κλινομένων τὸ ε καὶ α τῆς αἰτιατικῆς τῶν ἑνικῶν οἱ
ἀττικοὶ συναιροῦσιν εἰς α· οἷον πειραιεὺς πειραιέα πειραιᾶ·
ὑγιὴς ὑγιέα ὑγιᾶ. ἔτι τὰ εἰς ης λήγοντα κύρια τῶν ὀνομά-
των τῆς πρώτης κλίσεως τῶν συνῃρημένων, καὶ τὸ ε παραλη-
γόμενα συναιροῦνται ἐπὶ τῆς εὐθείας τῶν ἑνικῶν· οἷον περικλέ-
ης περικλῆς, σοφοκλέης σοφοκλῆς. τούτων δὲ διττῆς οὔσης
συναιρέσεως ἐπὶ τῶν πλαγίων, ἐπὶ μὲν τῆς γενικῆς καὶ αἰτι-
ατικῆς τῶν ἑνικῶν ἡ πρώτη συναίρεσις ἐστὶν ἐν χρήσει μόνον·
οἷον περικλέεος περικλέους, περικλέεα περικλέα. ἐπὶ δὲ τῆς
δοτικῆς τῶν ἑνικῶν ἡ δευτέρα· οἷον περικλέει περικλεῖ.

De Accusativo

δημοσθένην · ἀριστοφάνην · ἀμείνω · ἀμείνους · ἀμείνω

περικλῆς · περικλέους · περικλεῖ · περικλέα

τὸν ἄθω
τὸν λαγώ
τὴν κῶ
τὴν τέω

καθαρὸν ex correctione in calce.

## Περὶ κλητικῆς.

Ἔστι δὲ ἡ κλητικὴ τῆς πέμπτης κλίσεως τῶν ὀνομάτων ποτὲ μὲν ὁμόφωνος τῇ εὐθείᾳ μόνον· ποτὲ δὲ ἐστὶ διττή. ἔστι δ' οὖν καὶ τριχῶς προφέρεται· διὰ βραχέων καὶ περὶ ταύτης διαληπτέον. δεῖ μέντοι εἰδέναι ὡς ἐπὶ πάντων τῶν ὀνομάτων τῶν τε ἰσοσυλλάβως καὶ περιττοσυλλάβως κλινομένων ἡ κλητικὴ τῶν ἐνικῶν ὁμόφωνός ἐστιν ἀττικῶς ἀεὶ τῇ εὐθείᾳ.

Ἐπὶ τίνων ἡ κλητικὴ ἁπλῆ· εἰς ως.

Τὰ μὲν οὖν εἰς ως ἀρσενικὰ διὰ τοῦ τος ἢ διὰ καθαροῦ τοῦ ος κλινόμενα ὁμόφωνον ἔχουσι τὴν κλητικὴν τῇ εὐθείᾳ μόνον· οἷον ὁ γέλως ὦ γέλως· ὁ ἥρως ὦ ἥρως. ἔτι τὰ εἰς ης βαρύτονα διὰ τοῦ τ κλινόμενα, οἷον ὁ λάχης ὦ λάχης. ὁμοίως δὲ καὶ τὰ εἰς ας ὀξύτονα· οἷον ἡ παλλὰς ὦ παλλάς. ἔτι τὰ εἰς ις διὰ τοῦ ι γραφόμενα ὀξύτονα· οἷον ἡ πριαμὶς ὦ πριαμίς. ὁμοίως δὲ καὶ τὰ εἰς υς ὀξύτονα διὰ τοῦ υ ψιλοῦ γραφόμενα· οἷον ἡ χλαμὺς ὦ χλαμύς. ἔτι τὰ εἰς λς λήγοντα· οἷον ὁ ἅλς ὦ ἅλς. ἔτι τὰ εἰς διπλοῦν λήγοντα· οἷον ὁ ἅρπαξ ὦ ἅρπαξ. ὁ ἄραψ ὦ ἄραψ. ἔτι τὰ εἰς ἀμετάβολον λήγοντα ὀξύτονα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν. ἔτι τὰ εἰς ων περισπώμενα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν· οἷον ὁ ξενοφῶν ὦ ξενοφῶν πλὴν τοῦ ὦ πόσειδον. ἔτι αἱ μετοχαὶ καὶ τὰ μετοχικὰ ὀνόματα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν· οἷον ὁ τύπτων ὦ τύπτων· ὁ καύσων ὦ καύσων. τὰ δὲ εἰς ἀμετάβολον λήγοντα βαρύτονα ἀποβάλλοντα τῆς γενικῆς τὴν ἐσχάτην τὸ ος ποιεῖ τὴν κλητικήν· οἷον ὁ ἕλλην τοῦ ἕλληνος ὦ ἕλλην· ὁ τέρην τοῦ τέρενος ὦ τέρεν. ὡσαύτως δὲ καὶ τὰ εἰς ιν δικατάληκτα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν· οἷον ὁ δελφὶν καὶ δελφίς· ὦ δελφὶν καὶ ὦ δελφίς.

Ἐπὶ τίνων ἡ κλητικὴ διττή.

Τὰ δὲ διὰ τοῦ ντ κλινόμενα καὶ μὴ διφθόγγῳ παραληγόμενα ποιεῖ τὴν κλητικὴν ἀπὸ τῆς γενικῆς τῶν ἐνικῶν ἀποβολῇ τῆς ἐσχάτης συλλαβῆς· οἷον τοῦ αἴαντος ὦ αἶαν. τὰ δὲ εἰς ς λήγοντα μετὰ διφθόγγου ἀποβολῇ τοῦ ς ποιεῖ τὴν κλητικήν· οἷον ὁ πηλεὺς ὦ πηλεῦ· ὁ βοῦς ὦ βοῦ· ὁ χαρίεις ὦ χαρίεν πλὴν τοῦ ποῦς καὶ ὀδούς· καὶ γὰρ ὦ ποὺς καὶ ὦ ὀδοὺς μόνως ἵνα μὴ συνεμπέσῃ τὸ μὲν τῷ ποῦ ἐπιρρήματι· τὸ δὲ τῷ ὀδοῦ. συμβαίνει δὲ καὶ τὴν κλητικὴν τῶν ἐνικῶν τῶν εἰς εις διὰ διφθόγγου ληγόντων ὑπὲρ δισυλλάβων τριπλῆν εἶναι· οἷον ὁ χαρίεις ὦ χαρίεις ἀττικῶς καὶ ὦ χαρίει καὶ ὦ χαρίεν.

Ἔτι τὰ εἰς ας ἰσοσυλλάβως κλινόμενα ἀποβολῇ τοῦ ς ποιεῖ τὴν κλητικήν· οἷον ὁ αἰνείας ὦ αἰνεία. ὁμοίως δὲ καὶ τὰ εἰς ης ἰσοσύλλαβα· οἷον ὁ χρύσης ὦ χρύση. εἰ μὴ τὸ τ ἔχοι ἢ ἐθνικὰ εἴη. ταῦτα γὰρ καὶ τροπῇ τοῦ η εἰς α ὡς εἴρηται τὴν κλητικὴν ποιεῖ· οἷον ὁ θύτης ὦ θύτα· ὁ πέρσης ὦ πέρσα. ἔτι τὰ εἰς ις κύρια ἢ προσηγορικὰ ἀποβολῇ τοῦ ς ποιεῖ τὴν κλητικήν. ὡσαύτως δὲ καὶ τὰ εἰς υς βαρύτονα καὶ ὅλως τὰ εἰς υς τριγενῆ· οἷον ὁ βότρυς ὦ βότρυ· ὁ ἡδὺς ὦ ἡδύ. Τὰ δὲ εἰς ης διὰ τοῦ εος κλινόμενα καὶ συναιρούμενα εἰς ους εἰς ες ποιεῖ τὴν κλητικὴν καὶ ἀναβιβάζουσι τὸν τόνον εἰ σύνθετα εἰσὶ καὶ βαρύτονα· οἷον ὁ δημοσθένης ὦ δημόσθενες· ὁ σοφοκλέης ὦ σοφόκλεες καὶ κατὰ κρᾶσιν ὦ σοφόκλεις· ὀξύτονα δὲ ὄντα ἀπαθῆ φυλάττουσι τὸν τόνον τῆς εὐθείας· οἷον ἡ ἀληθὴς ὦ ἀληθές. πᾶσα γὰρ κλητικὴ ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ εὐθεῖα. πλὴν τῶν εἰς ης συνθέτων κυρίων βαρυτόνων ἢ καὶ περισπωμένων ἀπὸ συναιρέσεως γινομένων. ἐπεκτείνων γὰρ ἡ κλητικὴ ἀναβιβάζει τὸν τόνον· οἷον ὦ δημόσθενες· ὦ μητρόφανες· ὦ ἡράκλεες καὶ ὦ ἡράκλεις κατὰ κρᾶσιν καί τινων τῶν εἰς ων· οἷον ὦ πόσειδον· ὦ ἀγάμεμνον· ὦ ἄπολλον. τῶν δὲ εἰς ην διὰ τοῦ η γραφομένων ὧν οὐδέτερον παρεσχηματισμένον εἰς εν ἡ κλητικὴ ἀπὸ τῆς γενικῆς γίνεται ἀποκοπῇ τῆς ἐσχάτης συλλαβῆς· οἷον ὁ τέρην τοῦ τέρενος ὦ τέρεν· ὁ ἄρρην τοῦ ἄρρενος ὦ ἄρρεν. τὰ δὲ εἰς ηρ βαρύτονα διὰ τοῦ ε κλινόμενα εἰς ερ ποιοῦσι τὴν κλητικήν· οἷον ἡ μήτηρ ὦ μῆτερ· ἡ θυγάτηρ ὦ θύγατερ. πλὴν τοῦ πίηρ· οἷς ἠκολούθησε καὶ τῶν ὀξυτόνων· πατήρ ἀνήρ δαήρ σωτήρ. τούτων γὰρ ἡ κλητικὴ εἰς ερ· οἷον ὦ πάτερ δᾶερ σῶτερ. διὸ καὶ ἀναβιβάζουσι τὸν τόνον αἱ μὲν δισύλλαβοι ἐπὶ τῆς παραληγούσης ἐξ ἀνάγκης· αἱ δὲ τρισύλλαβοι ἐπὶ τῆς προπαραληγούσης· οἷον δήμητερ θύγατερ.

Συγκοπὴ τινῶν τῶν εἰς ηρ ἐπὶ τῆς γενικῆς καὶ δοτικῆς τῶν ἐνικῶν.

εἰς ως. εἰς ης. εἰς ας. εἰς ις. εἰς υς. εἰς λς. εἰς ξ. ἢ ψ. εἰς λ. μ. ν. εἰς ων. εἰς ων. εἰς ιν. εἰς ας. εἰς ευς. εἰς ους. εἰς εις.

ὦ πούς
ὦ ὀδούς

ως. ης. ις. υς. λς. ξ. ψ. λ. μ. ν. ων. ν. ιν.

εἰς ας. εἰς ης. εἰς ις. εἰς υς. εἰς ης.

ὦ σοφόκλεες καὶ κατὰ κρᾶσιν σοφόκλεις

εἰς ην. εἰς ηρ.

ὦ θύγατερ

δήμητερ θύγατερ

τούτων δὲ τῶν τεσσάρων ἓν μία πάσχει συγκοπὴν ἐπὶ τῆς γενικῆς καὶ δοτικῆς τῶν ἑνικῶν· οἷον ὁ πατὴρ τοῦ πατέρος καὶ πατρὸς τῷ πατέρι καὶ πατρί. ἡ μήτηρ τῆς μητέρος καὶ μητρὸς τῇ μητέρι καὶ μητρί. ἡ θυγάτηρ τῆς θυγατέρος καὶ θυγατρὸς τῇ θυγατέρι καὶ θυγατρί. τὸ μέντοι ἀνὴρ ἐπὶ πάσης πτώσεως πάσχει συγκοπήν· οἷον ὁ ἀνὴρ τοῦ ἀνέρος καὶ ἀνδρὸς τῷ ἀνέρι καὶ ἀνδρὶ τὸν ἀνέρα καὶ ἄνδρα. καὶ ἐπὶ τῶν δυϊκῶν καὶ πληθυντικῶν ὁμοίως. τούτων δὲ καὶ ἡ δοτικὴ τῶν πληθυντικῶν πρὸ τῆς τελευταίας συλλαβῆς προσλαμβάνει τὸ α· οἷον πατράσι μητράσι θυγατράσιν ἀνδράσιν. ὁ δὲ ποιητὴς καὶ ἄνδρεσιν εἴρηκε.

πατράσι
μητράσι
θυγατράσι
ἀνδράσι

Κανὼν καθόλου τῆς δοτικῆς τῶν πληθυντικῶν τῶν περιττοσυλλάβων.

Καθόλου δὲ ἡ δοτικὴ τῶν πληθυντικῶν ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν γίνεται εἰς σι λήγουσα ἤτοι ἐνεργείᾳ ἢ δυνάμει· οἷον αἴασι φοίνιξι. καὶ εἰ μὲν ἡ δοτικὴ τῶν ἑνικῶν πρὸ τοῦ ι ἓν ἢ καὶ δύο σύμφωνα ἔχει, παραιτεῖται τὰ μὴ δυνάμενα σὺν αὐτῇ ἀκουσθῆναι στοιχεῖα· οἷον αἴαντι αἴασι φοίνικι φοίνιξι κύκλωπι κύκλωψι. καθόλου γὰρ τῶν ληγόντων ἐπὶ τῆς εὐθείας εἰς διπλοῦν τὸ αὐτὸ καὶ ἡ δοτικὴ τῶν πληθυντικῶν μεταλαμβάνει· οἷον φοίνιξ φοίνιξι κύκλωψ κύκλωψι μάστιξ μάστιξι βὴξ βηξί. εἰ δὲ οὐ σύμφωνον ἔχει πρὸ τοῦ ι καὶ τὸ υ πρὸ τοῦ σ προσλαμβάνει εἰ καὶ ἡ εὐθεῖα τοῦτ᾽ ἔχει ἐν διφθόγγῳ· οἷον βοῦς βοῒ βουσὶ πηλεὺς πηλεῖ πηλεῦσιν. ἐκτείνει δὲ καὶ τὴν παραλήγουσαν ἡ ἔκτασις διχρόνου· οἷον αἴαντι αἴασιν ἢ προσθήκη φωνήεντος οἰκείως ἔχοντος προστεθεῖναι· εἰ περιῃρημένων τῶν μὴ δυναμένων σὺν αὐτῇ ἀκουσθῆναι συμφώνων βραχυτέρα ἡ παραλήγουσα αὐτῆς καταλίποιτο τῆς παραληγούσης τῶν ἄλλων πτώσεων· οἷον λέοντι λέουσι. κατὰ γὰρ τὴν παραλήγουσαν ἰσοχρονεῖν θέλει ταῖς ἄλλαις πλαγίαις ἡ δοτικὴ τῶν πληθυντικῶν. ἐνίοτε δὲ καὶ μείζονα χρόνον θέλει ἔχειν ὡς ἐπὶ τοῦ λέοντος λέουσι αἴαντος αἴασιν. ἐφέλκεται δὲ καὶ τὸ ν ἡ δοτικὴ τῶν πληθυντικῶν τῶν περιττοσυλλάβως κλινομένων. τὸ γὰρ ν ἐφελκυστικὸν ἐστὶν οὐ μόνον ἐν ταῖς δοτικαῖς τῶν πληθυντικῶν

Formatio dat. plu. 3. decli.

ν. ἐθήκε

ἵνα μὴ



ἀλλὰ καὶ ἐν τοῖς τρίτοις προσώποις τῶν ῥημάτων τοῖς εἰς σι ἢ εἰς ε ψιλὸν λήγουσι φωνήεντος ἐπιφερομένου· συμφώνου δὲ οὐκ ἔτι.

Περὶ τόνου τῶν ὀνομάτων.

De Accetu nomi.

Λεκτέον δέ τι καθόλου καὶ περὶ τοῦ τόνου τῶν ὀνομάτων ἀναγκαίου ὄντος εἰς ὀρθὴν τῶν λέξεων προφοράν. πᾶσα γενικὴ ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ᾽ ἧς καὶ ἡ εὐθεῖα πλὴν τῶν εἰς ος δισυλλάβων γενικῶν καὶ τῶν ἐχουσῶν τὴν λήγουσαν μακράν. μακρᾶς γὰρ οὔσης ἐπὶ τέλους ὡς εἴρηται οὐ δύναται προπαροξυνθῆναι λέξις κοινή. ἐξαιρεῖται καὶ τὸ μητέρος θυγατέρος γυναικός. ταῦτα γὰρ καταβιβάζει τὸν τόνον ἀκολουθήσαντα τοῖς ὀξυτονουμένοις ἐν τῇ εὐθείᾳ· οἷον τῷ πατέρος ἀνέρος. αἱ δὲ εἰς ος δισύλλαβοι τῶν ὀνομάτων γενικαὶ ὀξύνονται· οἷον βοὸς γραός. τῶν δὲ μετοχῶν βαρύνονται· οἷον βάντος στάντος. ἡ δὲ δοτικὴ ὁμότονός ἐστι τῇ γενικῇ. πᾶσα γὰρ δοτικὴ ἰσοσυλλαβοῦσα τῇ γενικῇ καὶ τὸν τόνον αὐτῆς ἔχει ὁμοίως καὶ τὸν χρόνον.

μητρος,
θυγατρος
γυναικος

Ὡσαύτως δὲ καὶ ἡ αἰτιατικὴ ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ᾽ ἧς καὶ ἡ γενικὴ πλὴν τῶν ἐχόντων γενικὰς εἰς ος δισυλλάβους. ἐπ᾽ ἐκείνων γὰρ ἀνάγκη τὰς μὲν γενικὰς ὀξύνεσθαι· οἷον διὸς βοός. τὰς δὲ αἰτιατικὰς παροξύνεσθαι· οἷον τὸν δία τὸν βόα. σεσημείωται τὸ γυναικὸς γυναῖκα καὶ θυγατρὸς θύγατρα. ἐπὶ μὲν τῆς γενικῆς ὀξυτονούμενα ἐπὶ δὲ τῆς αἰτιατικῆς βαρυνόμενα. ἡ δὲ κλητικὴ ὁμοτονεῖ τῇ ἰδίᾳ εὐθείᾳ. πλὴν τῶν εἰς ης συνθέτων κυρίων βαρυτόνων καὶ τινων τῶν εἰς ηρ ὡς εἴρηται καὶ ἔτι τῶν εἰς ων συνθέτων. τούτων γὰρ ἡ κλητικὴ εἰς ον βραχὺ λήγουσα προπαροξύνεται· οἷον ὁ κακοδαίμων ὦ κακόδαιμον. ὁ ἐνοσίχθων ὦ ἐνόσιχθον. πλὴν τῶν ἀπὸ τοῦ φρὴν συγκειμένων· οἷον ὦ δαΐφρον ὦ περίφρον παροξυτόνως. καὶ ἔτι τοῦ λακεδαῖμον παλαῖμον προπερισπωμένως. ἐξαιρεῖται καὶ τῶν εἰς ης ληγόντων ἰσοσυλλάβων τό, ὁ δεσπότης ὦ δέσποτα. ὦ ἀκάκητα ὦ εὐρύοπα. ὦ μητίετα. ὧν ἡ μὲν εὐθεῖα παροξυτόνως ἐκφέρεται ἡ δὲ κλητικὴ προπαροξυτόνως. ὁμοίως δὲ καὶ ἡ εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυϊκῶν ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ᾽ ἧς καὶ ἡ εὐθεῖα τῶν ἑνικῶν πλὴν ἔνθα ἡ λήγουσα ὑπάρχει μακρά· οἷον αἴας αἴαντε αἰνείας αἰνεία. δίκαιος μέντοι δικαίω φαμὲν παροξυτόνως. ἡ δὲ γενικὴ καὶ δοτικὴ τῶν δυϊκῶν τῶν μὲν περιττοσυλλάβως κλινομένων ἕπεται τῇ γενικῇ τῶν πληθυντικῶν· οἷον αἰάντοιν αἰάντων. τῶν δὲ ἰσοσυλλάβων ἁπάντων τῇ ἰδίᾳ

Accusatiuus sequitur accentu genitiui

γυναῖκα
θυγατρα

λακεδαῖμον
παλαῖμον

[illegible] nominatiui dualis

δεσπότης ὦ δέσποτα
ἀκακήτης ὦ ἀκάκητα
εὐρυόπης ὦ εὐρύοπα
μητιέτης ὦ μητίετα

H

f. duali

εὐθεῖα ὁμότονος· οἷον αἰνεῖα αἰνείαιν. τιμὰ τιμαῖν. λόγω λόγοιν. μενέλεω μενελέων. πλὴν τοῦ ἄμφω ἀμφοῖν καὶ δύο δυοῖν. τούτων γὰρ ἡ μὲν εὐθεῖα τῶν δυϊκῶν βαρύνεται· ἡ δὲ γενικὴ περισπᾶται. ἡ δὲ εὐθεῖα τῶν πληθυντικῶν ὁμότονος ἐστὶ τῇ εὐθείᾳ τῶν ἑνικῶν· οἷον αἴας αἴαντες. χρυσὸς χρυσοί. πλὴν τῶν θηλυκῶν εὐθειῶν τῶν ἀρσενικοῖς παρεσχηματισμένων· οἷον λίθινος λιθίνη λίθιναι. ἅγιος ἁγία ἅγιαι. ἀκολουθεῖ γὰρ ἀεὶ τὰ θηλυκὰ τοῖς ἀρσενικοῖς ὡς εἴρηται. ἡ δὲ γενικὴ τῶν πληθυντικῶν ἐπὶ μὲν τῆς πρώτης καὶ δευτέρας κλίσεως τῶν ἰσοσυλλάβων εἴρηται ὅτι περισπᾶται. τῆς δὲ τρίτης καὶ τετάρτης κλίσεως τῇ γενικῇ τῶν ἑνικῶν ὁμότονος· οἷον λόγου λόγων καλοῦ καλῶν μενέλεω μενέλεων. ἡ γενικὴ τῶν περιττοσυλλάβων ἁπάντων τῶν τε ἁπλῶν καὶ τῶν συναιρουμένων ἐπὶ τῆς παραληγούσης ἔχει τὸν τόνον· οἷον αἰάντων ἀρκάδων δημοσθενέων πληέων κρεάτων. πλὴν τῶν ἀττικῶν γενικῶν πόλεων λέξεων. οἱ γὰρ ἀττικοὶ οὐχ ἕπονται τῷ κοινῷ κανόνι τῷ λέγοντι μακρᾶς οὔσης ἐπὶ τέλους οὐ δύναται προπαροξυνθῆναι λέξις. ἀλλ' ἐφ' ἧς ἂν συλλαβῆς ὁ τόνος ἐπὶ τῆς ὀρθῆς ἢ ἐπὶ ταύτης κἀπὶ τῶν ἄλλων φυλάττουσι πτώσεων· οἷον πόλις πόλεως πόλεων. κἂν φθάσωσι δὲ προπαροξύναι τὴν ὀρθὴν καὶ τὰς ἄλλας ἁπάσας πτώσεις προπαροξυτόνους τηροῦσιν· οἷον μενέλεως μενέλεω μενέλεων. αἱ δὲ εἰς ες λήγουσαι δισύλλαβοι εὐθεῖαι τῶν πληθυντικῶν περισπῶσι τὰς γενικὰς αὐτῶν· μῆνες μηνῶν. χῆνες χηνῶν. πλὴν τοῦ τίνων, πάντων, τρώων, θώων, δμώων, λάων, κράτων, δᾴδων, παίδων, φῴδων. ἡ δὲ δοτικὴ τῶν πληθυντικῶν τῇ δοτικῇ τῶν ἑνικῶν ὁμότονος· αἴαντι αἴασι. βοῒ βουσί. πλεῖ πλευσί. πλὴν τῆς πᾶσιν. τῆς δὲ αἰτιατικῆς ὁ τόνος ἐπὶ τῆς αὐτῆς ἐστὶν ἐφ' ἧς καὶ τῆς εὐθείας. πλὴν ἐφ' ὧν ἡ λήγουσα ἐστὶ μακρά· οἷον οἱ αἰνεῖαι τοὺς αἰνείας. οἱ αἴαντες τοὺς αἴαντας. οἱ δίκαιοι δὲ τοὺς δικαίους παροξυτόνως. ἰστέον δὲ ὅτι αἱ εἰς αι λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν ἐκτείνουσι τὸ α τῶν αἰτιατικῶν· οἷον αἱ μοῦσαι τὰς μούσας. αἱ δὲ εἰς ες συστέλλουσιν· οἷον οἱ αἴαντες τοὺς αἴαντας. ἔτι ἡ αι καὶ οι δίφθογγος ἐν τέλει λέξεων εὑρισκόμεναι ἀντὶ βραχέων λογίζονται. πλὴν τῶν εὐκτικῶν καὶ τῶν ἐπιρρημάτων καὶ τῶν ἀπὸ συναιρέσεως γινομένων. εὐκτικῶν μὲν οἷον τύπτοι. ἐπιρρημάτων δὲ οἷον οἴκοι πλὴν τοῦ πάλαι. τοῦτο γὰρ ἐπίρρημα ὂν βραχυκαταληκτεῖ. ἀπὸ συναιρέσεως δὲ γινομένων οἷον σαπφοῖ λητοῖ.

ἀμφοῖν δυοῖν

Semp[er] feminina sequuntur masculina

Mos atticoru[m] de acce[n]tu

Decē genitiuos plurales q[ui] excipiuntur

πᾶσιν

αι · οι · ultimae pro brevib[us] reputari

### ἐπὶ τίνων ἡ ὀξεῖα τίθεται.

Καθόλου δὲ τριῶν ὄντων τόπων ἐφ' ὧν οἱ τόνοι τίθενται ληγούσης παραληγούσης καὶ προπαραληγούσης. ἐπὶ μὲν τῆς προπαραληγούσης ἀεὶ ὀξεῖα τίθεται. οἷον λόγιος. πρὸ δύο γὰρ συλλαβῶν περισπωμένη οὐ τίθεται.

### ἐπὶ τίνων ἡ περισπωμένη.

Ἐπὶ δὲ τῆς παραληγούσης περισπωμένη μὲν ὅταν αὐτή τε ᾖ φύσει μακρὰ καὶ ἡ λήγουσα φύσει βραχεῖα· οἷον δῆμος. ἐπὶ γὰρ θέσει μακρᾶς περισπωμένη οὐ τίθεται· οἷον ἅρμα ὅρμος. διὸ καὶ λέγεται πᾶσα φύσει μακρὰ πρὸ βραχείας ληκτικῆς ἐν ἑνὶ μέρει λόγου οὖσα καὶ ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται. ὀξεῖα δὲ ὅταν ἡ παραλήγουσα ᾖ βραχεῖα· ἐπάνω γὰρ βραχείας περισπωμένη οὐ τίθεται· οἷον λόγος πένης. ἢ ὅταν αὐτή τε καὶ ἡ λήγουσα ὦσι μακραί· οἷον χρύσης. μακρὰ γὰρ πρὸ μακρᾶς οὐ περισπᾶται. ἐπὶ δὲ τῆς ληγούσης βραχείας μὲν οὔσης ἀεὶ ὀξεῖα· οἷον ἀγαθός. μακρᾶς δὲ οὔσης οὐκ ἀεὶ ἀλλ' ἐπὶ μὲν εὐθείας ἢ αἰτιατικῆς δεχομένης τὸν τόνον ἐπὶ τῆς ληγούσης ἀσυναίρετος μὲν οὖσα ὀξύνεται· οἷον θεατής ποιητής. συναιρουμένη δὲ περισπᾶται· οἷον περικλέης περικλῆς. φάος φῶς. εἰ δὲ γενικὴ ἢ δοτικὴ περισπᾶται· οἷον ποιητοῦ ποιητῇ. ἐν δὲ τοῖς ὀξυτονουμένοις εἰς βαρεῖαν ἡ ὀξεῖα τρέπεται ὅταν κατὰ συνέπειαν ἀναγινώσκωνται· οἷον ἀνὴρ καλὸς κἀγαθὸς καὶ σοφὸς καθ' ἡμᾶς θεόδωρος ὁ καθηγεμὼν (dux) ἡμῶν γέγονε.

### περὶ τῆς αὐξήσεως τῶν παρῳχημένων τῆς τε συλλαβικῆς καὶ χρονικῆς.

Ἡ δὲ τῶν παρῳχημένων αὔξησις διττὰ ἂν θεωροῖτο. ἔστι γὰρ ἡ μὲν συλλαβικὴ οἷον τύπτω ἔτυπτον. ἡ δὲ χρονικὴ οἷον ἀγαπῶ ἠγάπων.

### περὶ αὐξήσεως χρονικῆς.

Τῶν οὖν ῥημάτων τὰ μὲν ἀρχόμενα ἀπὸ φωνηέντων. τοῦ α ε ομικρου ἐπὶ τῶν παρῳχημένων αὐξάνονται χρονικῶς καὶ τὸ μὲν α εἰς η τρέπεται ἐπὶ παντὸς παρῳχημένου· οἷον ἀγαπῶ ἠγάπων ἠγάπηκα ἠγαπήκειν ἠγάπησα. ὁμοίως δὲ καὶ τὸ ε εἰς η· οἷον ἐρίζω ἤριζον πλὴν δεκατεσσάρων τινῶν

Nota duce demetrij

Regula singularis moschopuli & technici

Genitiuus & Datiuus circumflectit[ur]

De augme[n]to preter[iti]

α · ε · ο ·

ἐφ᾽ ὧν τὸ ε προσλαμβάνεται τὸ ι· οἷον ἔχω εἶχον· ἕπω εἷπον· ἕλω εἷλον· ἕπομαι εἱπόμην· ἑστήκω εἱστήκειν· ἑστιῶ εἱστίων· ἐῶ εἴων· ἑρπύζω εἵρπυζον· ἕλκω εἷλκον· ἑλκύω εἵλκυον· ἕρπω εἷρπον· ἐρύω εἴρυον· ἐθίζω εἴθιζον· ἔθω εἴωθα· ἕω εἷμαι· ἐργάζομαι εἰργαζόμην· τὸ δὲ ο μικρὸν τρέπεται εἰς ω μέγα· οἷον ὁρίζω ὥριζον. Ὡσαύτως δὲ καὶ τὰ ἀρχόμενα ἀπὸ τῆς αι ἢ αυ διφθόγγου χρονικῶς αὐξάνονται ἐπὶ πάντων τῶν παρῳχημένων τροπῇ τοῦ α εἰς η καὶ τοῦ ι προσγραφομένου· οἷον αἰδοῦμαι ᾐδούμην ᾐδέσθην· αὐξῶ ηὖξον ηὔξηκα ηὐξήκειν ηὔξησα. Ἔτι τὰ ἀπὸ τῆς οι διφθόγγου ἀρχόμενα τροπῇ τοῦ ο μικροῦ εἰς ω μέγα καὶ προσγραφομένου τοῦ ι αὐξάνονται ἐπὶ τῶν παρῳχημένων· οἷον οἴχομαι ᾠχόμην ᾤχηκα ᾠχήκειν· πλὴν τοῦ οἰοῦμαι οἰώθη· οἰμῶ· οἴμησα· οἰνῶ· οἰνίζω· οἰστρῶ· οἰωνίζομαι· οἰωνοσκοπῶ· οἰωνοπολῶ· οἰακίζω· οἰακονομῶ· οἰακοστροφῶ· ἃ δὴ σεσημείωται τὴν οι δίφθογγον ἄτρεπτον ἔχοντα ἐπὶ τῶν παρῳχημένων. Ἔνια δὲ τῶν ἀρχομένων ἀπὸ τοῦ ευ αὐξάνονται· καὶ αὐτὰ χρονικῶς ἐπὶ τῶν παρῳχημένων ἀττικῶς· οἷον εὔχομαι ηὐχόμην.

Ποῖα τῶν ῥημάτων οὐκ ἐπιδέχονται αὔξησιν.

Τὰ δὲ ἀπὸ τῆς ε καὶ ι διφθόγγου ἀρχόμενα ἢ ἀπὸ τῆς ου οὐδεμίαν αὔξησιν λαμβάνουσιν ἐπὶ τῶν παρῳχημένων· οἷον εἴργω εἶργον εἶρξα· οὐρῶ οὔρουν. Ὡσαύτως δὲ καὶ τὰ ἀρχόμενα ἀπὸ τοῦ η ἢ ω μεγάλου ἢ ι ἢ τοῦ υ ψιλοῦ οὐδόλως αὐξάνονται ἐπὶ τῶν παρῳχημένων· οἷον ἠχῶ ἤχουν ἤχηκα ἠχήκειν ἤχησα· ὠφελῶ ὠφέλουν ὠφέληκα ὠφελήκειν ὠφέλησα· ἰξεύω ἴξευον ἴξευκα ἰξεύκειν ἴξευσα· ὑβρίζω ὕβριζον ὕβρικα ὑβρίκειν ὕβρισα. Διὸ καὶ ἀμετάβολα λέγονται ὡς μὴ μεταβάλλοντα ἐν τοῖς παρῳχημένοις.

Πῶς τὰ σύνθετα ῥήματα αὐξάνονται.

Τὰ δὲ σύνθετα ῥήματα τὰ ἐκ προθέσεων ὅτε μὲν ἡ πρόθεσις οὐδὲν πλέον τῇ σημασίᾳ τοῦ ῥήματος προστίθησι λαμβάνουσι τὴν αὔξησιν κατὰ τὴν ἀρχήν· οἷον καθεύδω ἐκάθευδον· καθαίρω ἐκάθαιρον· ἐννέπω ἤνεπον. Ὅτε δὲ πλέον τι τοῦ καθ᾽ αὑτὸ ῥήματος σημαίνει ἔνδοθεν ἡ αὔξησις γίνεται μεταξὺ τῆς προθέσεως καὶ τοῦ ῥήματος· οἷον παρακούω

παρήκουον· ἐπομνύω ἐπώμνυον· καταγράφω κατέγραφον. Ἐν δὲ τοῖς ῥήμασι τοῖς ἀπὸ προθέσεως συνθέτοις εἰδέναι δεῖ, ὅτι συντιθεμένη μὲν ἡ πρόθεσις τοῖς ῥήμασι τοῖς ἀπὸ συμφώνου ἀρχομένοις φυλάττει τὸ ἴδιον αὐτῆς φωνῆεν· οἷον καταγράφω ἐπιτάττω· συντιθεμένη δὲ τοῖς ἀπὸ φωνήεντος ἀρχομένοις ἀποβάλλει αὐτό· οἷον παρακούω ἐπομνύω κατέρχομαι· διὸ καὶ ἐν τοῖς παρῳχημένοις τῶν ἀπὸ συμφώνου ἀρχομένων ῥημάτων ἐφ᾽ ὧν ἡ συλλαβικὴ αὔξησις τοῦ ε γίνεται ὁμοίως ἐκβάλλεται τὸ φωνῆεν τῆς προθέσεως· οἷον κατέγραφον παρέμενον ἐπέταττον. Εἰ δὲ τὰ ἀπὸ φωνήεντος ἀρχόμενα ῥήματα δασύνονται τηνικαῦτα καὶ τὸ ψιλὸν τῆς προθέσεως τρέπεται εἰς τὸ οἰκεῖον δασύ· οἷον καθεύδω ὑφίστημι. Ἥ γε μὴν περὶ καὶ ἡ πρὸ πρόθεσις συντιθέμεναι τῶν ῥημάτων τοῖς ἀπὸ φωνήεντος ἀρχομένοις οὐκ ἀποβάλλουσι τὸ ἑαυτῶν φωνῆεν· οἷον περιάγω περιῆγον· προέρχομαι προηρχόμην. Ἐὰν μέντοι τινὰ τῶν ῥημάτων σύνθετα εὑρίσκωνται ἐν χρήσει ἁπλᾶ δὲ μή, τούτων ἡ αὔξησις ὡς τὰ πολλὰ κατὰ τὴν ἀρχὴν γίνεται· οἷον ἀμφισβητῶ ἠμφισβήτουν· ἀντιβολῶ ἠντιβόλουν· οὐ μὴν ἀλλὰ καὶ τούτων ἔνια ἔνδοθεν ποιοῦνται τὴν αὔξησιν· οἷον ἀπολαύω ἀπέλαυον καὶ ἀπήλαυον ἀττικῶς· ἐπιχειρῶ ἐπεχείρουν· ἐγχειρῶ ἐνεχείρουν· ἐγκωμιάζω ἐνεκωμίαζον· ἐνθυμοῦμαι ἐνεθυμούμην· προσδοκῶ προσεδόκων· καί τινα τῶν ἀπὸ τοῦ ευ καὶ δυς συγκειμένων· οἷον δυσαρεστῶ δυσηρέστουν· εὐορκῶ εὐώρκουν· εὐεργετῶ εὐηργέτουν· εὐαγγελίζομαι εὐηγγελιζόμην.

Ποῖα τῶν ῥημάτων διπλῆν ἔχουσι τὴν αὔξησιν.

Ἰστέον δὲ ὡς ἐπί τινων ῥημάτων οἱ ἀττικοὶ διπλῆν ποιοῦνται τὴν αὔξησιν· οἷον ἐνοχλῶ ἠνώχλουν· ἀνορθῶ ἠνώρθουν· ἀνέχομαι ἠνειχόμην· παροινῶ πεπαρῴνηκα· δύναμαι ἠδυνάμην· βούλομαι ἠβουλήθην.

Περὶ αὐξήσεως συλλαβικῆς.

Τὰ δὲ ἀπὸ συμφώνου ἀρχόμενα συλλαβικῶς αὔξεται προστιθεμένου τοῦ ε κατὰ τὴν ἀρχὴν τῶν παρῳχημένων ἐπί τε τοῦ παρατατικοῦ καὶ τῶν ἀορίστων· οἷον τύπτω ἔτυπτον ἔτυψα.

Περὶ σχηματισμοῦ τῶν χρόνων.

Τῶν δὲ χρόνων σχηματισμοὶ τῶν μὲν ἐνεργητικῶν τοιοῦ-

ται ἐστίν.

## Σχηματισμὸς τοῦ παρατατικοῦ.

Ὁ παρατατικὸς ἀπὸ τοῦ ἐνεστῶτος γίνεται μετὰ ποιήσεως τῆς ἐσχάτης εἰς ον καὶ προσλήψεως τῆς συλλαβικῆς αὐξήσεως ἢ χρονικῆς κατὰ τὴν ἀρχήν· οἷον τύπτω ἔτυπτον, ἀγαπῶ ἠγάπων.

## Σχηματισμὸς τοῦ μέλλοντος.

Ὁ δὲ μέλλων λήγει μὲν εἰς ω καὶ συνάρχεται τῷ ἐνεστῶτι· ἔχει δὲ πρὸ τοῦ ω ἢ τὸ ψ ἢ τὸ ξ ἢ τὸ σ ἢ ἕν τι τῶν τεσσάρων ἀμεταβόλων. Διὸ καὶ τὰ μὲν τῆς πρώτης συζυγίας τῶν βαρυτόνων ἀεὶ τὸ ψ ἔχουσιν ἐπὶ τοῦ μέλλοντος· οἷον τύπτω τύψω. τὰ δὲ τῆς δευτέρας καὶ ἔτι τῶν τῆς τετάρτης ἔνια τὸ ξ· οἷον λέγω λέξω· πράττω πράξω· κράζω κράξω. τὰ δὲ τῆς τρίτης καὶ τῆς ἕκτης τὸ σ· οἷον πλήθω πλήσω· βασιλεύω βασιλεύσω. τὰ δὲ τῆς πέμπτης φυλάττει τὸ αὐτὸ ἀμετάβολον ἐπὶ τοῦ μέλλοντος· οἷον ψάλλω ψαλῶ, κρίνω κρινῶ.

Δεῖ δὲ εἰδέναι ὅτι τὰ εἰς ζω λήγοντα ῥήματα ὡς ἐπὶ τὸ πλεῖστον εἰς σω τὸν μέλλοντα ποιοῦσιν· οἷον ὁρίζω ὁρίσω· βαδίζω βαδίσω· φράζω φράσω· κτίζω κτίσω· πλὴν τοῦ οἰμώζω οἰμώξω· στηρίζω στηρίξω· αἰάζω αἰάξω· στενάζω στενάξω· ὀλολύζω ὀλολύξω· ἀλαπάζω ἀλαπάξω· θρυλλίζω θρυλλίξω· κράζω κράξω· παίζω παίξω καὶ παίσω ἀττικῶς· σφάζω σφάξω· στίζω στίξω· τρύζω τρύξω· ῥέζω ῥέξω.

Τὰ δὲ εἰς σσω λήγοντα διὰ δύο σσ ἢ διὰ δύο ττ ὡς ἐπὶ τὸ πλεῖστον ἐπὶ τοῦ μέλλοντος τὸ ξ ἔχουσιν· οἷον ὀρύσσω ἢ ὀρύττω καὶ ὀρύτγω κατὰ τοὺς παλαιοὺς ὀρύξω· πράττω πράξω· πλὴν τοῦ πλάττω πλάσω· ἐρέσσω ἐρέσω· ἱμάσσω ἱμάσω· ἱμάσσω ἱμάσω· πάσσω πάσω· λάσσω λάσω· λεύσσω λεύσω.

ὀρύτγω κατὰ τοὺς παλαιούς. in eundem errorem incidit cum duce suo theodoro qui refellitur ab urbano.

## Σχηματισμὸς μέλλοντος τῶν εἰς ιζω ῥημάτων κατὰ τοὺς ἀττικούς.

Ἔτι τὰ εἰς ιζω ῥήματα ὑπὲρ δισύλλαβα ἔχοντα τὸ ι ἐν τῇ παραληγούσῃ ἴδιον οἱ ἀττικοὶ μέλλοντα ποιοῦσι, περισπώμενον ἀπὸ τοῦ κοινοῦ μέλλοντος ἐκβολῇ τοῦ σ· οἷον νομίζω νομίσω καὶ νομιῶ ἀττικῶς· βαδίζω βαδίσω καὶ βαδιῶ· ἀγωνίζομαι ἀγωνίσομαι καὶ ἀγωνιοῦμαι. Τὸ δὲ αὔξω καὶ ἀλέξω καὶ ἕψω οὐκ εἰσὶ μέλλοντες ἀλλ' ἐνεστῶτες ἐκ πάθους· ἀπὸ τοῦ αὐξέω ἀλεξέω ἑψέω ἀφῶν· καὶ οἱ μέλλοντες ἐν χρήσει εἰσὶν ἑψήσω αὐξήσω ἀλεξήσω.



αὔξω
ἀλέξω
ἕψω

## Σχηματισμὸς τοῦ μέλλοντος τῶν εἰς εω δισυλλάβων.

Ἔτι τὰ εἰς εω δισύλλαβα ῥήματα ὡς ἐπὶ τὸ πλεῖστον τὸ υ προσλαμβάνοντα τὸν μέλλοντα ποιοῦσιν· οἷον πλέω πλεύσω· ῥέω ῥεύσω· νέω νεύσω· πνέω πνεύσω. οἷς ἠκολούθησε καὶ τὸ καίω καύσω, κλαίω κλαύσω· ἅπερ ἐπὶ τοῦ ἐνεστῶτος καὶ κλάω καὶ κάω λέγονται. Τούτων δὲ τὰ πρῶτα πρόσωπα ἐπὶ τοῦ ὁριστικοῦ ἐνεστῶτος καὶ παρατατικοῦ καὶ ἔτι τὰ τρίτα τῶν πληθυντικῶν οὐ συναιροῦνται· τὰ δ' ἄλλα συναίρεσιν ἐπιδέχεται· οἷον πλέω, πλέεις πλεῖς, πλέει πλεῖ, πλέετον πλεῖτον, πλέετον πλεῖτον· πλέομεν, πλέετε πλεῖτε, πλέουσιν. ἔπλεον, ἔπλεες ἔπλεις, ἔπλεε ἔπλει, ἐπλέετον ἐπλεῖτον, ἐπλεέτην ἐπλείτην· ἐπλέομεν, ἐπλέετε ἐπλεῖτε, ἔπλεον. ὡσαύτως δὲ καὶ τὰ εὐκτικὰ καὶ ὑποτακτικὰ τούτων οὐ συναιροῦνται ὅλως· οἷον πλέοιμι πλέοις πλέοι, ἐὰν πλέω πλέῃς πλέῃ.

πλέω
ἔπλεον
πλέομεν
ἐπλέομεν
πλέουσι
ἔπλει
πλέοιμι &c
ἐὰν πλέω

## Σχηματισμὸς τοῦ παρακειμένου.

Ὁ δὲ παρακείμενος ἀπὸ τοῦ μέλλοντος γίνεται τροπῇ τοῦ ω εἰς α· καὶ εἰ μὲν ὁ μέλλων τὸ ψ πρὸ τοῦ ω ἔχει, ὁ παρακείμενος τὸ φ ἔχει· οἷον τύψω τέτυφα. εἰ δὲ ὁ μέλλων τὸ ξ, ὁ παρακείμενος τὸ χ· οἷον λέξω λέλεχα. εἰ δὲ ὁ μέλλων τὸ σ ἢ ἕν τι τῶν τεσσάρων ἀμεταβόλων, ὁ παρακείμενος τὸ κ· οἷον πλήσω πέπληκα· κρινῶ κέκρικα. εἰ δὲ ὁ παρατατικὸς αὔξεται συλλαβικῶς καὶ βραχεῖαν ἔχει τὴν αὔξησιν ἢ κοινήν, τότε ὁ παρακείμενος προσλαμβάνει καὶ τὸ τοῦ ἐνεστῶτος ἀρκτικὸν σύμφωνον· οἷον τύπτω ἔτυπτον τέτυφα· γράφω ἔγραφον γέγραφα. πλὴν τῶν ἀρχομένων ῥημάτων ἀπὸ τοῦ γν καὶ γρη· οἷον γνωρίζω ἐγνώριζον ἐγνώρικα· γρηγορῶ ἐγρηγόρουν ἐγρηγόρηκα· καὶ ἔτι τῶν ἀπὸ τοῦ ρ ἀρχομένων· οἷον ῥίπτω ἔρριπτον ἔρριφα. εἰ δὲ ὁ παρατατικὸς ἔχει τὴν ἀρχουσαν θέσει μακρὰν καὶ ὁ παρατατικὸς (ὁ παρακείμενος) ἀπὸ τῆς αὐτῆς ἄρχεται· οἷον ἔσπειρον ἔσπαρκα· ἔψαλλον ἔψαλκα. ἐφ' ὧν δὲ ῥημάτων ἐστὶ κατὰ τὴν ἀρχὴν δασὺ, οὐ τὸ αὐτὸ προσλαμβάνει ὁ παρακείμενος ἀλλὰ τὸ ἀντίστοιχον αὐτοῦ ψιλόν· οἷον φράζω πέφρακα· χωρίζω κεχώρι-

Γνω. γρυ.

πέπλωκα
κέκτημαι
μέμνημαι

σεσημείωσαι τὸ πέπλωκα καὶ κέκτημαι μέμνημαι.

καὶ θηρεύω τεθήρευκα. παραλήγουσαν δὲ τὴν αὐτὴν ἔχει ὁ παρακείμενος τῷ μέλλοντι, οἷον τύψω τέτυφα, γράψω γέγραφα, ποιήσω πεποίηκα· πλὴν τῶν δισυλλάβων ῥημάτων τῆς πέμπτης συζυγίας τῶν ε παραληγόντων καὶ ἔτι τῶν τῆς πρώτης συζυγίας δισυλλάβων ἐχόντων καὶ αὐτῶν ἐν τῇ παραληγούσῃ τὸ ε συλλαβιζόμενον τῷ ρ μετὰ τοῦ τ. τούτων γὰρ τὸ ε ἐπὶ τοῦ παρακειμένου τρέπεται εἰς α, οἷον σπείρω σπερῶ ἔσπαρκα, κείρω κερῶ κέκαρκα, στέλλω στελῶ ἔσταλκα, στρέφω στρέψω ἔστραφα, τρέπω τρέψω τέτραφα, τρέφω θρέψω τέθραφα. οἱ δὲ ἀττικοὶ ἐπ' ἐνίων δισυλλάβων τῆς πρώτης καὶ δευτέρας συζυγίας τῶν βαρυτόνων τρέπουσι τὸ ε εἰς ο, οἷον κλέπτω κλέψω κέκλοφα, πέμπω πέμψω πέπομφα, λέγω λέξω λέλοχα, βρέχω βρέξω βέβροχα, ἐνέκω ἐνέξω ἤνοχα. τῶν αὐτῶν δέ ἐστι καὶ τὸ ἔνια τῶν ἀρχομένων ἀπὸ τοῦ λ ἢ τοῦ μ ποιεῖν ἴδιον παρακείμενον ἐκβολῇ δηλονότι τοῦ κατὰ ἀναδιπλασιασμὸν συμφώνου καὶ παρενθέσει τοῦ ι, οἷον λήβω λήψω λέληφα κοινῶς καὶ εἴληφα ἀττικῶς, λήχω λήξω λέληχα καὶ εἴληχα, λέγω λέξω λέλοχα καὶ εἴλοχα, μείρομαι μεροῦμαι μέμαρμαι καὶ εἵμαρμαι, ὅθεν εἱμαρμένη.

## Περὶ σχηματισμοῦ τοῦ ἀττικοῦ παρακειμένου.

Ἔτι ἰστέον ὡς οἱ ἀττικοὶ ἴδιον παρακείμενον ποιοῦσιν ἐπὶ τῶν ῥημάτων τῶν ἀρχομένων ἀπὸ τοῦ α ἢ τοῦ ε ἢ τοῦ ο μικροῦ. τούτων γὰρ τῶν κοινῶν παρακειμένων τὰ ἀρκτικὰ δύο τοῦ ἐνεστῶτος γράμματα προστιθέντες καὶ τὴν τρίτην συστέλλοντες συλλαβὴν ἴδιον παρακείμενον ποιοῦσιν, οἷον ἐλεύθω ἤλευθα ἐλήλυθα, ἀκούω ἤκουα ἀκήκοα, ἀλείφω ἤλειφα καὶ ἀλήλιφα, ὀρύσσω ὤρυχα ὀρώρυχα. ἐνίοτε δὲ τῶν ἀπὸ τοῦ ο ἀρχομένων τὸ ε μόνον προστιθέασιν ἐπί τε τοῦ παρατατικοῦ καὶ παρακειμένου καὶ ἀορίστου, οἷον ὁρῶ ἑώρων ἑώρακα, ὠμοῦμαι ὠμούμην καὶ ἐωμούμην, ὤνημαι ἐώνημαι, ὦσμαι ἔωσμαι, ὠσάμην ἐωσάμην, ἄνωγα ἀνέωγα. ὁμοίως δὲ τούτοις καὶ τὸ οἶκα ἔοικα. ἔνια γε μὴν τούτων οὐ συστέλλουσι τὴν παραλήγουσαν, οἷον ἄρηρα, ἔδηδα, ἀλάλημαι, [illegible]

ἑώρων

ἄνωγα ἀνέωγα

Ἔτι ἰστέον ὅτι τῶν τῆς πέμπτης συζυγίας ῥημάτων τὰ εἰς λ ἢ εἰς ρ λήγοντα φυλάττουσιν αὐτὸ ἐπὶ τοῦ παρακειμένου, οἷον ψάλλω ψαλῶ ἔψαλκα, σπείρω σπερῶ ἔσπαρκα. τὰ δὲ ἔχοντα τὸ μ ἐπὶ τῆς ἐσχάτης συλλαβῆς ἐντιθεμένου τοῦ η μεταξὺ τοῦ μ καὶ κ τὸν παρακείμενον ποιοῦσιν, οἷον νέμω νεμῶ νενέμηκα, τέμνω τεμῶ τετέμηκα καὶ κατὰ συγκοπὴν τέτμηκα. διὰ γὰρ τὸ ἀσύντακτον εἶναι τὸ μ τῷ κ παρένθεσις τοῦ η μεταξὺ τούτων ἐγένετο. ὁμοίως δὲ καὶ τὰ εἰς νω λήγοντα ἐκβάλλει τὸ ν ἐπὶ τοῦ παρακειμένου, οἷον τὰ ἔχοντα ἐπὶ τῆς παραληγούσης τὸ ι ἢ τὴν ει δίφθογγον, οἷον κρίνω κρινῶ κέκρικα, κτείνω κτενῶ ἔκτακα· πλὴν τῶν πρὸ τοῦ νω ἐχόντων ἐν τῇ παραληγούσῃ τὴν αι δίφθογγον καί τινων τῶν ὑψιλῷ παραληγόντων. ταῦτα γὰρ φυλάττοντα τὸ ν τρέπουσιν αὐτὸ ἐπὶ τοῦ παρακειμένου εἰς γ, οἷον μιαίνω μιανῶ μεμίαγκα, μολύνω μολυνῶ μεμόλυγκα. καθόλου γὰρ τὸ ν πρὸ τοῦ γ ἢ κ ἢ χ εἰς γ τρέπεται, οἷον καταλείπω ἐγκαταλείπω, γίνομαι ἐγγίνομαι, χέω συγχέω. ἔτι σημειωτέον ὅτε ὁ παρακείμενος εἰς α καταλήγων μακρὰν ἔχει τὴν παραλήγουσαν, εἰ ἀποβάλλει τὸ κ ἢ συστέλλει τὴν παραλήγουσαν ἔθει ἰωνικῷ, οἷον ἕστηκα ἕσταα, βέβηκα βέβαα, τέθνηκα τέθναα, δέδοικα δέδια, γέγηκα γέγαα.

Τὰ νενέμηκα τετέμηκα γρ. ἔχων ἕσταα βέβαα τέθναα δέδια γέγαα

## Σχηματισμὸς τοῦ ὑπερσυντελικοῦ.

Ὁ δὲ ὑπερσυντέλικος ἀπὸ τοῦ παρακειμένου γίνεται τροπῇ τοῦ α εἰς ειν καὶ προσλήψει τῆς τοῦ ε αὐξήσεως κατὰ τὴν ἀρχήν, εἰ ἀπὸ συμφώνου ὁ παρακείμενος ἄρχεται, τέτυφα ἐτετύφειν, πέπλεχα ἐπεπλέχειν. εἰ δὲ ἀπὸ φωνήεντος ἄρχεται, οὐδεμιᾶς προσθήκης, οἷον ἔψαλκα ἐψάλκειν, ἠγάπηκα ἠγαπήκειν.

## Σχηματισμὸς τοῦ μέσου παρακειμένου.

Ὁ δὲ μέσος παρακείμενος ἀπὸ τοῦ ἐνεργητικοῦ παρακειμένου λαμβάνων πρὸ τοῦ α τὸ σύμφωνον τοῦ ἐνεστῶτος, ἐὰν δὲ δύο σύμφωνα ᾖ ἐπὶ τοῦ ἐνεστῶτος, τὸ μᾶλλον χαρακτηριστικὸν τῆς συζυγίας, οἷον λείβω λέλοιβα, τύπτω τέτυπα. εἰ μέντοι ὁ ἐνεστὼς λήγει εἰς ω καθαρόν, καὶ ὁ μέσος παρακείμενος ὁμοίως τὸ α καθαρὸν ἔχει, οἷον ἀκούω ἤκουα. δεῖ μέντοι εἰδέναι ὡς ἐπὶ τινῶν

ἔσκαφα
βέβλαβα

τῶν ἐχόντων δύο σύμφωνα ἐπὶ τοῦ ἐνεστῶτος ὁ αὐτὸς χαρακτηριστικὸν τῆς συζυγίας τοῦ ἐνεστῶτος ἀεὶ λαμβάνεται· ἀλλ' ἐνίοτε ἢ τὸ ἀντιστοιχοῦν αὐτῷ δασὺ ἢ καὶ τὸ μέσον· ὡς ἐπὶ τοῦ σκάπτω ἔσκαφα· βλάπτω βέβλαβα. ἐὰν δὲ εἰς ζω λήγων ὁ ἐνεστὼς εἰς σ τὸν μέλλοντα ποιῇ, ὁ μέσος παρακείμενος πρὸ τοῦ α τὸ δ ἔχει· οἷον φράζω φράσω πέφραδα. εἰ δὲ εἰς ζω ἢ εἰς δύο σσ λήγων ὁ ἐνεστὼς εἰς ξ τὸν μέλλοντα σχηματίζει, ὁ μέσος παρακείμενος τὸ γ ἔχει· οἷον κράζω κράξω κέκραγα· πλήσσω ἢ πλήττω ἢ πλήγω· πλήξω πέπληγα. ἔχει δὲ τὴν αὐτὴν παραλήγουσαν ὁ μέσος παρακείμενος τῷ ἐνεργητικῷ παρακειμένῳ· οἷον τέτυφα τέτυπα πέπληχα πέπληγα· πλὴν τῶν ἐχόντων ἐπὶ τοῦ μέλλοντος ἐν τῇ παραληγούσῃ τὸ ε ἢ μόνον ἢ μετὰ τοῦ ι· τότε γὰρ εἰς ο αὐτὸ τρέπει ὁ μέσος παρακείμενος· οἷον φθερῶ ἔφθορα· πείσω πέποιθα. τέξω τέτοκα· γενῶ γέγονα· εἴξω οἶκα καὶ ἀττικῶς ἔοικα. εἰ δὲ ὁ ἐνεστὼς τῇ αι διφθόγγῳ παραλήγει, ὁ μέσος παρακείμενος ἐν τῇ παραληγούσῃ τὸ η ἔχει· οἷον φαίνω πέφηνα· μαίνω μέμηνα· χαίνω κέχηνα· δαίω δέδηα.

Περὶ τοῦ μέσου παρακειμένου τῶν περισπωμένων.

Ἰστέον δὲ ὅτι ἐπὶ τῶν περισπωμένων ῥημάτων σπανίως εὕρηνται μέσοι παρακείμενοι καὶ ἀόριστοι δεύτεροι. ὅτε δὲ εὑρεθῶσιν ἐλαττοῦνται, ὁ μὲν τοῦ ἐνεργητικοῦ παρακειμένου· ὁ δὲ τοῦ πρώτου ἀορίστου μιᾷ συλλαβῇ. οἷον δουπῶ δεδούπηκα δέδουπα· κτυπῶ ἐκτύπηκα ἔκτυπα· ἀνωγῶ ἠνώγηκα ἤνωγα· μυκῶ μεμύκηκα μέμυκα· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἀορίστου ἐδούπησα ἔδουπον· ἐμύκησα ἔμυκον· ἐλάκησα ἔλακον.

Σχηματισμὸς τοῦ μέσου ὑπερσυντελίκου.

Ὁ δὲ μέσος ὑπερσυντέλικος ὁμοίως τῷ ἐνεργητικῷ ὑπερσυντελίκῳ ἀπὸ τοῦ ἰδίου παρακειμένου· οἷον τέτυπα ἐτετύπειν· πέπληγα ἐπεπλήγειν· ἔσπορα ἐσπόρειν.

Σχηματισμὸς τοῦ πρώτου ἀορίστου.

Ὁ δὲ πρῶτος ἀόριστος ἀπὸ τοῦ μέλλοντος γίνεται ἀμοιβῇ τοῦ ο εἰς α καὶ αὐξήσει ἢ χρονικῇ ἢ συλλαβικῇ· οἷον ἀκούσω ἤκουσα· τύψω ἔτυψα. φυλάττει δὲ ἀεὶ τὸ σύμφωνον τοῦ μέλλοντος· οἷον λέξω ἔλεξα· φράσω ἔφρασα· πλὴν τοῦ εἶπα καὶ ἤνεγκα ἐπὶ τῶν βαρυτόνων· καὶ πλὴν τοῦ ἔθηκα ἧκα ἔδωκα ἐπὶ τῶν εἰς μι.

εἶπα
ἤνεγκα
ἔθηκα
ἔδωκα
ἧκα

Περὶ τῆς παραληγούσης τῶν πρώτων ἀορίστων τῆς πέμπτης συζυγίας.

Σημειωτέον δὲ καὶ ὅτι οἱ πρῶτοι ἀόριστοι τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων μακρᾷ παραλήγουσι· καὶ εἰ μὲν ὁ μέλλων παραλήγει τῷ ε προσλήψει τοῦ ι ἐκτείνουσι τὴν παραλήγουσαν· οἷον νεμῶ ἔνειμα· σπερῶ ἔσπειρα. εἰ δὲ τῷ α τρέπουσιν αὐτὰ ὡς ἐπὶ τὸ πλεῖστον εἰς η· οἷον ψαλῶ ἔψηλα· φανῶ ἔφηνα· σημανῶ ἐσήμηνα. ἐνίοτε δὲ φυλάττουσιν αὐτὸ μακρόν· οἷον μιανῶ ἐμίανα· χλιανῶ ἐχλίανα.

Σχηματισμὸς τοῦ δευτέρου ἀορίστου.

Ὁ δὲ δεύτερος ἀόριστος λήγει μὲν εἰς ον· ἔχει δὲ πρὸ τῆς ον ἀεὶ τὸ σύμφωνον τοῦ μέσου παρακειμένου· οἷον τύπτω τέτυπα ἔτυπον· λείβω λέλοιβα ἔλιβον· ἀκούω ἤκουα ἤκοον. ἔχει δὲ καὶ βραχεῖαν τὴν παραλήγουσαν ὡς ἐπὶ τὸ πλεῖστον εἰ ἀπὸ βαρυτόνου θέματος γίνοιτο· καὶ εἰ μὲν ὁ ἐνεστὼς τῇ ει ἢ τῇ ευ διφθόγγῳ παραλήγει ἐκβολῇ τοῦ ε ὡς ἐπὶ τὸ πλεῖστον ὁ δεύτερος ἀόριστος ἐκφέρεται· οἷον λείβω ἔλιβον· λείπω ἔλιπον· φεύγω ἔφυγον· ἐλεύθω ἤλυθον· ὁμοίως δὲ καὶ φαίνω ἔφανον· δαίω ἔδαον ἐκβολῇ δηλονότι τοῦ ι· καὶ λήβω ἔλαβον· λήχω ἔλαχον· δήκω ἔδακον τροπῇ τοῦ η εἰς α. ὅσα δὲ ἐπὶ τοῦ ἐνεστῶτος ἔχει μὲν τὴν ει δίφθογγον ἢ τὸ ε· ἔχει δὲ καὶ ἀμετάβολον πρὸ αὐτῶν ἕτερον σύμφωνον ὑποτασσόμενον ἢ μετὰ ταῦτα τηνικαῦτα ὁ δεύτερος ἀόριστος ἐπὶ τῆς παραληγούσης τὸ α ἔχει· οἷον σπείρω ἔσπαρον· πλέκω ἔπλακον· τρέπω ἔτραπον· πείρω ἔπαρον· πέρθω ἔπαρθον· δέρκω ἔδαρκον· στέλλω ἔσταλον· τέμνω ἔταμον. τὸ δὲ ἤγαγον καὶ ἐπέπληγον κατὰ ἀναδιπλασιασμὸν ἔθει ἰωνικῷ· καὶ τὸ ἔσχον παρενθέσει τοῦ σ ἰδιοσχηματίστως ἢ καὶ ἀπὸ τοῦ σχέω σχήσω ὃ καὶ βέλτιον οἶμαι.

ἤγαγον
ἐπέπληγον
ἔσχον

Σχηματισμὸς τοῦ δευτέρου μέλλοντος.

Ὁ δὲ δεύτερος μέλλων ἀπὸ τοῦ δευτέρου ἀορίστου γίνεται εἰς ῶ περισπώμενος· διὸ καὶ τὸ αὐτὸ σύμφωνον τοῦ

δευτέρου ἀορίστου φυλάττει καὶ παραλήγουσαν τὴν αὐτὴν ἔχει· ἐκβολὴν μέντοι τῆς αὐξήσεως· συνάρχεται γὰρ τῷ προστῷ μέλλοντι· οἷον ἔτυπον τυπῶ· ἔσπαρον σπαρῶ.

## Περὶ σχηματισμοῦ τῶν παθητικῶν.

Ἑξῆς δὲ καὶ περὶ σχηματισμοῦ τῶν παθητικῶν λεκτέον.

### Ἐνεστώς.

Ὁ ἐνεστὼς τοίνυν ἐπὶ τοῦ ὁριστικοῦ παθητικοῦ γίνεται ἀπὸ τοῦ ἐνεργητικοῦ ἐνεστῶτος τροπῇ τοῦ ω μεγάλου εἰς ο καὶ προσθέσει τῆς μαι· οἷον τύπτω τύπτομαι.

### Παρατατικός.

Ὁ δὲ παρατατικὸς ἀπὸ τοῦ ἐνεργητικοῦ παρατατικοῦ ἐνθέσει τῆς μη· οἷον ἔτυπτον ἐτυπτόμην· ἢ καὶ ἀπὸ τοῦ συστοίχου ἐνεστῶτος μεταβολῇ τῆς μαι εἰς μην καὶ τὴν ἄρχουσαν αὔξων χρονικῶς ἢ συλλαβικῶς· οἷον τύπτομαι ἐτυπτόμην· ἄγομαι ἠγόμην.

### Παθητικὸς παρακείμενος.

Ὁ δὲ παθητικὸς παρακείμενος ἀπὸ τοῦ ἐνεργητικοῦ γίνεται τροπῇ τῆς ἐσχάτης εἰς μαι· καὶ εἰ μὲν εἰς φα λήγει ὁ ἐνεργητικὸς παρακείμενος, ὁ παθητικὸς ὤφειλε μὲν πρὸ τῆς μαι προσλαμβάνειν τὸ β· προσλαμβάνει δὲ ἀντὶ τούτου τὸ μ διὰ τὸ ἀσυλλήπτως ἔχειν τὸ β πρὸς τὸ μ· οἷον τέτυφα τέτυμμαι· εἰ δὲ εἰς χα, ὁ παθητικὸς πρὸ τῆς μαι προσλαμβάνει τὸ γ· οἷον λέλεχα λέλεγμαι· εἰ δὲ εἰς κα, ὅτε μὲν ὁ ἐνεστὼς αὐτοῦ πρὸ τοῦ ω σύμφωνον ἔχει, εἰ μὲν μὴ ἀμετάβολον εἴη, ἀντὶ τοῦ σ προσλαμβάνει· οἷον πλήθω πέπληκα πέπλησμαι· ἄδω ἦκα ἦσμαι· πλάττω πέπλακα πέπλασμαι· λακτίζω λελάκτικα λελάκτισμαι· εἰ δὲ ἀμετάβολον, εἰ μὲν τὸ ρ ἢ τὸ λ, ταῦτα φυλάττει καὶ ὁ παθητικὸς παρακείμενος πρὸ τοῦ μ ὁμοίως τῷ ἐνεργητικῷ· οἷον σπείρω ἔσπαρκα ἔσπαρμαι· ψάλλω ἔψαλκα ἔψαλμαι· εἰ δὲ τὸ ν, ἔχει δὲ καὶ ὁ ἐνεργητικὸς παρακείμενος τετραμμένον γ ἐν ᾗ εἰς τὸ γ ὡς εἴρηται, καὶ ὁ παθητικὸς ἔχει αὐτὸ τετραμμένον εἰς μ διὰ τὸ ἐπαγόμενον μ· οἷον μιαίνω μεμίαγκα μεμίαμμαι· μεμίασμαι δὲ ἑτεροκλίτως κατὰ τοὺς ἀττικούς· εἰ δὲ ὁ μὲν ἐνεστὼς ἔχει αὐτό, ὁ δὲ ἐνεργητικὸς παρακείμενος οὐκ ἔχει, οὐδὲ ὁ παθητικὸς ἔχει· οἷον κρίνω κέκρικα κέκριμαι· εἰ δὲ ὁ ἐνεστὼς λήγει εἰς ω καθαρόν, ὁ παθητικὸς παρακείμενος ὡς ἐπὶ τὸ πλεῖστον οὐδὲν προσλαμβάνει· οἷον πεφώρακα πεφώραμαι· πεποίηκα πεποίημαι· τετόξευκα τετόξευμαι· ἑλκύω μέντοι ἥλκυσμαι· ἀκούω ἤκουσμαι· γελάω γεγέλασμαι· τελέω τετέλεσμαι· παραλήγουσαν δὲ ἀεὶ τὴν αὐτὴν ἔχει ὁ παθητικὸς παρακείμενος τῷ ἐνεργητικῷ· οἷον τέτυφα τέτυμμαι· πεποίηκα πεποίημαι· πλὴν ἐφ' ὧν τὸ ε ἐπὶ τοῦ ἐνεργητικοῦ παρακειμένου τρέπεται εἰς ο ἀττικῶς· ταῦτα γὰρ ἐπὶ τοῦ παθητικοῦ παρακειμένου ἀναλαμβάνουσι τὸ ε· οἷον λέγω λέλοχα λέλεγμαι· κλέπτω κέκλοφα κέκλεμμαι· βρέχω βέβροχα βέβρεγμαι.

ἥλκυσμαι
ἤκουσμαι
γεγέλασμαι
τετέλεσμαι

### Ὑπερσυντέλικος.

Ὁ δὲ ὑπερσυντέλικος ἀπὸ τοῦ ἰδίου παρακειμένου τροπῇ τῆς μαι εἰς μην καὶ προσλαμβάνων κατὰ τὴν ἀρχὴν τὸ ε εἰ ὁ παρακείμενος ἄρχεται ἀπὸ συμφώνου· οἷον τέτυμμαι ἐτετύμμην· λέλεγμαι ἐλελέγμην· εἰ δὲ ἀπὸ φωνήεντος ἄρχεται, οὐδὲν προσλαμβάνει· οἷον ἔστραμμαι ἐστράμμην· ἤκουσμαι ἠκούσμην.

### Πρῶτος ἀόριστος.

Ὁ ἀόριστος πρῶτος ἀπὸ τοῦ παθητικοῦ παρακειμένου γίνεται τροπῇ τῆς μαι εἰς θην καὶ εἰ σύμφωνον κατ' ἀρχὰς ἔχει ἀποβάλλων αὐτό· οἷον τέτυμμαι ἐτύφθην· λέλεγμαι ἐλέχθην· εἰ δὲ ἀπὸ φωνήεντος ἄρχεται ὁ παρακείμενος, τὸ αὐτὸ φυλάττει καὶ ὁ ἀόριστος· οἷον ὥπλισμαι ὡπλίσθην· ἔψαλμαι ἐψάλθην· καὶ εἰ μὲν ὁ παθητικὸς παρακείμενος πρὸ τῆς μαι τὸ γ ἔχει, τρέπει αὐτὸ εἰς τὸ δασὺ σύμφωνον τοῦ ἐνεργητικοῦ παρακειμένου· οἷον λέλεχα λέλεγμαι ἐλέχθην· εἰ δὲ τὸ μ τετραμμένον μὲν ἀπὸ τοῦ β, ὁμοίως τρέπει αὐτὸ εἰς τὸ οἰκεῖον δασύ· οἷον τέτυφα τέτυμμαι ἐτύφθην· τετραμμένον δὲ ἀπὸ τοῦ γ, ὁ ἀόριστος τὸ ν προσλαμβάνει· οἷον μεμίαμμαι ἐμιάνθην· εἰ δὲ τὸ σ ἢ τὸ ρ ἢ τὸ λ, ταῦτα φυλάττει καὶ ὁ ἀόριστος· οἷον ἔσπαρμαι ἐσπάρθην· ἔψαλμαι ἐψάλθην· πέφρασμαι ἐφράσθην· εἰ δὲ οὐδὲν ἔχει ὁ παθητικὸς παρακείμενος, οὐδὲ ὁ παθητικὸς ἀόριστος ἔχει· οἷον κέκριμαι ἐκρίθην· πεποί-

ημαι ἐποιήθην· σεσήμανται τὸ μέμνημαι ἐμνήσθην καὶ σέ-
σωσμαι ἐσώθην· παραλήγουσαν δὲ τὴν αὐτὴν ἔχει ὁ ἀόρι-
στος τῷ παθητικῷ παρακειμένῳ· οἷον τέτυμμαι ἐτύφθην
πεποίημαι ἐποιήθην· πλὴν τοῦ εὕρημαι εὑρέθην ἀφῄρημαι ἀ-
φῃρέθην καὶ τῶν δισυλλάβων τῆς πρώτης συζυγίας τῶν
ἐχόντων τὸ ε τετραμμένον εἰς τὸ α ἐπὶ τοῦ παρακειμένου·
ἐπὶ τούτων γὰρ πάλιν τὸ ε προσλαμβάνει ὁ ἀόριστος· οἷον
ἔστραμμαι ἐστρέφθην τέθραμμαι ἐθρέφθην· ὁ δὲ παθητικὸς
δεύτερος ἀόριστος ἀπὸ τοῦ ἐνεργητικοῦ δευτέρου ἀορί-
στου τροπῇ τῆς ἐσχάτης εἰς ην· οἷον ἔτυπον ἐτύπην ἔσπα-
ρον ἐσπάρην· ὁ δὲ πρῶτος καὶ δεύτερος μέλλων ἀπὸ τοῦ
δευτέρου προσώπου τῶν συστοίχων ἀορίστων προσλήψει
τῆς ομαι καὶ ἀφαιρέσει τῆς κατὰ τὴν ἀρχὴν αὐξήσεως· οἷ-
ον ἐτύφθης τυφθήσομαι ἐτύπης τυπήσομαι· ὁ δὲ μετ' ὀλί-
γον μέλλων ἀπὸ τοῦ δευτέρου προσώπου τῶν ἑνικῶν τοῦ
παθητικοῦ παρακειμένου ἐπενθέσει τοῦ ομ· οἷον τέτυψαι
τετύψομαι λέλεξαι λελέξομαι πέφρασμαι πεφράσομαι· οἱ
δὲ μέσοι ἀόριστοι καὶ μέλλοντες ἀπὸ τῶν ὁμωνύμων ἐνερ-
γητικῶν γίνονται· ὁ μὲν πρῶτος ἀόριστος ἀπὸ τοῦ πρώ-
του προσθέσει τῆς μην· οἷον ἔτυψα ἐτυψάμην· ὁμοίως δὲ καὶ ὁ
δεύτερος· οἷον ἔτυπον ἐτυπόμην· ὁ δὲ πρῶτος μέλλων ἀ-
πὸ τοῦ πρώτου ἀμοιβῇ τοῦ ω μεγάλου εἰς ο καὶ προσλήψει
τῆς μαι· οἷον τύψω τύψομαι· ὁ δὲ δεύτερος ἀπὸ τοῦ δευ-
τέρου μεταβολῇ τῆς ω εἰς ου· οἷον τυπῶ τυποῦμαι· καὶ πε- l. τοῦ
ρὶ μὲν τοῦ σχηματισμοῦ τῶν χρόνων ἔστω ταυτὶ ἱκανά· ῥη-
τέον δέ τινα καὶ περὶ τῆς ἐγκλιτικῆς κλίσεως καὶ τῆς προ-
σωπικῆς· τὸ γὰρ ἐντελὲς καὶ ἀκριβὲς τούτων ἔκ τε τῆς τοῦ
σοφοῦ Θεοδώρου γραμματικῆς καὶ τῆς τοῦ Μοσχοπόλου ἀ-
ναλεκτέον.

Theodori & Moschopuli grãmatica

εὑρέθω
ἀφηρέθω
ἐστρέφθω
ἐθρέφθω

Ἡ δὲ ὁριστικὴ ἔγκλισις ἀρχὴ πασῶν τῶν ἄλλων ἐγκλίσεων
ἐστί· διὸ καὶ σχηματίζονται οὕτως.

ἐνεργητικὰ ἐνεστῶτος.

Τὸ ὁριστικὸν τύπτω ἔτυπτον· τὸ προστακτικὸν τύπτε· τὸ εὐκτι-
κὸν τύπτοιμι· τὸ ὑποτακτικὸν ἐὰν τύπτω· τὸ ἀπαρέμφατον
τύπτειν· ἡ μετοχὴ ὁ τύπτων ἡ τύπτουσα τὸ τύπτον.

μέλλων πρῶτος.

Τὸ ὁριστικὸν τύψω· τὸ εὐκτικὸν τύψοιμι· τὸ ἀπαρέμφατον
τύψειν· ἡ μετοχὴ ὁ τύψων ἡ τύψουσα τὸ τύψον.

παρακείμενος.

Τὸ ὁριστικὸν τέτυφα ἐτετύφειν· τὸ προστακτικὸν τέτυφε·
τὸ εὐκτικὸν τετύφοιμι· τὸ ὑποτακτικὸν ἐὰν τετύφω· τὸ
ἀπαρέμφατον τετυφέναι· ἡ μετοχὴ ὁ τετυφὼς ἡ τετυ-
φυῖα τὸ τετυφός.

μέσος παρακείμενος καὶ ὑπερσυντέλικος.

Τὸ ὁριστικὸν τέτυπα ἐτετύπειν· τὸ προστακτικὸν τέτυπε·
τὸ εὐκτικὸν τετύποιμι· τὸ ὑποτακτικὸν ἐὰν τετύπω· τὸ
ἀπαρέμφατον τετυπέναι· ἡ μετοχὴ ὁ τετυπὼς ἡ τετυ-
πυῖα τὸ τετυπός.

ἀόριστος πρῶτος.

Τὸ ὁριστικὸν ἔτυψα· τὸ προστακτικὸν τύψον· τὸ εὐκτικὸν τύψαι-
μι· τὸ ὑποτακτικὸν ἐὰν τύψω· τὸ ἀπαρέμφατον τύψαι· ἡ
μετοχὴ ὁ τύψας ἡ τύψασα τὸ τύψαν.

ἀόριστος δεύτερος.

Τὸ ὁριστικὸν ἔτυπον· τὸ προστακτικὸν τύπε· τὸ εὐκτικὸν τύ-
ποιμι· τὸ ὑποτακτικὸν ἐὰν τύπω· τὸ ἀπαρέμφατον τυ-
πεῖν· ἡ μετοχὴ ὁ τυπὼν ἡ τυποῦσα τὸ τυπόν.

μέλλων δεύτερος.

Τὸ ὁριστικὸν τυπῶ· τὸ εὐκτικὸν τυποῖμι· τὸ ἀπαρέμ-
φατον τυπεῖν· ἡ μετοχὴ ὁ τυπῶν· ἡ τυποῦσα· τὸ τυ-
ποῦν.

παθητικὰ ἐνεστῶτος καὶ παρατατικός.

Τὸ ὁριστικὸν τύπτομαι· ἐτυπτόμην· τὸ προστακτικὸν τύπτου·
τὸ εὐκτικὸν τυπτοίμην· τὸ ὑποτακτικὸν ἐὰν τύπτωμαι· τὸ
ἀπαρέμφατον τύπτεσθαι· ἡ μετοχὴ ὁ τυπτόμενος ἡ τυ-
πτομένη τὸ τυπτόμενον.

παρακείμενος.

Τὸ ὁριστικὸν τέτυμμαι ἐτετύμμην· τὸ προστακτικὸν τέ-
τυψο· τὸ εὐκτικὸν τετυμμένος εἴην· τὸ ὑποτακτικὸν ἐὰν
ὦ τετυμμένος· τὸ ἀπαρέμφατον τετύφθαι· ἡ μετοχὴ ὁ
τετυμμένος ἡ τετυμμένη τὸ τετυμμένον.

ἀόριστος πρῶτος.

Τὸ ὁριστικὸν ἐτύφθην. τὸ προστακτικὸν τύφθητι. τὸ εὐκτικὸν τυφθείην. τὸ ὑποτακτικὸν ἐὰν τυφθῶ. τὸ ἀπαρέμφατον τυφθῆναι. ἡ μετοχὴ ὁ τυφθεὶς ἡ τυφθεῖσα τὸ τυφθέν.

ἀόριστος δεύτερος.

Τὸ ὁριστικὸν ἐτύπην. τὸ προστακτικὸν τύπηθι. τὸ εὐκτικὸν τυπείην. τὸ ὑποτακτικὸν ἐὰν τυπῶ. τὸ ἀπαρέμφατον τυπῆναι. ἡ μετοχὴ ὁ τυπεὶς ἡ τυπεῖσα τὸ τυπέν.

μέλλων πρῶτος.

Τὸ ὁριστικὸν τυφθήσομαι. τὸ εὐκτικὸν τυφθησοίμην. τὸ ἀπαρέμφατον τυφθήσεσθαι. ἡ μετοχὴ ὁ τυφθησόμενος ἡ τυφθησομένη τὸ τυφθησόμενον.

μέλλων δεύτερος.

Τὸ ὁριστικὸν τυπήσομαι. τὸ εὐκτικὸν τυπησοίμην. τὸ ἀπαρέμφατον τυπήσεσθαι. ἡ μετοχὴ ὁ τυπησόμενος ἡ τυπησομένη τὸ τυπησόμενον.

μετ' ὀλίγον μέλλων.

Τὸ ὁριστικὸν τετύψομαι. τὸ εὐκτικὸν τετυψοίμην. τὸ ἀπαρέμφατον τετύψεσθαι. ἡ μετοχὴ ὁ τετυψόμενος ἡ τετυψομένη τὸ τετυψόμενον.

μέσος ἀόριστος πρῶτος.

Τὸ ὁριστικὸν ἐτυψάμην. τὸ προστακτικὸν τύψαι. τὸ εὐκτικὸν τυψαίμην. τὸ ὑποτακτικὸν ἐὰν τύψωμαι. τὸ ἀπαρέμφατον τύψασθαι. ἡ μετοχὴ ὁ τυψάμενος ἡ τυψαμένη. τὸ τυψάμενον.

μέσος ἀόριστος δεύτερος.

Τὸ ὁριστικὸν ἐτυπόμην. τὸ προστακτικὸν τυποῦ. τὸ εὐκτικὸν τυποίμην. τὸ ὑποτακτικὸν ἐὰν τύπωμαι. τὸ ἀπαρέμφατον τυπέσθαι. ἡ μετοχὴ ὁ τυπόμενος ἡ τυπομένη. τὸ τυπόμενον.

μέσος μέλλων πρῶτος.

Τὸ ὁριστικὸν τύψομαι. τὸ εὐκτικὸν τυψοίμην. τὸ ἀπαρέμφατον τύψεσθαι. ἡ μετοχὴ ὁ τυψόμενος ἡ τυψομένη τὸ τυψόμενον.

μέσος μέλλων δεύτερος.



τὸ ὁριστικὸν τυποῦμαι. τὸ εὐκτικὸν τυποίμην. τὸ ἀπαρέμφατον τυπεῖσθαι. ἡ μετοχὴ ὁ τυπούμενος. ἡ τυπουμένη. τὸ τυπούμενον.

σχηματισμοὶ τῶν εἰς μι ἐγκλίσεων.

ἐνεστὼς καὶ παρατατικός.

Τὸ ὁριστικὸν τίθημι ἐτίθην. τὸ προστακτικὸν τίθετι. τὸ εὐκτικὸν τιθείην. τὸ ὑποτακτικὸν ἐὰν τιθῶ. τὸ ἀπαρέμφατον τιθέναι. ἡ μετοχὴ ὁ τιθεὶς ἡ τιθεῖσα τὸ τιθέν.

ἀόριστος πρῶτος.

Τὸ ὁριστικὸν ἔθηκα. ἐπὶ δὲ τῶν ἄλλων ἐγκλίσεων ὁ πρῶτος ἀόριστος τῆς πρώτης καὶ τῆς τρίτης συζυγίας τῶν εἰς μι ἐξέλιπε.

*ἔθηκα & ἔδωκα ultra indicatiuū nō declinari*

ἀόριστος δεύτερος.

Τὸ ὁριστικὸν ἔθην. τὸ προστακτικὸν θέτι καὶ θές. τὸ εὐκτικὸν θείην. τὸ ὑποτακτικὸν ἐὰν θῶ. τὸ ἀπαρέμφατον θεῖναι. ἡ μετοχὴ ὁ θεὶς ἡ θεῖσα τὸ θέν.

παθητικὰ ἐνεστὼς καὶ παρατατικός.

Τὸ ὁριστικὸν τίθεμαι. ὁ παρατατικὸς ἐτιθέμην. τὸ προστακτικὸν τίθεσο καὶ τίθου. τὸ εὐκτικὸν τιθείμην. τὸ ὑποτακτικὸν ἐὰν τιθῶμαι. τὸ ἀπαρέμφατον τίθεσθαι. ἡ μετοχὴ ὁ τιθέμενος ἡ τιθεμένη τὸ τιθέμενον.

Τὸ ὁριστικὸν ἐθέμην. τὸ προστακτικὸν θέσο καὶ θοῦ. τὸ εὐκτικὸν θείμην. τὸ ὑποτακτικὸν ἐὰν θῶμαι. τὸ ἀπαρέμφατον θέσθαι. ἡ μετοχὴ ὁ θέμενος ἡ θεμένη τὸ θέμενον. οἱ δὲ ἄλλοι χρόνοι τῆς τε ὁριστικῆς καὶ τῶν ἄλλων ἐγκλίσεων ὁμοίως τοῖς τῶν βαρυτόνων σχηματίζονται.

ὅτι αἱ αὐξήσεις τῶν παρῳχημένων ἐπὶ τῶν ἄλλων ἐγκλίσεων ἐξαιροῦνται.

Ἰστέον δὲ ὅτι ἐπὶ τῶν ἄλλων ἐγκλίσεων αἱ αὐξήσεις τῶν παρῳχημένων, εἴτε συλλαβικαὶ εἶεν εἴτε χρονικαὶ ἐξαιροῦνται. πλὴν τοῦ παρακειμένου. οἷον ἔτυπτον τύπτε ἔτυψα τύψον τύψαιμι ἐὰν τύψω τύψαι ὁ τύψας τέτυφα γε μὴν τέτυφε τετύφοιμι ἐὰν τετύφω τετυφέναι ὁ τετυφώς. ὡσαύτως δὲ καὶ ὁ παρατατικὸς τῷ ἐνεστῶτι συνέζευκται καὶ ὁ ὑπερσυντέλικος τῷ παρακειμένῳ. διὸ καὶ τὴν ἑκατέρου σημασίαν

*Augmenta aufe-re in alijs modis*

φυλάττουσιν ἐπί τε τῶν ἄλλων ἐγκλίσεων καὶ ἐπὶ τῶν μετοχῶν. ἔτι ἐν τοῖς προστακτικοῖς καὶ ὑποτακτικοῖς οὐκ εἰσὶ μελλόντων παρασχηματισμοί. τὴν δὲ σημασίαν τούτων οἱ ἀόριστοι εἰλήφασιν. αἱ δὲ τῶν προσώπων κλίσεις τοῦ ὁριστικοῦ ἐνεργητικοῦ καὶ τῶν ἄλλων ἐγκλίσεων καθόλου μὲν ζητείσθω παρὰ τῶν ἄλλων ὡς εἴρηται. ἡμεῖς δὲ βραχέ᾽ ἄττα περὶ τῶν προσώπων τῶν παθητικῶν ἐροῦμεν.

Περὶ προσώπων σχηματισμοῦ.

*Formationes p[er]sonarũ uocis passivæ*

Γίνεται τοίνυν τὸ δεύτερον τῶν ἑνικῶν τοῦ τε ἐνεστῶτος καὶ τῶν παθητικῶν μελλόντων καὶ τοῦ μέσου πρώτου ἀπὸ τοῦ πρώτου ἐκβολῇ τοῦ μ καὶ τροπῇ τοῦ ο εἰς ε καὶ κράσει τοῦ ε καὶ αι διφθόγγου εἰς η. οἷον τύπτομαι τύπτεαι τύπτῃ. τυφθήσομαι τυφθήσεαι τυφθήσῃ. τυπήσομαι τυπήσεαι τυπήσῃ. τετύψομαι τετύψεαι τετύψῃ. τύψομαι τύψεαι τύψῃ. τὸ δὲ τρίτον τῶν ἑνικῶν γίνεται ἀπὸ τοῦ ἐντελοῦς δευτέρου παρενθέσει τοῦ τ. οἷον τύπτεαι τύπτεται. τυφθήσεαι τυφθήσεται. τυπήσεαι τυπήσεται. τετύψεαι τετύψεται. τύψεαι τύψεται. τῶν δὲ δυϊκῶν τὸ μὲν πρῶτον ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν μεταποιήσει τῆς ληγούσης εἰς μεθον. τύπτομαι τυπτόμεθον. τυφθήσομαι τυφθησόμεθον. τὸ δὲ δεύτερον καὶ τρίτον ὁμοφωνεῖτον καὶ ἀπὸ τοῦ τρίτου γίνεσθον μεταποιήσει τῆς ἐσχάτης εἰς σθον. τύπτεται τύπτεσθον. τυφθήσεται τυφθήσεσθον. τῶν δὲ πληθυντικῶν τὸ μὲν πρῶτον ἀπὸ τοῦ πρώτου τῶν δυϊκῶν μεταποιήσει τῆς ληγούσης εἰς θα. τυπτόμεθον τυπτόμεθα. τὸ δὲ δεύτερον ἀπὸ τοῦ δευτέρου μεταποιήσει τῆς ἐσχάτης εἰς θε. τύπτεσθον τύπτεσθε. τὸ δὲ τρίτον ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν τροπῇ τοῦ παραλήγοντος ε εἰς ο μικρὸν καὶ προσλήψει τοῦ ν. τύπτεται τύπτονται. ὁμοίως δὲ τούτοις καὶ τοῦ μέσου μέλλοντος δευτέρου τῶν προσώπων ὁ σχηματισμὸς γίνεται. πλὴν ὅσον ἐπὶ τούτου τὸ δεύτερον τῶν ἑνικῶν γίνεται τροπῇ τῆς ου εἰς ει δίφθογγον. οἷον τυποῦμαι τυπεῖαι καὶ κράσει τῆς ει καὶ αι διφθόγγου εἰς η. τυπῇ. καὶ τὸ τρίτον τῶν πληθυντικῶν τροπῇ τῆς ει διφθόγγου εἰς ου. οἷον τυπεῖται τυποῦνται. τοῦ δὲ παρατατικοῦ καὶ μέσου ἀορίστου δευτέρου. τὸ δεύτερον τῶν ἑνικῶν ἀπὸ τοῦ πρώτου γίνεται

*deest ex correctione libri quæ præfixa est initio. σεσημείωται τὸ βούλομαι βούλει, οἴομαι οἴει, ὄψομαι ὄψει ἃ διὰ τῆς ε. καὶ ι. διφθόγγου γράφονται*



ἐξαιρέσει τοῦ μ καὶ ν καὶ τροπῇ τοῦ η εἰς ε καὶ μεταθέσει καὶ κράσει τοῦ ε καὶ ο εἰς ου. οἷον ἐτυπτόμην ἐτύπτεο ἐτύπτου. καὶ τὸ τρίτον ἀπὸ τοῦ δευτέρου παρενθέσει τοῦ τ. οἷον ἐτύπτεο ἐτύπτετο. τὰ δ᾽ ἄλλα ὁμοίως τοῖς τοῦ ἐνεστῶτος καὶ τῶν μελλόντων σχηματίζεται. πλὴν ὅσον τὸ τρίτον τῶν δυϊκῶν οὐχ ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ. ἀλλὰ ἀπὸ τούτου γίνεται μεταποιήσει τῆς ληγούσης εἰς σθην. οἷον ἐτύπτεσθον ἐτυπτέσθην. τοῦ δὲ μέσου ἀορίστου πρώτου τὸ δεύτερον ἀπὸ τοῦ πρώτου ἐξαιρέσει τοῦ μ καὶ ν καὶ μεταβολῇ τοῦ η εἰς ε καὶ τούτου πάλιν εἰς ο καὶ κράσει τοῦ α καὶ ο εἰς ω. οἷον ἐτυψάμην ἐτύψαο ἐτύψω. τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου τοῦ ἐντελοῦς. οἷον ἐτύψαο ἐτύψατο. τὰ δὲ ἄλλα ὁμοίως τοῖς τοῦ δευτέρου ἀορίστου. πλὴν ὅσον ἐνταῦθα τὸ παραλῆγον α ἐν πᾶσι τοῖς προσώποις φυλάττεται ἄτρεπτον. τοῦ δὲ παθητικοῦ παρακειμένου τὸ δεύτερον ἀπὸ τοῦ πρώτου τροπῇ τοῦ ληκτικοῦ μ εἰς σ ἤτοι ἐνεργείᾳ ἢ δυνάμει. εἰ μὲν γὰρ ὁ μέλλων διὰ τοῦ ψ ἢ ξ, ὁ σχηματισμὸς τοῦ δευτέρου τῶν ἑνικῶν τοῦ παθητικοῦ παρακειμένου διὰ τοῦ αὐτοῦ διπλοῦ γίνεται. οἷον τύψω τέτυμμαι τέτυψαι. λέξω λέλεγμαι λέλεξαι. εἰ δὲ ὁ μέλλων ἕτερον σύμφωνον ἐπὶ τῆς ληγούσης ἔχει τὸ σ προσλαμβάνει. οἷον ποιήσω πεποίημαι πεποίησαι. κρινῶ κέκριμαι κέκρισαι. τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου τροπῇ τοῦ σ εἴτε ἐνεργείᾳ ὄντος εἴτε δυνάμει εἰς τ. καὶ εἰ μὲν τὸ δεύτερον ἔχει τι τῶν διπλῶν πρὸ τοῦ τ προσλαμβάνεται τὸ ψιλὸν ὅπερ ἦν δυνάμει ἐν τῷ διπλῷ. οἷον τέτυψαι τέτυπται λέλεξαι λέλεκται. εἰ δὲ εἰς σαι λήγει τὸ δεύτερον τῶν ἑνικῶν. εἰ μὲν τὸ πρῶτον πρὸ τῆς μαι τὸ σ ἔχει ἢ τὸ λ ἢ τὸ ρ. ταῦτα καὶ ἐπὶ τοῦ τρίτου προσώπου φυλάττεται. οἷον ἤκουσμαι ἤκουσαι ἤκουσται. ἔσπαρμαι ἔσπαρσαι ἔσπαρται. ἔψαλμαι ἔψαλσαι ἔψαλται. εἰ δὲ πρὸ τῆς μαι ἕτερον μ ἔχει τετραμμένον ἀπὸ τοῦ γ τὸ μ πρὸ τοῦ τ προσλαμβάνεται. οἷον ἔρραμμαι ἔρραυται πέφαμμαι πέφαυται. εἰ δὲ τὸ πρῶτον τῶν ἑνικῶν εἰς μαι καθαρὸν λήγει καὶ τὸ τρίτον τῶν ἑνικῶν οὐδὲν πρὸ τοῦ τ προσλαμβάνει. οἷον πεποίημαι πεποίησαι πεποίηται. κέκριμαι κέκρισαι κέκριται. τὸ δὲ πρῶτον πρόσωπον τῶν δυϊκῶν

*ἔρραπται πέφαπται*

quaero si habeat in 3. sing. ante ται τὸ ν, quomodo faciet in 2 duali. Num accipiet σ ante θον? Minime gentium. Nam si λ aut ρ male coeunt cum σ, prius coit cum ν: igitur non dicemus πέφανσθον sed πέφανθον, quod omissum a Demetrio & item urbano miror. / Quid si accipienda σ & abijcienda ν, ut dicamus πέφασθον, quod videtur sentire Demetrius. Suspendo iudicium. Sed magis arridet prior sententia.

τὸ μὲν πρῶτον ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν ὁμοίως τῷ ἐνεστῶτι· οἷον τέτυμμαι τετύμμεθον, λέλεγμαι λελέγμεθον. τὸ δὲ δεύτερον ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν τροπῇ τῆς ται εἰς σθον καὶ τοῦ ψιλοῦ, ἐὰν ᾖ, εἰς τὸ οἰκεῖον δασύ· οἷον τέτυπται τέτυφθον, λέλεκται λέλεχθον. ἔνθα δὲ μὴ ὑπάρχει ψιλὸν, ἀεὶ τὸ δεύτερον τῶν δυϊκῶν προσλαμβάνει τὸ σ· οἷον πεποίηται πεποίησθον, ἤκουσται ἤκουσθον. πλὴν ἐφ' ὧν τὸ ρ ἢ τὸ λ ἐστί. ταῦτα γὰρ καὶ ἐπὶ τοῦ δευτέρου τῶν δυϊκῶν φυλάττεται, μὴ δυναμένου τοῦ ρ ἢ τοῦ λ συνυπάρχειν τῷ σ· οἷον ἔσπαρται ἔσπαρθον, ἔψαλται ἔψαλθον. τῶν δὲ πληθυντικῶν τὸ πρῶτον ἀπὸ τοῦ πρώτου τῶν δυϊκῶν μεταποιήσει τῆς ἐσχάτης εἰς θα, ὁμοίως τῷ ἐνεστῶτι· τετύμμεθον τετύμμεθα, λελέγμεθον λελέγμεθα. τὸ δὲ δεύτερον ἀπὸ τοῦ δευτέρου τῶν δυϊκῶν ἐκβολῇ τοῦ ν καὶ τροπῇ τοῦ ο εἰς ε· τέτυφθον τέτυφθε, λέλεχθον λέλεχθε. τὸ δὲ τρίτον ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν γίνεται· καὶ εἰ μὲν εἰς ται καθαρὸν λήγει, προσλήψει τοῦ ν γίνεται τὸ τρίτον τῶν πληθυντικῶν· οἷον πεποίηται πεποίηνται, κέκριται κέκρινται. εἰ δὲ δύο σύμφωνα ἐπὶ τῆς ληγούσης ἔχει τὸ τρίτον τῶν ἑνικῶν, κοινῶς μὲν γενέσθαι οὐχ οἷόν τε· ἰωνικῶς δὲ τροπῇ τοῦ ψιλοῦ, ἐν οἷς ἂν ᾖ, εἰς δασὺ καὶ παρενθέσει τοῦ α· τέτυπται τετύφαται, πέπλεκται πεπλέχαται. ἐφ' ὧν δὲ ὁ ἐνεστὼς τὸ ζ ἔχει, οὐ τὸ σ, ἀλλὰ τὸ δ ἀντὶ τούτου προσλαμβάνει τὸ τρίτον τῶν πληθυντικῶν· οἷον πέφρασται πεφράδαται. καὶ τὰ τοῦ ὑπερσυντελίκου δὲ ὁμοίως τοῖς τοῦ παρακειμένου γίνεται· πλὴν ἐφ' ὧν τοῦ παρακειμένου κατάληξις ἡ αι δίφθογγος, ἐπὶ τούτου τὸ ο μικρόν· οἷον τέτυψαι ἐτέτυψο, τέτυπται ἐτέτυπτο.

τέτυφθον
λέλεχθον
ἔσπαρθον
ἔψαλθον

form. 3. personae ionicae

## Περὶ σχηματισμοῦ τῶν χρόνων τῶν εἰς μι.

Τῶν δὲ εἰς μι τρεῖς εἰσὶν, ὡς εἴρηται, ἴδιοι χρόνοι, ὅ τε ~~ἐνεργητικὸς~~ ἐνεστὼς καὶ παρατατικὸς καὶ δεύτερος ἀόριστος. γίνεται δὲ ὁ μὲν παρατατικὸς ἀπὸ τοῦ ἐνεστῶτος τροπῇ τῆς μι συλλαβῆς εἰς ν καὶ προσλήψει τῆς συλλαβικῆς αὐξήσεως ἢ χρονικῆς κατὰ τὴν ἀρχὴν ἔνθα ἂν ἐγχωρῇ· οἷον τίθημι ἐτίθην, ἵστημι ἵστην, δίδωμι ἐδίδων, ζεύγνυμι ἐζεύγνυν. ὁ δὲ δεύ-



τερος ἀόριστος ἀπὸ τοῦ παρατατικοῦ ἐκβολῇ τῆς πρώτης συλλαβῆς τῆς κατὰ ἀναδιπλασιασμόν· οἷον ἐτίθην ἔθην, ἵστην ἔστην, ἐδίδων ἔδων. τῶν γὰρ εἰς μι, ὡς ἁπλῶς εἰπεῖν, τὰ πρωτότυπα κατὰ ἀναδιπλασιασμὸν σχηματίζεται προσλήψει τοῦ ἀρκτικοῦ συμφώνου σὺν τῷ ι· οἷον θῶ θιθῶ. διὰ δὲ τὴν ἐπαλληλίαν τῶν δασέων τροπῇ τοῦ θ εἰς τ ἐκφέρεται· τιθῶ τίθημι, διδῶ δίδωμι. στῶ μέντοι οὐ σιστῶ διὰ τὸ δύσφωνον, ἀλλ' ἐκβολῇ τοῦ σ ἐκφέρεται ἱστῶ ἵστημι. τά γε μὴν εἰς μι τῆς τετάρτης συζυγίας οὐκ ἀναδιπλασιάζεται· οἷον ζεύγω ζευγνύω ζεύγνυμι, ῥήττω ῥήγω ῥηγνύω ῥήγνυμι, δείκω δεικνύω δείκνυμι. καὶ τινα τῆς δευτέρας συζυγίας, οἷον πέραμαι, δύναμαι, κρέμαμαι. ex correctione libri.

Reduplicatio verborum εἰς μι.

## Σχηματισμὸς τοῦ μέλλοντος τῶν εἰς μι.

Δεῖ δ' ἂν σχηματίσαι καὶ τοὺς μέλλοντας τῶν εἰς μι τῆς τε πρώτης καὶ δευτέρας καὶ τρίτης ἀπὸ τοῦ ἰδίου πρωτοτύπου ἀφαιρέσει τῆς κατὰ ἀναδιπλασιασμὸν ἀρκτικῆς συλλαβῆς· οἷον τιθέω θήσω, ἱστάω στήσω, διδόω δώσω· καθάπερ δὴ καὶ οἱ μέλλοντες τῶν περισπωμένων σχηματίζονται. τῆς δὲ τετάρτης οἱ μέλλοντες ποτὲ μὲν τὸ ξ ἔχουσι, ποτὲ δὲ τὸ σ· καὶ ὅτε μὲν ἡ παραλήγουσα τοῦ ἐνεστῶτος συλλαβίζεται τῷ γ ἢ τῷ κ, τότε τὸ ξ ἔχει ὁ μέλλων· οἷον ῥήγνυμι ῥήξω, δείκνυμι δείξω· ὅτε δὲ ἡ παραλήγουσα οὐδέτερον τούτων ἔχει, ὁ μέλλων προσλαμβάνει τὸ σ· οἷον ἀμφιέννυμι ἀμφιέσω, κορέννυμι κορέσω. βέλτιον μέντοι καὶ ἰδιαίτερον ἀναλύοντας εἰς τὰ πρωτότυπα τῶν βαρυτόνων εὐθέως τοὺς μέλλοντας τῆς τετάρτης συζυγίας τῶν εἰς μι σχηματίζειν· οἷον δείκω δείξω, οὐ τὸ παράγωγον δεικνύω δείξω· ζεύγω ζεύξω· ἕω ἕσω, κορέω κορέσω.

Verba εἰς μι futura habere secundum Demetrium notandum.

## Σχηματισμὸς τῶν εἰς μι ἐνεργητικῶν προσώπων

### Πρόσωπα τῶν ὁριστικῶν.

Τούτων δὲ τῶν εἰς μι τὸ μὲν δεύτερον τῶν ἐνεργητικῶν τοῦ ὁριστικοῦ ἐνεστῶτος ἀπὸ τοῦ πρώτου γίνεται ἀφαιρέσει τοῦ ι καὶ τροπῇ τοῦ μ εἰς σ· τίθημι τίθης, ἵστημι ἵστης, δίδωμι δίδως, ζεύγνυμι ζεύγνυς. τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου προσλήψει τοῦ ι· τίθης τίθησι, δίδως δίδωσι. τὸ δὲ δεύτερον τῶν δυϊκῶν ἀπὸ τοῦ δευτέρου τῶν ἑνικῶν τροπῇ τοῦ μα

κροῦ φωνήεντος εἰς τὸ παραλῆγον φωνῆεν τῆς οἰκείας ἀρχῆς καὶ τοῦ σ εἰς τ καὶ προσθέσει τοῦ ον· οἷον τίθης τίθετον· ἵστης ἵστατον· δίδως δίδοτον· ζεύγνυς ζεύγνυτον. τὸ τρίτον ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ. τὸ δὲ πρῶτον τῶν πληθυντικῶν ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν τροπῇ τοῦ μακροῦ φωνήεντος ὡς εἴρηται εἰς τὸ παραλῆγον τῆς ἰδίας ἀρχῆς καὶ ἀμοιβῇ τῆς μι εἰς μεν· οἷον τίθημι τίθεμεν· ἵστημι ἵσταμεν· δίδωμι δίδομεν· ζεύγνυμι ζεύγνυμεν. τὸ δὲ δεύτερον ἀπὸ τοῦ δευτέρου τῶν δυϊκῶν τροπῇ τοῦ ον εἰς ε· τίθετον τίθετε. τὸ δὲ τρίτον ἀπὸ τοῦ τρίτου τῶν δυϊκῶν μεταβολῇ τῆς τον εἰς σι καὶ παρενθέσει τοῦ α· οἷον τίθετον τιθέασιν· ἵστατον ἱστάασιν καὶ κατὰ συναίρεσιν ἱστᾶσιν· δίδοτον διδόασιν. ἐπὶ δὲ τῆς τετάρτης συζυγίας τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ὁμοφωνεῖ τοῖς τῶν βαρυτόνων τρίτοις προσώποις· ζεύγνυτον ζευγνύουσιν. εὕρηται μέντοι καὶ ζευγνύασι. τὸ δὲ δεύτερον πρόσωπον τοῦ παρατατικοῦ καὶ ἀορίστου δευτέρου γίνεται τροπῇ τοῦ ν εἰς σ· ἐτίθην ἐτίθης· ἵστην ἵστης· ἐδίδων ἐδίδως· ἐζεύγνυν ἐζεύγνυς. τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου ἐκβολῇ τοῦ σ. τὸ δὲ δεύτερον καὶ τρίτον τῶν δυϊκῶν ὡς καὶ ἐπὶ τοῦ ἐνεστῶτος. ὁμοίως δὲ καὶ τὸ πρῶτον καὶ δεύτερον τῶν πληθυντικῶν. τὸ δὲ τρίτον ἀπὸ τοῦ τρίτου τῶν δυϊκῶν τροπῇ τῆς την εἰς σαν· οἷον ἐθέτην ἔθεσαν· ἱστάτην ἵστασαν.

*[margin:] ζευγνύουσι καὶ ζευγνύασι*

## Πρόσωπα τῶν προστακτικῶν.

Τῶν δὲ προστακτικῶν τὸ μὲν δεύτερον τῶν ἑνικῶν ἀπὸ τῆς μετοχικῆς γενικῆς ἐξαιρέσει τοῦ ν τῇ παραληγούσῃ, καὶ μεταποιήσει τῆς ἐσχάτης εἰς θι· οἷον τιθέντος τίθετι· ἱστάντος ἵσταθι· διδόντος δίδοθι· ζευγνύντος ζεύγνυθι. τὰ γὰρ προστακτικὰ τῶν εἰς μι ἐνεστώτων βραχεῖα θέλει παραλήγεσθαι. καθόλου δὲ πᾶσα γενικὴ διὰ τοῦ ντ κλινομένη εἰς θι ποιεῖ τὸ προστακτικόν. τὰ γε μὴν προστακτικὰ τῶν δευτέρων ἀορίστων τῆς πρώτης καὶ τρίτης συζυγίας καὶ ἀπὸ τοῦ δευτέρου προσώπου τῶν ὁμωνύμων τοῦ ὁριστικοῦ εἴη ἂν σχηματίσαι τροπῇ τοῦ μακροῦ φωνήεντος εἰς τὸ παραληκτικὸν τῆς οἰκείας ἀρχῆς· οἷον ἔθης θές· ἔδως δός· ἃ δὴ καὶ μᾶλλον ἐν χρήσει. τὸ γὰρ θέτι καὶ δόθι ἀντίκειται τῷ κανόνι τῷ λέγοντι τὰ

*[margin:] Regula quantitatis*

*[margin:] Regula declinatio*

*[margin:] θές. δός.*

*de optativo quartae coniugationis nullam facit mentionem quamvis meminerit subiunctivi. ipse tamen inflectens ζεύγνυμι optativum non ponit. forte noluit convellere auctoritatem technici qui optativum agnoscit. Moschopulus adicit omnino optativum et subiunctivum*



εἰς θι προστακτικὰ καὶ τὰ εἰς ναι ἀπαρέμφατα ἀορίστου ὄντα φύσει μακρὰ παραλήγεσθαι. διὸ καὶ στῆθι οὐ στάθι φαμὲν καὶ ἀνάβηθι οὐκ ἀνάβαθι. τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου τροπῇ τῆς θι εἰς τω· οἷον τίθετι τιθέτω· δίδοθι διδότω· στῆθι στήτω· δόθι ἢ δός δότω. τὰ δ᾽ ἄλλα ἀκολούθως ὡς τὰ τῶν βαρυτόνων.

*[margin:] στῆθι οὐ στάθι ἀνάβηθι οὐκ ἀνάβαθι*

## Πρόσωπα τῶν εὐκτικῶν.

Τῶν δὲ εὐκτικῶν τὸ μὲν πρῶτον πρόσωπον ἀπὸ τῆς γενικῆς τῶν ἰδίων μετοχῶν τροπῇ τῆς ἐσχάτης εἰς ην, καὶ ἐκβολῇ τοῦ ν καὶ προσθέσει τοῦ ι· οἷον τιθέντος τιθείην· ἱστάντος ἱσταίην· διδόντος διδοίην. τὰ δ᾽ ἄλλα πρόσωπα ὁμοίως τοῖς εὐκτικοῖς τῶν βαρυτόνων παθητικῶν ἀορίστων γίνεται.

## Πρόσωπα τῶν ὑποτακτικῶν.

Τῶν δὲ ὑποτακτικῶν τὸ μὲν πρῶτον ἀπὸ τοῦ ἰδίου πρωτοτύπου· οἷον τιθέω τιθῶ ἐὰν τιθῶ· ἱστάω ἱστῶ ἐὰν ἱστῶ· διδόω διδῶ ἐὰν διδῶ. τῆς δὲ τετάρτης οὐκ ἔστι ποιεῖν ὑποτακτικὸν διὰ τὴν ἐναντιότητα δυοῖν συμπιπτόντων κανόνων· ὧν ὁ μέν φησιν ὅτι τὰ ὑποτακτικὰ τῶν εἰς μι ὁμοφωνεῖν καὶ ὁμοτονεῖν θέλει τοῖς ἑαυτῶν πρωτοτύποις· ἅτερος δὲ ὅτι τὰ ἔχοντα εἰς σ ὀξύτονον τὴν μετοχὴν περισπώμενα ἔχειν ὀφείλει τὰ ὑποτακτικά. ἐνταῦθα οὖν τὸ μὲν πρωτότυπον βαρύτονον, ἡ δὲ μετοχὴ εἰς σ ὀξύτονος· διὸ καὶ ἐξέλιπε παντελῶς. τὸ δὲ δεύτερον τῆς μὲν πρώτης καὶ δευτέρας συζυγίας τῶν εἰς μι ἀπὸ τοῦ πρώτου γίνεται τροπῇ τοῦ ω εἰς ης· οἷον ἐὰν τιθῶ τιθῇς. τῆς δὲ τρίτης συζυγίας ἀπὸ τοῦ πρώτου προσθέσει μόνον τοῦ σ· ἐὰν διδῶ διδῷς. καὶ ὅλως ἐπὶ πάντων τῶν προσώπων ἐνταῦθα τὸ ω φυλάττεται· ἢ καὶ ἄλλως τῶν εἰς μι τὰ δεύτερα καὶ τρίτα πρόσωπα τῶν ὑποτακτικῶν τῆς μὲν πρώτης συζυγίας διὰ τοῦ η ἐκφέρονται, τῆς δὲ δευτέρας διὰ τοῦ α, τῆς δὲ τρίτης διὰ τοῦ ω μεγάλου.

*[margin:] Quarta in μι caret subiunctivo ob repugnantiam duarum regularum. de optativo nil statuit*

*[margin:] Regula declinatio*

## Σχηματισμὸς τῶν ἀπαρεμφάτων.

Τὰ δὲ ἀπαρέμφατα τῶν εἰς μι εἰς ναι λήγει καὶ ἀπὸ τοῦ πρώτου προσώπου γίνονται τῶν πληθυντικῶν τροπῇ τῆς μεν εἰς ναι· τίθεμεν τιθέναι· ἵσταμεν ἱστάναι· δίδομεν διδόναι· ζεύγνυμεν ζευγνύναι. ἢ καὶ ἄλλως πᾶσα μετοχὴ εἰς σ ὀξύτονος διὰ τοῦ ντ κλινομένη εἰς ναι ποιεῖ τὸ ἀπαρέμφατον. ση-

*[margin:] Regula declinatio*



*λ σεσημειώσθω μέντοι ὅτι τὰ τῶν προστακτικῶν τῶν εἰς ε καθαρὸν ληγόντων μεταποιοῦσι τοῦ ε εἰς θι κλίνεσθαι· οἷον ἴε ἴθι ἴτω· κλῦε κλῦθι κλύτω· ἵλαε ἵλαθι· δέδιε δέδιθι. ex correctione impressionis praefixa initio l.*

*Rª quantitatis*

μειωτέον μέντοι ὅτι τὰ μὲν τῶν ἐνεστώτων ἀπαρέμφατα συστέλλουσι τὴν παραλήγουσαν τὸ ἴδιον ἀρχικὸν φωνῆεν φυλάττοντα· οἷον τιθέω τίθεμαι· ἱστάω ἵσταμαι· διδόω δίδομαι· ζευγνύω ζεύγνυμαι. τῶν δὲ δευτέρων ἀορίστων ἐκτείνουσι τὴν παραλήγουσαν τῆς μὲν πρώτης προσλαμβάνοντα τὸ ι μετὰ τοῦ οἰκείου ἀρχικοῦ φωνήεντος· οἷον θεῖναι. τῆς δὲ τρίτης τὸ υ ψιλόν· οἷον δοῦναι. ταύτης δέ τινα ὥσπερ τῶν προστακτικῶν καὶ τῶν ἀπαρεμφάτων καὶ τὸ ω μέγα ἐν τῇ παραληγούσῃ μεταλαμβάνει· ὡς τὸ γνῶθι γνῶναι καὶ ἅλωθι ἁλῶναι. τῆς δὲ δευτέρας καὶ τετάρτης μηκυνομένου τοῦ φωνήεντος μόνου· οἷον στῆναι· φᾶναι· δῦναι.

*γνῶναι ἁλῶναι*

Σχηματισμὸς τῶν εἰς μι μετοχῶν.

Ὡσαύτως δὲ καὶ αἱ μετοχαὶ τῶν εἰς μι τῶν μὲν ἀρσενικῶν εἰς σ ὀξύτονον λήγουσαι τῆς μὲν πρώτης συζυγίας προσλαμβάνουσι τὸ ι μετὰ τοῦ ἰδίου ἀρχικοῦ φωνήεντος· οἷον ὁ τιθεὶς τοῦ τιθέντος· ὁ θεὶς τοῦ θέντος. τῆς δὲ τρίτης τὸ υ ψιλόν· οἷον ὁ διδοὺς τοῦ διδόντος· ὁ δοὺς τοῦ δόντος. τῆς δὲ δευτέρας καὶ τετάρτης τὸ φωνῆεν μόνον τῶν πρωτοτύπων ἐκτείνουσι μηδὲν ἕτερον προσλαμβάνουσαι· οἷον ὁ ἱστὰς τοῦ ἱστάντος· ὁ ζευγνὺς τοῦ ζευγνύντος. τῶν δὲ θηλυκῶν ἀπὸ τοῦ ἰδίου ἀρσενικοῦ γίνονται προσθέσει τοῦ α· οἷον ὁ τιθεὶς ἡ τιθεῖσα· ὁ ἱστὰς ἡ ἱστᾶσα· ὁ διδοὺς ἡ διδοῦσα· ὁ ζευγνὺς ἡ ζευγνῦσα. τῶν δὲ οὐδετέρων ἀπὸ τῆς γενικῆς τοῦ ἰδίου ἀρσενικοῦ ἐξαιρέσει τῆς τος· οἷον τοῦ τιθέντος τὸ τιθέν· τοῦ ἱστάντος τὸ ἱστάν· τοῦ διδόντος τὸ διδόν· τοῦ ζευγνύντος τὸ ζευγνύν.

Σχηματισμὸς τῶν εἰς μι παθητικῶν τοῦ ἐνεστῶτος.

Τῶν δὲ παθητικῶν τοῦ μὲν ἐνεστῶτος τὸ πρῶτον πρόσωπον γίνεται ἀπὸ τοῦ ἰδίου ἐνεργητικοῦ τροπῇ τῆς μι εἰς μαι· καὶ συστολῇ τῆς παραληγούσης εἰς τὸ ἴδιον ἀρκτικὸν φωνῆεν· οἷον τίθημι τίθεμαι· ἵστημι ἵσταμαι· δίδωμι δίδομαι· ζεύγνυμι ζεύγνυμαι. τὰ γὰρ εἰς μι ἐπὶ τῶν δυϊκῶν καὶ πληθυντικῶν συστέλλουσι τὴν παραλήγουσαν ὡς εἴρηται πλὴν τινῶν τῆς δευτέρας συζυγίας ἅπερ ἐπὶ τῶν δυϊκῶν καὶ πληθυντικῶν τῶν δευτέρων ἀορίστων φυλάττουσι τὴν παραλήγουσαν μακράν· οἷον ἔστητον ἔστημεν· καὶ ἔβητον ἔβημεν· ὧν δὴ καὶ τὰ

*ἔστητον. ἔστημεν*
*ἔβητον. ἔβημεν*

*καὶ παθητικῶν. ex correctione impressio.*

προστακτικὰ τῇ αὐτῇ μακρᾷ παραλήγεται ὡς εἴρηται· οἷον στῆθι στήτω βῆθι βήτω. τὸ δὲ δεύτερον ἀπὸ τοῦ πρώτου τροπῇ τῆς μαι εἰς σαι· οἷον τίθεμαι τίθεσαι καὶ τίθη· ἵσταμαι ἵστασαι καὶ ἵστη· ἐκβολῇ τοῦ σ καὶ κράσει τῶν φωνηέντων εἰς η ἐπὶ τῆς πρώτης καὶ δευτέρας συζυγίας· ἐπὶ γὰρ τοῦ δευτέρου προσώπου τῶν ἑνικῶν τῆς τρίτης καὶ τετάρτης συζυγίας οὐ γίνεται κρᾶσις· οἷον δίδομαι δίδοσαι· ζεύγνυμαι ζεύγνυσαι. τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου τροπῇ τοῦ σ εἰς τ· οἷον τίθεσαι τίθεται· ἵστασαι ἵσταται.

*στῆθι βῆθι*

Σχηματισμὸς τοῦ παρατατικοῦ.

Τοῦ δὲ παρατατικοῦ τὸ πρῶτον γίνεται ἀπὸ τοῦ ἰδίου ἐνεστῶτος τροπῇ τῆς μαι εἰς μην· τίθεμαι ἐτιθέμην· ἵσταμαι ἱστάμην· δίδομαι ἐδιδόμην· ζεύγνυμαι ἐζευγνύμην.

Σχηματισμὸς τοῦ δευτέρου ἀορίστου.

Τοῦ δὲ δευτέρου ἀορίστου ἀπὸ τοῦ συνδιαθέτου συστοίχου παρατατικοῦ ἐκβολῇ τῆς πρώτης συλλαβῆς τῆς κατὰ ἀναδιπλασιασμόν· ὡς καὶ ἐπὶ τῶν ἐνεργητικῶν εἴρηται· οἷον ἐτιθέμην ἐθέμην· ἐδιδόμην ἐδόμην. τὸ δὲ δεύτερον ἀπὸ τοῦ πρώτου ἀμοιβῇ τῆς ἐσχάτης συλλαβῆς εἰς σο· οἷον ἐτιθέμην ἐτίθεσο· ἱστάμην ἵστασο· ἐδιδόμην ἐδίδοσο· ἃ δὴ καὶ κατὰ κρᾶσιν ἐκφέρεται· οἷον ἐτίθου ἵστω ἐδίδου· πλὴν τῆς τετάρτης συζυγίας. τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου τροπῇ τοῦ σ εἰς τ· οἷον ἐτίθεσο ἐτίθετο· ἵστασο ἵστατο. τὰ δ᾽ ἄλλα πάντα ὁμοίως τοῖς τῶν παθητικῶν βαρυτόνων· πλὴν ἐπὶ τούτων τὸ ἴδιον ἀρχικὸν φωνῆεν διόλου φυλάττεται. λεκτέον δὲ ἔτι καὶ περὶ τόνου.

*ἐτίθεσο ἢ ἐτίθου*
*ἵστασο ἢ ἵστω*
*ἐδίδοσο ἢ ἐδίδου*

*De accētu uerborū*

Περὶ τόνου ῥημάτων. τόνος τῶν ὁριστικῶν.

Τῶν τοίνυν εἰς ω ληγόντων ῥημάτων ὁ ἐνεστὼς καὶ ὁ μέλλων πρῶτος παροξύνονται· οἷον τύπτω τύψω. ἐπεὶ καὶ τὰ περισπώμενα ἀπὸ βαρυτόνων συνῃρέθησαν. τά γε μὴν εἰς μι προπαροξύνονται· οἷον τίθημι ἵστημι· πλὴν τοῦ εἰμὶ φημὶ ὀξυνομένων· ὁ δὲ δεύτερος μέλλων καὶ ἔτι οἱ τῆς τετάρτης συζυγίας μέλλοντες περισπῶνται· οἷον τυπῶ ψαλῶ. τῶν δὲ παθητικῶν ὅ τε ἐνεστὼς καὶ οἱ μέλλοντες οἵ τε παθητικοὶ καὶ ὁ μέσος πρῶτος προπαροξύνονται· οἷον τύπτομαι τυφθήσομαι τύψομαι. οἱ μέντοι μέσοι δεύτεροι μέλλοντες καὶ οἱ τῆς τετάρτης συζυγίας προπερισπῶνται· οἷον τυποῦμαι ψαλοῦμαι. ὁ δὲ παρατα. ἐνερ. καὶ οἱ σύστοιχοι ἀόριστοι τῶν εἰς ω ῥημάτων τρισύλλαβοι μὲν ὄντες

προπαροξύνονται· οἷον ἔτυπον ἔτυψα ἔτυπον. δισύλλαβοι δὲ ἐπὶ τῆς παραληγούσης ἔχουσι τὸν τόνον ἐξ ἀνάγκης· οἷον ἧγον ἧψα εἶπον. τῶν γε μὴν εἰς μι παροξυτόνως ἐκφέρονται ἐτίθην ἐδίδων· οἱ δὲ παθητικοὶ καὶ μέσοι παροξύνονται· οἷον ἐτύφθην ἐτυψάμην ἐθέμην.

### Τόνος τοῦ παρακειμένου.

Καθόλου δὲ ὁ μὲν παρακείμενος προπαροξυτόνως ἐκφέρεται· ὁ δὲ ὑπερσυντέλικος παροξυτόνως· οἷον τέτυφα τέτυμμαι ἐτετύφειν ἐτετύμμην· τέθεικα ἐτεθείκειν· τέθειμαι ἐτεθείμην. τὰ δὲ ἄλλα πρόσωπα ἐπὶ τῆς αὐτῆς φυλάττει τὸν τόνον ἐφεξῆς καὶ τὰ πρῶτα τῶν ἑνικῶν· οἷον τύπτω τύπτεις τύπτετον τύπτομεν· τίθημι τίθης τίθετον τίθεμεν· εἰ μὴ τετρασυλλαβία ἡ ἡ λήγουσα εἴη μακρά· τότε γὰρ ἐπὶ τῆς ἑπομένης ὁ τόνος· οἷον τύπτομαι τυπτόμεθα ἐτύπτεσθον ἐτυπτέσθην.

### Τόνος τοῦ παθητικοῦ ὑπερσυντελίκου.

Ἐπὶ μέντοι τοῦ παθητικοῦ ὑπερσυντελίκου οὐκ ἐπὶ τῆς αὐτῆς ὁ τόνος διόλου· ἀλλ᾽ ἐπὶ μὲν τοῦ πρώτου τῶν ἑνικῶν ὁ τόνος ἐπὶ τῆς παραληγούσης· ἐπὶ δὲ τοῦ δευτέρου καὶ τρίτου τῶν τε ἑνικῶν καὶ τῶν πληθυντικῶν καὶ τοῦ δευτέρου τῶν δυϊκῶν ἐπὶ τῆς προπαραληγούσης· οἷον ἐτετύμμην ἐτέτυψο ἐτέτυπτο ἐτέτυφθον ἐτέτυφθε.

### Τόνος τῶν προστακτικῶν.

Τῶν δὲ ἄλλων ἐγκλίσεων τὰ μὲν προστακτικὰ τρισύλλαβα μὲν ὄντα προπαροξυτόνως, δισύλλαβα δὲ παροξυτόνως· οἷον τέτυφε τέτυψο· τύπτε τύψον. τίθετι ἵσταθι στῆθι δόθι· πλὴν τοῦ μέσου ἀορίστου δευτέρου· οὗτος γὰρ περισπᾶται· οἷον τυποῦ. ἐξαιρεῖται δὲ καὶ τὸ εἰπὲ ἐλθὲ εὑρέ· ὀξύνονται γάρ. ὁμοίως δὲ καὶ τὰ εἰς τον ἢ εἰς θον προστακτικὰ δεύτερα πρόσωπα τῶν δυϊκῶν καὶ τὰ εἰς τε ἢ εἰς θε δεύτερα τῶν πληθυντικῶν προπαροξύνονται εἰ μὴ δισυλλαβία εἴη· οἷον ἔλθετον ἔλθετε· τέτυφθον τέτυφθε τίθετον τίθετε.

τυποῦ
εἰπέ, ἐλθέ, εὑρέ

### Τόνος τῶν εὐκτικῶν.

Τῶν δὲ εὐκτικῶν τὰ μὲν ἐνεργητικὰ προπαροξυτόνως· οἷον τύπτοιμι τετύφοιμι· πλὴν τοῦ δευτέρου μέλλοντος· οὗτος γὰρ προπερισπωμένως· οἷον τυποῖμι. καὶ τὰ ἄλλα δὲ πρόσωπα ἐπὶ τῆς αὐτῆς φυλάττει τὸν τόνον ἢν μὴ ἡ λήγουσα μακρὰ οὖσα κωλύῃ· οἷον τύπτοιμι τύπτοις· τύπτοιτον τύπτοιμεν· τυποῖμι τυποῖς τυποῖτον τυποῖμεν.

τυποῖμι



### Τόνος τῶν εἰς μην καὶ εἰς ην παθητικῶν.

Τὰ δὲ παθητικὰ τά τε εἰς μην λήγοντα καὶ ὅλως τὰ εἰς ην παροξυτόνως· οἷον τυπτοίμην τυφθείην τιθείην. τὰ δὲ ἐκ τούτων πρόσωπα τῶν μὲν εἰς μην ληγόντων προπαροξυτόνως· οἷον τύπτοιο τυπτοίμεθον τύπτοιντο. τῶν δὲ εἰς ην ἐπὶ τῆς αὐτῆς φυλάττει τὸν τόνον· οἷον τυφθείην τυφθείης τυφθείητον τυφθείημεν. ὡσαύτως δὲ καὶ τὰ τοῦ μέσου δευτέρου μέλλοντος πρόσωπα ἐπὶ τῆς αὐτῆς τηροῦντα τὸν τόνον διόλου κλίνεται· οἷον τυποίμην τυποῖο τυποίμεθον τυποῖσθον τυποῖντο.

### Τόνος τῶν ὑποτακτικῶν.

Τῶν δὲ ὑποτακτικῶν τὰ μὲν ἐνεργητικὰ παροξύνονται· οἷον ἐὰν τύπτω ἐὰν τετύφω. τὰ δὲ παθητικὰ τὰ μὲν εἰς μαι λήγοντα προπαροξυτόνως ἐκφέρονται· οἷον ἐὰν τύπτωμαι ἐὰν τύψωμαι. οἱ δὲ παθητικοὶ ἀόριστοι εἰς ω λήγοντες περισπῶνται· οἷον ἐὰν τυφθῶ ἐὰν τυπῶ· ὧν γὰρ ἡ μετοχὴ εἰς ς ὀξύτονος διὰ τοῦ ντ κλινομένη, τούτων εἰς ω μετὰ περισπωμένου τόνου τὸ ὑποτακτικὸν ποιεῖ· ὡσαύτως καὶ τῶν εἰς μι ἐνεργητικῶν τὰ ὑποτακτικὰ κατὰ τὸν αὐτὸν λόγον περισπῶνται· οἷον ἐὰν τιθῶ ἐὰν ἱστῶ. τῶν δὲ παθητικῶν προπερισπῶνται· οἷον ἐὰν τιθῶμαι ἐὰν ἱστῶμαι. ἐξαιρεῖται τὸ ἐὰν δύνωμαι πρίωμαι κρέμωμαι ἐπίσωμαι προπαροξυνόμενα

Rª accent. [illegible]

δύνωμαι
πρίωμαι
κρέμωμαι
ἐπίσωμαι

### Τόνος τῶν ἀπαρεμφάτων.

Τῶν δὲ ἀπαρεμφάτων ὁ μὲν ἐνεστὼς καὶ ὁ μέλλων πρῶτος, ἔτι δὲ ὁ πρῶτος ἀόριστος τῶν ἐνεργητικῶν ἐπὶ τῆς παραληγούσης ἔχουσι τὸν τόνον· οἷον τύπτειν τύψειν τύψαι. ὁ δὲ δεύτερος ἀόριστος καὶ δεύτερος μέλλων οἳ δὴ καὶ συμπίπτουσιν περισπῶνται· οἷον τυπεῖν. τὰ δὲ εἰς θαι λήγοντα ἀπαρέμφατα ὁμοτονεῖ τῷ ἰδίῳ ὁριστικῷ· διὸ καὶ προπαροξύνονται· οἷον τύπτεσθαι τύψασθαι· πλὴν τοῦ παθητικοῦ παρακειμένου καὶ τοῦ μέσου ἀορίστου δευτέρου ἐφ᾽ ὧν ὁ τόνος καταβιβάζεται· οἷον τέτυπται τετύφθαι· ἐτύπετο τυπέσθαι. πᾶν δὲ ἀπαρέμφατον εἰς ναι λῆγον πρὸ μιᾶς συλλαβῆς ἔχει τὸν τόνον· οἷον τετυφέναι τυφθῆναι τιθέναι· πλὴν τῶν αἰολικῶν τοῦ φαγέμεναι καὶ πιέμεναι· ἃ γίνεται ἀπὸ τοῦ φαγεῖν καὶ πιεῖν καὶ τῶν ὁμοίων.

τετύφθαι
τυπέσθαι

*χιών / ἰών / ἐών — Praesē. tēpo.*

### Γένος τῶν μετοχῶν.

Αἱ δὲ μετοχαὶ τοῦ μὲν ἐνεστῶτος καὶ πρώτου μέλλοντος καὶ ἀορίστου πρώτου τῶν εἰς ω ἐνεργητικῶν παροξυτόνως ἐκφέρονται· ὁ τύπτων ὁ τύψων ὁ τύψας. πλὴν τοῦ κιὼν ἰὼν ἐὼν ὀξυτονουμένων ἀπὸ τοῦ κίω· ἴω· ἔω. τοῦ δὲ παρακειμένου καὶ ἀορίστου δευτέρου ὀξυτόνως· οἷον ὁ τετυφώς· ὁ τυπών. περισπωμένως δὲ τοῦ δευτέρου μέλλοντος· οἷον ὁ τυπῶν. αἱ γε μὴν εἰς μενος μετοχαὶ προπαροξύνονται· οἷον ὁ τυπτόμενος ὁ τυψάμενος. πλὴν τῆς τοῦ παθητικοῦ παρακειμένου· αὕτη γὰρ παροξύνεται· οἷον ὁ τετυμμένος. αἱ δὲ εἰς εἰς ὀξύνονται· οἷον ὁ τυφθείς ὁ τυπείς. καὶ ὅλως τῶν εἰς μι ἐνεργητικῶν· οἷον ὁ τιθείς. ὁ ἱστάς. ὁ διδούς. ὁ ζευγνύς. πᾶν γὰρ ῥῆμα εἰς ν λῆγον μετὰ φυσικῆς μακρᾶς μὴ ἔχον τὸ ν κλιτικὸν εἰς σ ὀξύτονον ποιεῖ τὴν μετοχήν.

*Ra decli. & accentu*

### Ποῖα τῶν ῥημάτων τῆς δευτέρας συζυγίας τῶν περισπωμένων φυλάττουσι τὸ α ἐπὶ τοῦ μέλλοντος.

Ῥητέον δὲ καὶ περὶ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ἐν τίσι τὸ α ἐπὶ τοῦ μέλλοντος φυλάττεται. τῆς γὰρ πρώτης καὶ τρίτης συζυγίας εἴρηται, ὅσα φυλάττουσιν ἐπὶ τοῦ μέλλοντος τὸ χαρακτηριστικὸν φωνῆεν τῆς ἰδίας αὐτῶν συζυγίας. τὰ τοίνυν ἔχοντα πρὸ τοῦ α τὸ ε ἢ τὸ ι φυλάττουσι τὸ α ἐπὶ τοῦ μέλλοντος· οἷον ἐάω ἐάσω. θεάω θεάσω. ἀνιάω ἀνιάσω. ἐρυθριάω ἐρυθριάσω. ἔτι τὰ ἔχοντα πρὸ τοῦ α τὸ ο μικρόν· οἷον ἀκροάω ἀκροάσω. πλὴν τοῦ βοάω βοήσω. ἀλοάω ἀλοήσω. ἔτι ἐν οἷς τὸ α συλλαβίζεται τῷ ρ ὑπὲρ δισυλλάβων μὴ προηγουμένου συμφώνου· οἷον περάω περάσω. φυράω φυράσω. γηράω γηράσω. ἔτι τὰ ἔχοντα τὸ ε ἢ τὸ ι πρὸ τοῦ λ συλλαβιζομένου τῷ α· οἷον ἐλάω ἐλάσω. γελάω γελάσω. ἱλάω ἱλάσω. ὁμοίως δὲ καὶ τὰ εἰς ρω ἢ εἰς λω δισύλλαβα μὴ ποιοῦντα παράγωγα εἰς μι· οἷον δράω δράσω. κλάω κλάσω. φλάω φλάσω. τὰ δ᾽ ἄλλως ἔχοντα τρέπει τὸ α εἰς η ἐπὶ τοῦ μέλλοντος· οἷον συλάω συλήσω. κραιπαλάω κραιπαλήσω. μελαγχολάω μελαγχολήσω. ὁμοκλάω ὁμοκλήσω. ποδαγράω ποδαγρήσω. ἀλάω ἀλήσω. πλὴν τοῦ χαλάω χαλάσω. ὡσαύτως δὲ καὶ

*Verba circū. 2. cō. quae seruant. a. in penul. fut. diligenter discussa*



ὀσμάω ὀσμήσω. κνάω κνήσω. ζάω ζήσω. νικάω νικήσω. κυβερνάω κυβερνήσω. τιμάω τιμήσω. ἡβάω ἡβήσω. τρυφάω τρυφήσω. τρυγάω τρυγήσω. διψάω διψήσω. σιγάω σιγήσω. σιωπάω σιωπήσω. σπάω μέντοι γε σπάσω.

### Περὶ ἀντωνυμίας.

*De Pronomine*

Ἀντωνυμία δέ ἐστι λέξις ἀντὶ ὀνόματος παραλαμβανομένη προσώπων ὡρισμένων δηλωτική. εἴδη δὲ ταύτης εἰσὶ πέντε. πρωτότυπος. κτητική. δεικτική. ἐπιταγματική ἥτις καὶ ἀναφορικὴ λέγεται καὶ σύνθετος. παρέπεται δὲ αὐτῇ γένη. ἀριθμοί. πτώσεις καὶ πρόσωπα. πρωτότυποι μὲν οὖν τρεῖς. ἐγώ. σύ. ὅς. κλίσεις δὲ τούτων αὗται.

*Species p̄nominū. 5.*

### Τοῦ πρώτου προσώπου.

Ἡ εὐθεῖα ἐγώ. ἡ γενικὴ ἐμοῦ. ἡ δοτικὴ ἐμοί. ἡ αἰτιατικὴ ἐμέ. ἡ εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυϊκῶν νῶϊ καὶ νώ. ἡ γενικὴ καὶ δοτικὴ νῶϊν καὶ νῷν. πληθυντικά. ἡ εὐθεῖα ἡμέες ἡμεῖς. ἡ γενικὴ ἡμέων ἡμῶν. ἡ δοτικὴ ἡμῖν μόνως. ἡ αἰτιατικὴ ἡμέας ἡμᾶς.

### Τοῦ δευτέρου προσώπου.

Σύ σοῦ σοί σέ. δυϊκά. σφῶϊ καὶ σφώ. σφῶϊν καὶ σφῷν. πληθυντικά. ὑμέες ὑμεῖς ὑμέων ὑμῶν ὑμῖν μόνως. ὑμέας ὑμᾶς.

### Τοῦ τρίτου προσώπου.

Ὅς ἄχρηστον ἐπὶ τῆς εὐθείας. οὗ οἷ ἕ. δυϊκὰ σφῶε καὶ σφέ. σφίν. σφέες σφεῖς σφέων σφῶν. σφίσι σφέας σφᾶς.

*ὅς. ἄχρηστον. nō dixit. i. cū technico & prodromo sed. ὅς*

Ἰστέον ὅτι αἱ πρωτότυποι ἀντωνυμίαι γένος οὐ διακρίνουσιν. ἐξαίρετον δὲ αὐτῶν ἐστιν ἡ ἀντιδιαστολὴ τῶν προσώπων ὅταν ὀρθοτονῶνται. οἷον ἐγὼ ἔγραψα. ἐμοῦ κατηγόρησας.

### Περὶ κτητικῶν.

Κτητικαὶ δὲ ἀπὸ τῶν πρωτοτύπων παραγόμεναι ὀκτώ. ἐμός σός ἑός νωΐτερος σφωΐτερος ἡμέτερος ὑμέτερος σφέτερος. ὧν δὴ ἑκάστη τριγενῶς λέγεται ἐμός ἐμή ἐμόν. νωΐτερος νωϊτέρα νωΐτερον. ὡς αἱ τῶν ὀνομάτων κλίσεις.

### Περὶ δεικτικῶν.

Δεικτικαὶ δὲ δύο τριγενῶς καὶ αὗται λεγόμεναι οὗτος αὕτη τοῦτο. ἐκεῖνος ἐκείνη ἐκεῖνο. κλίνονται δὲ οὕτως.

οὗτος τούτου τούτῳ τοῦτον ὦ οὗτος. δυϊκὰ τούτω τούτοιν ὦ τούτω. πληθυντικὰ οὗτοι τούτων τούτοις τούτους ὦ οὗτοι.

Θηλυκή.

αὕτη ταύτης ταύτῃ ταύτην ὦ αὕτη. δυϊκὰ ταύτα ταύταιν ὦ ταύτα. πληθυντικὰ αὗται τούτων ταύταις ταύτας ὦ αὗται.

Οὐδέτερα.

τοῦτο τούτου τούτῳ τοῦτο ὦ τοῦτο. δυϊκὰ τούτω τούτοιν ὦ τούτω. πληθυντικὰ ταῦτα τούτων τούτοις ταῦτα ὦ ταῦτα.

ἐκεῖνος ἐκείνη ἐκεῖνο· ὡς αἱ τῶν ὀνομάτων κλίνεται.

Ἰστέον δὲ ὅτι καὶ τὰ προτακτικὰ ἄρθρα προσλαμβάνοντα τὸν δὲ σύνδεσμον ποιοῦσιν ἀντωνυμίας δεικτικάς οὕτως· οἷον ὅδε ἥδε τόδε. αἳ δὴ καὶ τὸ ι ἐπὶ τέλει προσλαμβάνουσαι πρὸς πλείονα ἔνδειξιν ἐκφέρονται ὁδεὶ καὶ κατὰ συγκοπὴν ὁδὶ καὶ τοδὶ οὐδέτερον ὥσπερ ἀμέλει καὶ τό· οὗτος καὶ ἐκεῖνος προσλαμβάνουσι τὸ ι κατὰ τὸν αὐτὸν λόγον οἷον οὑτοσὶ τουτουὶ καὶ τουτοὶ τουτὶ κατὰ συγκοπήν.

ὁδε. ἡδε. τοδε
ὁδεὶ
ὁδί. τοδί p syncope
οὑτοσί
τουτουί. τουτί

Περὶ ἀναφορικῆς.

Ἀναφορικὴ δὲ μία τριγενῶς λεγομένη αὐτὸς αὐτὴ αὐτό. ἴδιον δὲ ταύτης ἡ τριπρόσωπος σημασία· αὐτὸς γὰρ ἀντὶ τοῦ ἐγὼ σὺ ἐκεῖνος.

Περὶ συνθέτων.

Σύνθετοι δὲ τρεῖς εὐθείας οὐκ ἔχουσαι οἷον ἐμαυτοῦ σαυτοῦ, ἑαυτοῦ λεγόμεναι τριγενῶς καὶ αἱ μὲν τοῦ πρώτου καὶ δευτέρου προσώπου ἑνικῶς μόνον κλίνονται ὧδε· ἐμαυτοῦ ἐμαυτῷ ἐμαυτόν· ἐμαυτῆς ἐμαυτῇ ἐμαυτήν· ἐμαυτοῦ ἐμαυτῷ ἐμαυτό. ὁμοίως δὲ καὶ σαυτοῦ. αἱ δὲ τοῦ τρίτου καὶ πληθυντικῶς κλίνονται οὕτως ἑαυτοῦ ἑαυτῷ ἑαυτόν· καὶ πληθυντικῶς ἑαυτῶν ἑαυτοῖς ἑαυτούς. αἳ δὴ καὶ διῃρημένως λέγονται σφῶν αὐτῶν σφίσιν αὐτοῖς σφᾶς αὐτούς.

Περὶ προθέσεων.

Πρόθεσις δέ ἐστι λέξις προτιθεμένη πάντων τῶν τοῦ λόγου μερῶν ἔν τε τῇ συνθέσει καὶ συντάξει. ἐν μὲν τῇ συνθέσει· οἷον καταφορὰ εἰσφορά. ἐν δὲ τῇ συντάξει· οἷον ἐπὶ



τὴν ἀττικὴν καὶ κατὰ τῆς ἀττικῆς. τούτων δὲ μονοσύλλαβοι μέν εἰσιν ἓξ ἐν εἰς ἧτις καὶ ἐς λέγεται ἀττικῶς ἐξ καὶ ἐκ. σὺν πρὸς πρό. δισύλλαβοι δὲ δύο καὶ δέκα· οἷον ἀνὰ κατὰ διὰ μετὰ παρὰ ἀντὶ ἐπὶ περὶ ἀμφὶ ἀπὸ ὑπὸ ὑπέρ.

Περὶ ἐπιρρήματος.

Ἐπίρρημα δέ ἐστι μέρος λόγου ἄκλιτον κατὰ ῥήματος λεγόμενον ἢ ἐπιλεγόμενον.

Χρόνου.

Τούτου δὲ τὰ μέν εἰσι χρόνου δηλωτικά· οἷον νῦν τότε αὖθις τέως ἕως πηνίκα ἡνίκα ἔπειτα μετέπειτα σήμερον αὔριον χθὲς ὃ καὶ ἐχθὲς λέγεται πάλαι ἀεί. αὖθις

Τόπου.

Τὰ δὲ τόπου οἷον ἄνω κάτω ἔξω εἴσω πόρρω ἐγγὺς ἐναντίον χαμαὶ ἔνθα ὅθεν ἐπέκεινα μακράν· τούτων δὲ τῶν τοπικῶν ἐπιρρημάτων σχέσεις εἰσὶ τρεῖς ἢ ἐν τόπῳ· οἷον οἴκοι ἢ εἰς τόπον οἷον οἴκαδε ἢ ἐκ τόπου οἷον οἴκοθεν.

Ποιότητος.

Τὰ δὲ ποιότητος οἷον εὖ καλῶς σοφῶς κυνηδὸν βοτρυδὸν ἀγεληδόν· ἃ δὴ καὶ μεσότητος εἶναι λέγονται.

Ποσότητος.

Τὰ δὲ ποσότητος οἷον ἅπαξ δὶς τρὶς πολλάκις ὀλιγάκις.

Ἀθροίσεως.

Τὰ δὲ ἀθροίσεως οἷον ἅμα ὁμοῦ συλλήβδην ἀθρόως.

Διαιρέσεως.

Τὰ δὲ διαιρέσεως· οἷον ἄνευ χωρὶς δίχη.

Ἐξαιρέσεως.

Τὰ δὲ ἐξαιρέσεως οἷον πλήν.

Τάξεως.

Τὰ δὲ τάξεως· οἷον ἑξῆς ἐφεξῆς εὐθὺς εὐθέως αὐτίκα παραχρῆμα.

Ὁμοιώσεως.

Τὰ δὲ ὁμοιώσεως οἷον ὡς ὥσπερ καθὰ καθάπερ.

Ἀποστάσεως.

Τὰ δὲ ἀποστάσεως οἷον ὥστε.

Συγκρίσεως.

Τὰ δὲ συγκρίσεως οἷον μᾶλλον ἧττον.

Ἐπιτάσεως.

Τὰ δὲ ἐπιτάσεως οἷον λίαν ἄγαν πάνυ μάλιστα σφόδρα.

ἀμέσεως.

Τὰ δὲ ἀμέσεως οἷον ἠρέμα ἡσυχῆ μόλις.

βεβαιώσεως

Τὰ δὲ βεβαιώσεως οἷον δηλαδή. δήπουθεν. πάντως. ὄντως

ἦ. κατωμόσεως.

Τὰ δὲ κατωμόσεως οἷον μὴ ναί. καταφάσεως.

Τὰ δὲ καταφάσεως οἷον ναί. ἀπωμόσεως.

Τὰ δὲ ἀπωμόσεως οἷον μά. ἀπαγορεύσεως.

Τὰ δὲ ἀπαγορεύσεως οἷον μὴ μηδαμῶς. ἀρνήσεως.

Τὰ δὲ ἀρνήσεως οἷον οὐ. οὐδαμῶς ἥκιστα. εἰκασμοῦ.

Τὰ δὲ εἰκασμοῦ. οἷον ἴσως τάχα τυχόν. ἐρωτήσεως.

Τὰ δὲ ἐρωτήσεως οἷον πόθεν ποῦ πηνίκα πῶς. δείξεως.

Τὰ δὲ δείξεως οἷον ἰδού ἠνί. κλήσεως.

Τὰ δὲ κλήσεως οἷον ὦ. διασαφήσεως.

Τὰ δὲ διασαφήσεως οἷον τουτέστιν. ἤγουν εἴτουν. θέσεως.

Τὰ δὲ θέσεως οἷον ἀναγνωστέον. γραπτέον. εὐχῆς.

Τὰ δὲ εὐχῆς οἷον εἴθε ὄφελον. σχετλιασμοῦ.

Τὰ δὲ σχετλιασμοῦ οἷον ἰού οἴμοι ὢ φεῦ. θαυμασμοῦ.

Τὰ δὲ θαυμασμοῦ οἷον ὢ φεῦ. ἐκπλήξεως.

Τὰ δὲ ἐκπλήξεως οἷον ὦ ἡράκλεις. θειασμοῦ.

Τὰ δὲ θειασμοῦ οἷον εὐοῖ εὐάν. παρέπεται δὲ αὐτῷ εἶδος καὶ σχῆμα. τὸ μὲν γὰρ πρωτότυπον οἷον νῦν. τὸ δὲ παράγωγον οἷον ἑτέρωθεν. καὶ τὸ μὲν ἁπλοῦν. οἷον πάλαι. τὸ δὲ σύνθετον. οἷον πρόπαλαι.

Περὶ συνδέσμου.

Σύνδεσμός ἐστι λέξις συνδέουσα τὰ ἄλλα μέρη τοῦ λόγου μετὰ διανοίας μετὰ τάξεως καὶ τὸ τῆς ἑρμηνείας κεχηνὸς πληροῦσα. συμπλεκτικοί.

Τῶν δὲ συνδέσμων οἱ μέν εἰσι συμπλεκτικοί. οἷον μὲν δέ τε καὶ ἀλλὰ ἀτάρ. διαζευκτικοί.

οἱ δὲ διαζευκτικοί. οἷον ἢ ἤτοι. συναπτικοί.

οἱ δὲ συναπτικοί. οἷον εἰ εἴπερ εἰ δὴ εἰ δήπερ.

παρασυναπτικοί.

οἱ δὲ παρασυναπτικοί. οἷον ἐπεί ἐπειδή. αἰτιολογικοί.

οἱ δὲ αἰτιολογικοί. οἷον ἵνα ὅπως γὰρ ὅτι διότι.

ὢ. φεῦ. σχετλιασμοῦ καὶ θαυμασμοῦ simul

οἱ δὲ ἀπορρηματικοί. οἷον ἆρα. εἶτα. μῶν. μή. οἱ δὲ συλλογιστικοί. οἷον ἄρα. ἀλλά. ἀλλὰ μήν. οὖν. τοίνυν. τοιγάρτοι τοιγαροῦν. οἱ δὲ παραπληρωματικοί. οἷον δή. πού. τοί. δῆτα. πέρ. πώ. μήν. ἄν. αὖ. οὖν. γε. οἱ δὲ δυνητικοί. οἷον ἄν. οἱ δὲ διακριτικοί εἴτουν ἐπιλεκτικοί. οἷον ἤ. οἱ δὲ ἐλαττωτικοί. οἷον γοῦν. γε. οἱ δὲ ἐναντιωματικοί. οἷον ὅμως καίτοι. καίπερ. ἔχει δὲ παρεπόμενον σχῆμα. ὁ μὲν γὰρ ἁπλοῦς. οἷον ἐπεί. ὁ δὲ σύνθετος. οἷον ἐπειδή.

μή dubitat. co

Περὶ τῶν παραγώγων εἰδῶν τοῦ ὀνόματος.

Ἐπεὶ δὲ ἱκανῶς εἴρηται περὶ τῶν ὀκτὼ τοῦ λόγου μερῶν λεκτέον ἂν εἴη καὶ περὶ τῶν παραγώγων εἰδῶν τοῦ ὀνόματος. ἔστι τοίνυν εἴδη τῶν παραγώγων ἑπτὰ πατρωνυμικὸν κτητικὸν συγκριτικὸν ὑπερθετικὸν ὑποκοριστικὸν παρώνυμον καὶ ῥηματικόν.

Περὶ πατρωνυμικοῦ.

Πατρωνυμικὸν μὲν οὖν ἐστιν ὄνομα κυρίως τὸ ἀπὸ πατρὸς ἐσχηματισμένον. οἷον πηλείδης ὁ τοῦ πηλέως υἱὸς ἀχιλλεύς καταχρηστικῶς δὲ καὶ ἀπὸ τοῦ πάππου λέγεται. οἷον αἰακίδης ὁ ἀχιλλεὺς ὁ τοῦ αἰακοῦ ἔγγονος. τούτου δὲ τῶν μὲν ἀρσενικῶν τρεῖς εἰσὶ καταλήξεις εἰς δης κοινή. οἷον πηλείδης. εἰς ίων ἰωνικῶς. οἷον πηλείων. εἰς άδιος. οἷον ὑράδιος. τὰ μὲν οὖν τῆς πρώτης κλίσεως εἰς αδης τὸ πατρωνυμικὸν σχηματίζουσιν οἷον αἰνείας αἰνείου αἰνειάδης ἱππότης ἱππότου ἱπποτάδης. ὁμοίως δὲ καὶ τὰ τῆς τρίτης κλίσεως εἰς ος λήγοντα καθαρὸν καὶ ἐν τῇ παραληγούσῃ τὸ ι ἔχοντα. οἷον ἥλιος ἡλίου ἡλιάδης τὰ δὲ τῆς πέμπτης εἰς ιδης. οἷον αἴας αἴαντος αἰαντίδης. ἀγαμέμνων ἀγαμέμνονος ἀγαμεμνονίδης. ὅσα δὲ ἀπὸ τῆς τρίτης κλίσεως τῶν συνῃρημένων σχηματίζεται καὶ συναίρεσιν ἐπιδέχεται. οἷον πηλεύς πηλέος πηλείδης καὶ κατὰ συναίρεσιν πηλείδης. ὁμοίως δὲ καὶ τὰ εἰς ος μὴ καθαρὸν λήγοντα τῆς τρίτης κλίσεως. οἷον κρόνος κρόνου κρονίδης. καὶ ἔτι τὰ εἰς ος καθαρὸν ἔχοντα ἐν τῇ παραληγούσῃ τὸ ο μικρόν. οἷον πάνθοος πανθόου πανθοΐδης καὶ κατὰ συναίρεσιν πανθοίδης. ὁμοίως δὲ καὶ τῶν θηλυκῶν τρεῖς εἰσι καταλήξεις εἰς ας εἰς ις καὶ εἰς νη. καὶ τὰ μὲν εἰς ας ἢ εἰς ις ἀπὸ τῶν ἰδίων ἀρσενικῶν σχηματίζεται ἐκβολῇ τοῦ δ η. οἷον ἡλιάδης ἡλιάς πριαμίδης πρι

ίδης. ίων. άδιος. Mascu

ας ις η foem

αμισ. τὰ δὲ εἰς νη ἀπὸ τῆς γενικῆς τῶν πρωτοτύπων. οἷον ἀ-
δράστου ἀδραστίνη. ἠετίωνος ἠετιώνη. καὶ εἰ μὲν τὸ πρωτότυ-
πον οὐ παραλήγεται τῷ ι εἰς ινη τὸ πατρωνυμικὸν ποιεῖ. οἷον
ἀδράστου ἀδραστίνη. ὠκεανοῦ ὠκεανίνη. εἰ δὲ ἔχει τὴν παραλή-
γουσαν διὰ τοῦ ι εἰς ωνη τὸ πατρωνυμικὸν σχηματίζεται. οἷ-
ον ἀκρισίου ἀκρισιώνη. ἰασίου ἰασιώνη.

Περὶ κτητικοῦ.

Κτητικὸν δέ ἐστι τὸ ὑπὸ τὴν κτῆσιν πεπτωκὸς ἐμπεριειλημμέ-
νου τοῦ κεκτημένου. οἷον πλατωνικὸν βιβλίον. δύο δὲ αὐτοῦ κα-
ταλήξεις εἰς κος. οἷον βασιλικὸς καὶ εἰς ος καθαρόν. οἷον ἀχίλ-
λειος. γίνεται δὲ ἀπὸ τῆς γενικῆς τοῦ πρωτοτύπου. οἷον πλάτω-
νος πλατωνικόν. ἀχιλλέως ἀχίλλειον. παραλήγεται δὲ τῶν μὲν εἰς
ος καθαρὸν πέντε. ἢ γὰρ τῷ ι παραλήγεται. οἷον σάμιος λόγιος
ἢ τῇ ει διφθόγγῳ. οἷον ἡράκλειος. ἢ τῇ αι. οἷον ῥωμαῖος. ἢ τῇ οι τῇ
διὰ τοῦ ο καὶ ι. οἷον παντοῖος ἀλλοῖος. ἢ τῷ ω μεγάλῳ. οἷον πα-
τρῷος. τῶν δὲ εἰς κος τρεῖς. ἢ γὰρ τῷ ι παραλήγεται. οἷον βασι-
λικός. ἢ τῷ α. οἷον δηλιακὸς κυπριακός. ἢ τῷ υ ψιλῷ. οἷον λι-
βυκὸς θηλυκόν.

Περὶ συγκριτικοῦ.

Συγκριτικὸν δέ ἐστι τὸ σύγκρισιν ἑνὸς πρὸς ἕνα ὁμοιογε-
νῆ ὡς ἀχιλλεὺς ἰσχυρότερος αἴαντος. ἢ ἑνὸς πρὸς πολ-
λοὺς ἑτερογενεῖς ὡς ἀχιλλεὺς ἰσχυρότερος τῶν τρώων.

Περὶ ὑπερθετικοῦ.

Ὑπερθετικὸν δὲ τὸ κατ᾽ ἐπίτασιν ἑνὸς πρὸς πολλοὺς ὁμοι-
ογενεῖς παραλαμβανόμενον ἐν συγκρίσει. οἷον ἕκτωρ ἀνδρει-
ότατος τῶν τρώων. εἰσὶ δὲ τοῦτε συγκριτικοῦ καὶ ὑπερ-
θετικοῦ καταλήξεις δύο. καὶ τοῦ μὲν συγκριτικοῦ εἰς ερος κοι-
νῶς καὶ εἰς ων ἀνωμάλως. τοῦ δὲ ὑπερθετικοῦ εἰς τατος
κοινῶς καὶ εἰς στος ἀνωμάλως. Τὰ μὲν οὖν εἰς ος λήγοντα
τῶν ἐπιθέτων τριγενῶν ὀνομάτων μεταβολῇ τοῦ σ εἰς τ
καὶ προσλήψει τοῦ ερος συγκριτικὰ γίνεται. οἷον ἔνδοξος ἐν-
δοξότερος. πρᾶος πραότερος. προσλήψει δὲ τοῦ ατος
ὑπερθετικά. οἷον ἔνδοξος ἐνδοξότατος. πρᾶος πραότα-
τος. πλὴν τοῦ καλὸς καλλίων κάλλιστος. κακὸς κακίων
κάκιστος. βελτίων βέλτιστος. ἀμείνων κρείττων ἄριστος. χεί-
ρων ἐλάττων ἥσσων μείων χείριστος ἐλάχιστος. μέγας μεί-
ζων μέγιστος. ῥάδιος ῥάων ῥᾷστος. ἐχθρὸς ἐχθίων ἔχθιστος.

αἰσχρὸς αἰσχίων αἴσχιστος. φίλος φίλτερος κατὰ συγκο-
πὴν φίλτατος. Τῶν δὲ εἰς ης διὰ τοῦ εος κλινομένων ἀ-
πὸ τοῦ ες οὐδετέρου τὸ συγκριτικὸν καὶ ὑπερθετικὸν σχη-
ματίζεται προσθέσει τοῦ τερος καὶ τατος. οἷον εὐγενὴς εὐ-
γενὲς εὐγενέστερος εὐγενέστατος. ἀληθὴς ἀληθὲς ἀληθέστε-
ρος ἀληθέστατος. ὁμοίως δὲ καὶ τὰ εἰς υς τριγενῆ διὰ
τοῦ υ ψιλοῦ γραφόμενα ἀπὸ τοῦ οὐδετέρου. οἷον βραχὺς
βραχὺ βραχύτερος βραχύτατος. πλὴν τοῦ πολὺς πλεί-
ων πλεῖστος. ἡδὺς ἡδίων ἥδιστος. ταχὺς ταχίων τάχιστος
τούτων δὲ τῶν εἰς υς ἔνια διπλοῦν ἔχει τὸ συγκριτικὸν καὶ
ὑπερθετικόν. οἷον τὸ ἡδὺς καὶ γλυκὺς καὶ ὠκὺς καὶ ταχύς
ἡδύτερος γὰρ ἡδύτατος καὶ ἡδίων ἥδιστος. γλυκὺς γλυ-
κύτερος γλυκύτατος καὶ γλυκίων γλύκιστος. ὠκὺς ὠκύ-
τερος ὠκύτατος καὶ ὠκίων ὤκιστος. ταχὺς ταχύτερος τα-
χύτατος καὶ ταχίων τάχιστος. ὁμοίως δὲ καὶ τὸ αἰσχρὸς
καὶ ἐχθρός. αἰσχρότερος γὰρ αἰσχρότατος καὶ αἰσχίων αἴσ-
χιστος. ἐχθρότερος ἐχθρότατος καὶ ἐχθίων ἔχθιστος. Τὰ δὲ
εἰς ων λήγοντα διὰ τοῦ εστερος καὶ εστατος ὡς ἐ-
πὶ τὸ πλεῖστον τὰ συγκριτικὰ καὶ ὑπερθετικὰ μετασχη-
ματίζεται ὧδε. οἷον σώφρων σώφρονος σωφρονέστερος σω-
φρονέστατος. χαρίεις χαρίεντος χαριέστερος χαριέστατος.
καὶ χωρὶς τοῦ ε εὔνους εὐνούστερος εὐνούστατος.

Ἰστέον δὲ ὅτι οὐ μόνον ἀπὸ ὀνομάτων τὰ συγκριτικὰ γί-
νεται ἀλλὰ καὶ ἀπὸ μετοχῶν. οἷον ἐρρωμένος ἐρρωμενέστε-
ρος. καὶ ἀπὸ προθέσεων πρότερος ὑπέρτερος. καὶ ἀπὸ ἐ-
πιρρημάτων. οἷον ἐγγύτερος πορρώτερος ἀνώτερος. συν-
τάσσεται δὲ γενικῇ μὲν πρὸς ἃ τὴν σύγκρισιν ἔχει οἷον ἀ-
χιλλεὺς ἰσχυρότερος αἴαντος. καὶ δοτικῇ σημαινούσῃ ὑ-
περβολήν. οἷον ὁ πέτρος ἐστὶ μείζων ἰωάννου δυσὶ δακτύ-
λοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς οτερος καὶ οτατος συγκριτικὰ καὶ ὑ-
περθετικὰ εἰ μὲν ἡ παραλήγουσα τοῦ θετικοῦ εἴη βραχεῖα
διὰ τοῦ ω μεγάλου γράφεται. οἷον φρόνιμος φρονιμώτε-
ρος φρονιμώτατος. εὔλογος εὐλογώτερος εὐλογώτατος
εἰ δὲ μακρὰ διὰ τοῦ ο μικροῦ. οἷον παλαιὸς παλαιότερος

παλαιότατος. πρᾶος πραότερος πραότατος.

## Περὶ ὑποκοριστικοῦ.

Ὑποκοριστικὸν δέ ἐστι τὸ μείωσιν τοῦ πρωτοτύπου ἀσυγκρίτως δηλοῦν. σχηματίζεται δὲ ἀπὸ κυρίων καὶ προσηγορικῶν. οἷον ἀπὸ μὲν τοῦ Ζηνόδωρος Ζηνᾶς. ἀπὸ δὲ τοῦ ἄνθρωπος ἀνθρωπίσκος. τούτου δὲ καταλήξεις εἰσὶ πλείους. καὶ τῶν μὲν ἀρσενικῶν εἰς σκος. οἷον ἀνθρωπίσκος. εἰς ας οἷον Ζηνᾶς μητρᾶς. εἰς αξ οἷον λίθαξ ῥόδαξ. εἰς λος οἷον ναυτίλος. εἰς ων οἷον Βάκχων ὁ Βακχυλίδης. εἰς ιων οἷον μωρίων. *Masc.* τῶν δὲ οὐδετέρων εἰς υλλιον οἷον μειρακύλλιον. εἰς υδριον οἷον λογύδριον. εἰς ιον οἷον ἀνθρώπιον. εἰς διον οἷον κρεάδιον. εἰς ριον οἷον ποάριον. εἰς υφιον οἷον ζωύφιον. εἰς χνιον οἷον πολύχνιον. τῶν δὲ θηλυκῶν καταλήξεις. εἰς ων. οἷον ὕψων ἡ ὑψηλή. εἰς νις. οἷον θεραπαινίς. εἰς κη. οἷον πεδίσκη. εἰς ις. οἷον νησίς.

## Περὶ παρωνύμου.

Παρώνυμον δέ ἐστι τὸ παρ' ὄνομα ποιηθέν. οἷον Θέων ἀπὸ τοῦ θεός. Τρύφων ἀπὸ τῆς τρυφῆς.

## Περὶ ῥηματικοῦ.

Ῥηματικὸν δὲ τὸ ἀπὸ ῥήματος παρηγμένον. οἷον Φιλήμων ἀπὸ τοῦ πεφίλημαι. νοήμων ἀπὸ τοῦ νενόημαι. *Neutra*

Ἐπεὶ δὲ εὕρηνται καί τινα τῶν ῥημάτων τὰ μὲν ἀνώμαλα. τὰ δὲ ἐλλειπτικά. τουτέστιν, οὐ κατὰ πάντας τοὺς χρόνους κλινόμενα. ᾠήθην δεῖν καὶ ταῦτα κατὰ στοιχεῖον ἐκθέσθαι.

## Περὶ τῶν ἀνωμάλων ῥημάτων.

*Anomala et defectiua uerba*

ἀρχὴ τοῦ α.

Ἄγαμαι. ὁ μέλλων ἀγάσομαι. ὁ ἀόριστος πρῶτος ἠγάσθην.

Ἄγω. ὁ μέλλων ἄξω. ὁ παρακείμενος ἀγήοχα ἀττικῶς. ὁ δεύτερος ἀόριστος ἤγαγον κατὰ ἀναδιπλασιασμόν.

*Foemin.* Ἄγνυμι. ὁ μέλλων ἄξω. ὁ μέσος παρακείμενος ἀττικῶς ἔαγα ἐξ οὗ τὸ κατέαγα. ὁ ἀόριστος πρῶτος ἔαξα ὅθεν τὸ κατέαξα.

Αἱρέω. ὁ μέλλων αἱρήσω. ὁ δεύτερος ἀόριστος εἷλον ἀπὸ τοῦ ἕλω ἀχρήστου.

Αἱρέομαι. ὁ μέλλων αἱρήσομαι. ὁ μέσος δεύτερος ἀόριστος εἱλόμην ἀπὸ τοῦ ἕλομαι ἀχρήστου. ὁ πρῶτος ἀόριστος ᾑρέθην. ἐκ δὲ τοῦ αἱροῦμαι σύγκειται τὸ ἀφαιροῦμαι ὑφαιροῦμαι καὶ τὰ παραπλήσια.

Αἰσθάνομαι. ὁ μέλλων αἰσθήσομαι. ὁ μέσος δεύτερος ἀόριστος ᾐσθόμην ἀπὸ τοῦ αἰσθέομαι ἀχρήστου.

Ἀλέξω. ὁ μέλλων ἀλεξήσω ἀπὸ τοῦ ἀλεξέω ἀχρήστου.

Ἁλίσκομαι. ὁ μέλλων ἁλώσομαι. ὁ δεύτερος ἀόριστος ἥλων ἥλως ἥλω. ὡς τὸ ἔδων ἔδως ἔδω καὶ ἑάλων ἀττικῶς ἀπὸ τοῦ ἁλόω ἅλωμι ἀχρήστου. ἡ μετοχὴ ὁ ἁλοὺς τοῦ ἁλόντος.

Ἁμαρτάνω. ὁ μέλλων ἁμαρτήσομαι. ὁ δεύτερος ἀόριστος ἥμαρτον ἀπὸ τοῦ ἁμαρτέω ἀχρήστου.

Ἀμφιέννυμι. ὁ μέλλων ἀμφιέσω. ὁ παθητικὸς παρακείμενος ἠμφίεσμαι ἀπὸ τοῦ ἀχρήστου.

Ἀναμιμνήσκω. ὁ μέλλων ἀναμνήσω. ὁ ἀόριστος ἐμνήσθην ἀπὸ τοῦ ἀναμνάω ἀχρήστου.

Ἀναίνομαι ὅθεν τὸ ἀπαναίνομαι. ὁ μέσος ἀόριστος πρῶτος ἠνηνάμην.

Ἀνοίγω. ὁ ἀόριστος πρῶτος ἀνέῳξα. ὁ μέσος παρακείμενος ἀνέῳγα. ὁ παθητικὸς παρακείμενος ἀνέῳγμαι. ὁ ἀόριστος πρῶτος ἀνεῴχθην.

Ἀναγινώσκω. ὁ μέλλων ἀναγνώσομαι. ὁ δεύτερος ἀόριστος ἀνέγνων ἀνέγνως ἀνέγνω ἀπὸ τοῦ ἀναγνόω ἀνάγνωμι ἀχρήστου.

Ἀπεχθάνομαι. ὁ μέλλων ἀπεχθήσομαι. ὁ μέσος δεύτερος ἀόριστος ἀπηχθόμην ἀπὸ τοῦ ἀπεχθέομαι ἀχρήστου.

Ἀποδιδράσκω. ὁ μέλλων ἀποδράσω. ὁ ἀόριστος πρῶτος ἀπέδρα ἀπὸ τοῦ ἀποδράω ἀχρήστου. ὁμοίως δὲ καὶ τὸ διαδιδράσκω.

Ἀπόχρη. ὁ μέλλων ἀποχρήσει ἀπὸ τοῦ ἀποχρέω ἀχρήστου.

Ἀπέχω. ὁ μέλλων ἀφέξω. ὁ δεύτερος ἀόριστος ἀπέσχον. ὁ παρακείμενος ἀπέσχηκα ἀπὸ τοῦ ἀποσχέω ἀχρήστου.

Ἀπόλλυμι. ὁ μέλλων ἀπολῶ ἀπὸ τοῦ ἀπόλλω καὶ ἀπολέ-

σω. ὁ παρακείμενος ἀπολώλεκα ἀττικῶς ἀπὸ τοῦ ἀπολέω ἀχρήστου. ὁ μέσος παρακείμενος ἀπόλωλα. ὁ μέσος δεύτερος ἀόριστος ἀπωλόμην ἀπὸ τοῦ ἀπόλλω ἀχρήστου.

¶ἀρέσκω. ὁ μέλλων ἀρέσω ἀπὸ τοῦ ἀρέω ἀχρήστου.

¶ἀφικνοῦμαι. ὁ μέλλων ἀφίξομαι. ὁ μέσος δεύτερος ἀόριστος ἀφικόμην ἀπὸ τοῦ ἀφίκομαι ἀχρήστου.

¶ἀφίπταμαι. ὁ μέλλων ἀποπτήσομαι. ὁ δεύτερος ἀόριστος ἀπέπτην ἀπὸ τοῦ ἀφιπτάω ἀχρήστου.

¶ἄχθομαι. ὁ μέλλων ἀχθέσομαι. ὁ ἀόριστος πρῶτος ἠχθέσθην ἀπὸ τοῦ ἀχθέομαι ἀχρήστου.

¶αὔξω καὶ αὐξάνω. ὁ μέλλων αὐξήσω ἀπὸ τοῦ αὐξέω ἀχρήστου.

¶ἀρχὴ τοῦ β.

¶βαίνω ὅθεν τὸ συμβαίνω ἀποβαίνω παραβαίνω καὶ τὰ ἄλλα τὰ ἐκ τούτου συγκείμενα. ὁ μέλλων βήσομαι. ὁ ἀόριστος πρῶτος ἔβην ἀπὸ τοῦ βάω βῆμι ἀχρήστου.

¶βάλλω. ὁ μέλλων βαλῶ. ὁ παρακείμενος βέβληκα ὁ κατὰ μετάθεσιν γίνεται καὶ τροπῇ τοῦ α εἰς η βέβλακα βέβληκα.

¶βλαστάνω. ὁ μέλλων βλαστήσω. ὁ δεύτερος ἀόριστος ἔβλαστον ἀπὸ τοῦ βλαστέω ἀχρήστου.

¶βιόω. ὁ μέλλων βιώσω. ὁ δεύτερος ἀόριστος ἐβίων ἐβίως ἐβίω. ἡ μετοχὴ ὁ βιοὺς παρὰ τὸ βιόω βίωμι ἀχρήστον.

¶βιβρώσκω. ὅθεν τὸ διαβιβρώσκω. ὁ μέλλων βρώσω ἀπὸ τοῦ βρόω ἀχρήστου.

¶βούλομαι. ὁ μέλλων βουλήσομαι ἀπὸ τοῦ βουλέομαι ἀχρήστου.

¶ἀρχὴ τοῦ γ.

¶γαμέω. ὁ μέλλων γαμήσω. ὁ ἀόριστος πρῶτος ἔγημα ἀπὸ τοῦ γήμω ἀχρήστου.

¶γηθέω. ὁ μέλλων γηθήσω. ὁ μέσος παρακείμενος γέγηθα.

¶γηράσκω. ὁ μέλλων γηράσω ἀπὸ τοῦ γηράω ἀχρήστου.

¶γίνομαι. ὁ μέλλων γενήσομαι. ὁ μέσος παρακείμενος γέγονα. ὁ μέσος δεύτερος ἀόριστος ἐγενόμην ἀπὸ τοῦ γένω ἀχρήστου γινώσκω ὅθεν τὸ καταγινώσκω καὶ ἀπογινώσκω. καὶ ἅμα.

¶γινώσκω καὶ τὰ παραπλήσια. ὁ μέλλων γνώσομαι. ὁ δεύτερος ἀόριστος ἔγνων ἔγνως ἔγνω ὡς εἴρηται ἀπὸ τοῦ γνόω γνῶμι. ἡ μετοχὴ ὁ γνοὺς τοῦ γνόντος.

γρηγορέω, ὁ μέλλων γρηγορήσω. ὁ μέσος παρακείμενος ἐγρήγορα.

¶ἀρχὴ τοῦ δ.

¶δαίω. ὁ παθητικὸς παρακείμενος δέδασμαι καὶ δέδαημαι. ὁ δεύτερος ἀόριστος ἐδάην ἀπὸ τοῦ δαέω ἀχρήστου.

¶δάκνω. ὁ μέλλων δήξω. ὁ δεύτερος ἀόριστος ἔδακον ἀπὸ τοῦ δήκω ἀχρήστου.

¶δεῖ ἀντὶ τοῦ πρέπει καὶ χρεία ἐστὶ οὗ ὁ μέλλων δεήσει.

¶δέω τὸ δεσμῶ. ὁ μέλλων δήσω. ὁ παθητικὸς παρακείμενος δέδεμαι. ὁ ἀόριστος πρῶτος ἐδέθην.

¶δέομαι τὸ παρακαλῶ καὶ τὸ χρήζω. ὁ μέλλων δεήσομαι. ὁ ἀόριστος πρῶτος ἐδεήθην ἀπὸ τοῦ δεέω ἀχρήστου.

¶δείδω τὸ φοβοῦμαι παρὰ μόνοις τοῖς ποιηταῖς ἐν χρήσει. ὁ μέλλων δείσω. ὁ παρακείμενος δέδοικα. ὁ μέσος παρακείμενος δέδια.

¶διδράσκω ὅθεν ἀποδιδράσκω καὶ διαδιδράσκω. ὁ μέλλων διαδράσω. ὁ ἀόριστος πρῶτος διέδραν ὡς εἴρηται. ἡ μετοχὴ ὁ διαδράς.

¶δοκέω. ὁ μέλλων δόξω ἀπὸ τοῦ δόκω ἀχρήστου.

¶δύω καὶ δῦμι. ὁ μέλλων δύσω. ὁ δεύτερος ἀόριστος ἔδυν ὅθεν τὸ κατέδυν καὶ ἀνέδυν.

¶δύναμαι. ὁ μέλλων δυνήσομαι.

¶ἀρχὴ τοῦ ε.

¶ἐγκαλέω. ὁ μέλλων ἐγκαλέσω. ὁ παρακείμενος ἐγκέκληκα εἴδω ἀχρήστον. ὁ μέλλων εἴσομαι καὶ εἰδήσω ἀπὸ τοῦ εἰδέω ἀχρήστου. ὁ μέσος παρακείμενος οἶδα. ὁ ὑπερσυντέλικος ᾔδειν.

¶ἔλπω ἀχρήστον. ὁ μέσος παρακείμενος ἔολπα παρὰ ποιηταῖς.

¶ἔρω ἀχρήστον. ὁ μέλλων ἐρῶ. ὁ παρακείμενος εἴρηκα ἀπὸ τοῦ ἐρέω ἀχρήστου.

¶εἴω τὸ πορεύομαι ἀχρήστον ἀφ᾽ οὗ ὁ μέσος παρακείμενος ἦα. ὁ ὑπερσυντέλικος ᾔειν ἐν χρήσει ὅθεν διεξῄειν.

¶ἔπω τὸ λέγω ἀχρήστον. ὁ ἀόριστος πρῶτος εἶπα καὶ ἡ μετοχὴ τούτου ὁ εἴπας. ὁ δεύτερος ἀόριστος εἶπον.

¶ ἔρχομαι· ὁ μέλλων ἐλεύσομαι· ὁ δεύτερος ἀόριστος ἦλθον κατὰ συγκοπὴν γινόμενος ἀπὸ τοῦ ἤλυθον· οὗτος δὲ ἀπὸ τοῦ ἐλεύθω ἀχρήστου.

¶ ἔρομαι· ὁ μέλλων ἐρήσομαι ἀπὸ τοῦ ἐρέομαι ἀχρήστου· ὁ δεύτερος ἀόριστος ἠρόμην.

¶ ἔρρω· ὁ μέλλων ἐρρήσω ἀπὸ τοῦ ἐρρέω ἀχρήστου.

¶ εὑρίσκω· ὁ μέλλων εὑρήσω· ὁ δεύτερος ἀόριστος εὗρον· ὁ παθητικὸς παρακείμενος εὕρημαι· ὁ ἀόριστος εὑρέθην ἀπὸ τοῦ εὑρέω ἀχρήστου.

¶ ἔδω τὸ ἐσθίω· ὁ παρακείμενος ἐδήδοκα.

¶ ἔχω· ὁ μέλλων ἕξω καὶ σχήσω· ὁ παρακείμενος ἔσχηκα· ὁ δεύτερος ἀόριστος ἔσχον ἀπὸ τοῦ σχέω ἀχρήστου· τὸ προστακτικὸν σχὲς καὶ ἐπίσχες· τὸ εὐκτικὸν σχοίην· ἀφ' οὗ τὸ κατίσχημαι· ὁ ἀόριστος κατισχέθην.

ἀρχὴ τοῦ ζ.

ζ. ¶ ζεύγνυμι· ὁ μέλλων ζεύξω.

¶ ζώννυμι· ὁ μέλλων ζώσω.

ἀρχὴ τοῦ η.

η. ¶ ὁ μέσος παρακείμενος ἧκα· ὁ ὑπερσυντέλικος ἥκειν ἀπὸ τοῦ ἕω τὸ πορεύομαι ἀχρήστου· ἤδειν ἀντὶ τοῦ ἐγίνωσκον ἀπὸ τοῦ εἰδέω ἀχρήστου.

ἀρχὴ τοῦ θ.

θ. ¶ θάπτω· ὁ μέλλων θάψω· ὁ δεύτερος ἀόριστος ἐτάφην.

¶ θέλω καὶ ἐθέλω· ὁ μέλλων θελήσω ἀπὸ τοῦ θελέω ἀχρήστου.

¶ θνήσκω· ὁ μέλλων θανοῦμαι· οὗ τὸ θέμα θάνω ἄχρηστον· ὁ παρακείμενος τέθνηκα· ὁ δεύτερος ἀόριστος ἔθανον ἀπὸ τοῦ θανέω ἀχρήστου· ὁ μέσος παρακείμενος τέθνηα· τὸ εὐκτικὸν τεθναίην· τὸ ἀπαρέμφατον τεθνάναι· ἡ μετοχὴ ὁ τεθνεώς.

ἀρχὴ τοῦ ι.

ι. ¶ ἱκνοῦμαι ὅθεν τὸ ἀφικνοῦμαι καὶ ἐφικνοῦμαι· ὁ μέλλων ἵξομαι· ὁ μέσος δεύτερος ἀόριστος ἱκόμην ἀπὸ τοῦ ἵκομαι ἀχρήστου.

¶ ἱλάσκομαι· ὁ μέλλων ἱλάσομαι ἀπὸ τοῦ ἱλάω ἀχρήστου.

¶ ἵπταμαι· ὅθεν τὸ ἀφίπταμαι καθίπταμαι· ὁ μέλλων πτήσομαι· ὁ δεύτερος ἀόριστος ἔπτην ἀπὸ τοῦ ἵπτάω ἵπτημι ἀχρήστου.

ἀρχὴ τοῦ κ.

ὁ μέσος ἔδηδα ὅθεν
παρ' Ὁμήρῳ τὸ κατα
τὰ … ἐδηδώς
ex correctione impr.

κ. ¶ καίω καὶ κάω ἀττικῶς· ὁ μέλλων καύσω· ὁ δεύτερος ἀόριστος ἐκάην.

¶ καθέζομαι· ὁ μέσος μέλλων δεύτερος καθεδοῦμαι.

¶ κάθημαι· ὁ μέλλων καθήσομαι.

¶ καθαιρέω· ὁ μέλλων καθαιρήσω· ὁ δεύτερος ἀόριστος καθεῖλον ἀπὸ τοῦ καθέλω ἀχρήστου.

¶ κάμνω· ὁ μέλλων καμοῦμαι· ὁ παρακείμενος κέκμηκα· ὁ δεύτερος ἀόριστος ἔκαμον.

¶ κλάζω· ὁ μέλλων κλάγξω ἀπὸ τοῦ κλάγγω ἀχρήστου· ὁ μέσος παρακείμενος κέκληγα.

¶ κλαίω καὶ κλάω· ὁ μέλλων κλαύσω καὶ κλαιήσω ἀπὸ τοῦ κλαιέω ἀχρήστου.

¶ καταδαρθάνω· ὁ μέλλων καταδαρθήσομαι· ὁ δεύτερος ἀόριστος κατέδαρθον ἀπὸ τοῦ καταδαρθέω ἀχρήστου. καταδαρθήσομαι

¶ καλέω· ὁ μέλλων καλέσω· ὁ παρακείμενος κέκληκα ἀπὸ τοῦ κεκάλεκα κέκαλκα κατὰ συγκοπὴν καὶ μετάθεσιν καὶ τροπὴν τοῦ α εἰς η κέκληκα.

¶ κεραννύω καὶ κεράννυμι· ὁ μέλλων κεράσω· ὁ παθητικὸς παρακείμενος κεκέραμαι καὶ κατὰ συγκοπὴν κέκραμαι.

¶ κορεννύω καὶ κορέννυμι· ὁ μέλλων κορέσω ἀπὸ τοῦ κορέω ἀχρήστου.

¶ κρέμαμαι· ὁ μέλλων κρεμάσω.

¶ κρύπτω· ὁ μέλλων κρύψω· ὁ δεύτερος ἀόριστος ἐκρύβην.

ἀρχὴ τοῦ λ.

λ. ¶ λαγχάνω· ὁ μέλλων λήξω· ὁ παρακείμενος εἴληχα· ὁ δεύτερος ἀόριστος ἔλαχον ἀπὸ τοῦ λήχω ἀχρήστου.

¶ λαμβάνω· ὁ μέλλων λήψομαι· ὁ παρακείμενος εἴληφα· ὁ δεύτερος ἀόριστος ἔλαβον ἀπὸ τοῦ λήβω ἀχρήστου.

¶ λανθάνω· ὁ μέλλων λήσω· ὁ μέσος παρακείμενος λέληθα· ὁ δεύτερος ἀόριστος ἔλαθον ἀπὸ τοῦ λήθω ἀχρήστου.

ἀρχὴ τοῦ μ.

μ. ¶ μαίνομαι· ὁ μέλλων μανοῦμαι· ὁ μέσος παρακείμενος μέμηνα· ὁ δεύτερος ἀόριστος ἐμάνην.

¶ μανθάνω· ὁ μέλλων μαθήσομαι ἀπὸ τοῦ μαθέω ἀχρήστου· ὁ δεύτερος ἀόριστος ἔμαθον ἀπὸ τοῦ μήθω ἀχρήστου.

μάχομαι. ὁ μέλλων μαχοῦμαι καὶ μαχέσομαι. ἀπὸ τοῦ μαχέομαι ἀχρήστου.

μείρω ἄχρηστον. ὁ μέσος παρακείμενος ἔμορε ποιητικόν. ὁ παθητικὸς παρακείμενος εἵμαρται.

μέλλω. ὁ μέλλων μελλήσω ἀπὸ τοῦ μελλέω ἀχρήστου. ὁ μέσος παρακείμενος μέμηλα ποιητικόν.

μέμνημαι παρὰ τὸ μνάω. ὁ ἀόριστος πρῶτος ἐμνήσθην.

μένω. ὁ μέλλων μενῶ. ὁ παρακείμενος μεμένηκα. ἀπὸ τοῦ μενέω ἀχρήστου.

μιγνύω καὶ μίγνυμι. ὁ μέλλων μίξω. ὁ δεύτερος ἀόριστος ἐμίγην. ἀπὸ τοῦ μίγω ἀχρήστου.

ἀρχὴ τοῦ ν.

μ

νέω. ὁ μέλλων νεύσω.

νέμω. ὁ μέλλων νεμῶ. ὁ παρακείμενος νενέμηκα παρενθέσει τοῦ η διὰ τὸ ἀσύντακτον τοῦ μ καὶ κ.

ἀρχὴ τοῦ ο.

ο

ὄζω. ὁ μέσος παρακείμενος ὄδωδα ἀττικῶς.

οἴχομαι. ὁ μέλλων οἰχήσομαι ἀπὸ τοῦ οἰχέομαι ἀχρήστου. ὁ μέσος δεύτερος ἀόριστος ᾠχόμην.

οἴομαι καὶ κατὰ συγκοπὴν οἶμαι. ὁ παρατατικὸς ᾠόμην καὶ κατὰ συγκοπὴν ᾤμην. ὁ μέλλων οἰήσομαι ἀπὸ τοῦ οἰέομαι ἀχρήστου. ὁ ἀόριστος δεύτερος ᾠήθην.

ὀμνύω καὶ ὄμνυμι. ὁ μέλλων ὀμόσω παρὰ τὸ ὀμόω ἀχρήστου. καὶ ὀμοῦμαι ἀπὸ τοῦ ὄμω ἀχρήστου. ὁ παρακείμενος ἀττικῶς ὀμώμοκα.

ὀφείλω. ὁ μέλλων ὀφειλήσω ἀπὸ τοῦ ὀφειλέω ἀχρήστου. καὶ ὀφλήσω κατὰ συγκοπήν. ὁ παρακείμενος ὤφληκα. ὁ δεύτερος ἀόριστος ὤφελον καὶ κατὰ συγκοπὴν ὦφλον.

ἀρχὴ τοῦ π.

π.

πάσχω. ὁ μέλλων πείσομαι. ὁ μέσος παρακείμενος πέπονθα ἀπὸ τοῦ πένθω ἀχρήστου. ὁ δεύτερος ἀόριστος ἔπαθον ἀπὸ τοῦ πήθω ἀχρήστου.

πέμπω. ὁ μέλλων πέμψω. ὁ παρακείμενος πέπομφα. ὁ πρῶτος ἀόριστος ἐπέμφθην.

πίπτω. ὁ μέλλων πεσοῦμαι. ὁ παρακείμενος πέπτωκα ἀ-



πὸ τοῦ πτόω ἀχρήστου. ὁ δεύτερος ἀόριστος ἔπεσον ἀπὸ τοῦ πέτω ἀχρήστου.

πεταννύω. ὁ μέλλων πετάσω. ὁ παρακείμενος πεπέτακα καὶ κατὰ συγκοπὴν πέπτακα. ὅθεν ὁ παθητικὸς παρακείμενος πέπταμαι ἀπὸ τοῦ πετάω ἀχρήστου.

πηγνύω καὶ πήγνυμι. ὁ μέλλων πήξω. ὁ μέσος παρακείμενος πέπηγα. ὁ δεύτερος ἀόριστος ἐπάγην.

πίνω πίομαι ἐπὶ τοῦ μέλλοντος. κἂν μὴ μέλλοντος σχηματισμὸν ἔχῃ. ὁ μέλλων πώσω. ὁ παρακείμενος πέπωκα. ὁ παθητικὸς πέπομαι ἀπὸ τοῦ πόω πῶμι ἀχρήστου. ὁ δεύτερος ἀόριστος ἔπιον.

πυνθάνομαι. ὁ μέλλων πεύσομαι. ὁ παρακείμενος πέπυσμαι. ὁ δεύτερος ἀόριστος ἐπυθόμην. ἀπὸ τοῦ πεύθομαι ἀχρήστου ἐν πεζῷ λόγῳ.

*(margin, in a later hand:)* καὶ τοῦ πεδόω κατὰ συγκοπὴν. καὶ τροπὴ τοῦ μέσου [illegible] τὸ πέπεδωκα πέπτωκα: ex correctione impress. in prin. l.

ἀρχὴ τοῦ ρ.

ρ.

ῥέω. ὁ μέλλων ῥεύσω καὶ ῥυήσω. ὁ παρακείμενος ἐρρύηκα. ὁ δεύτερος ἀόριστος ἐρρύην ἀπὸ τοῦ ῥυέω ἀχρήστου.

ῥηγνύω καὶ ῥήγνυμι. ὁ μέλλων ῥήξω. ὁ μέσος παρακείμενος ἔρρωγα. ὁ δεύτερος ἀόριστος ἐρράγην.

ῥωννύω καὶ ῥώννυμι. ὁ μέλλων ῥώσω. ὁ παρακείμενος ἔρρωμαι ἀπὸ τοῦ ῥόω ἀχρήστου.

ἀρχὴ τοῦ σ.

σ.

σβεννύω καὶ σβέννυμι. ὁ μέλλων σβέσω καὶ σβήσομαι. ὁ δεύτερος ἀόριστος ἔσβην ἀπὸ τοῦ σβέω σβῆμι ἀχρήστου.

σήπομαι. ὁ μέλλων σήψομαι. ὁ δεύτερος ἀόριστος ἐσάπην.

στρωννύω καὶ στρώννυμι. ὁ μέλλων στρώσω. ἀπὸ τοῦ στρόω ἀχρήστου.

στορεννύω καὶ στορέννυμι. ὁ μέλλων στορέσω ἀπὸ τοῦ στορέω ἀχρήστου.

σπένδω. ὁ μέλλων σπείσω ἀπὸ τοῦ σπένδω ἀχρήστου.

ἀρχὴ τοῦ τ.

τ.

τίκτω. ὁ μέλλων τέξω. ὁ μέσος παρακείμενος τέτοκα. ὁ δεύτερος ἀόριστος ἔτεκον ἀπὸ τοῦ τέκω ἀχρήστου.

τιτράω ὅθεν τὸ διατιτράω. ὁ μέλλων τρήσω ἀπὸ τοῦ τράω ἀχρήστου.

Τιτρώσκω· ὁ μέλλων τρώσω ἀπὸ τοῦ τρόω ἀχρήστου.
Τρέφω· ὁ μέλλων θρέψω πρὸς ἀντιδιαστολὴν τοῦ τρέψω· ὁ παρακείμενος τέθραμμαι· ὁ δεύτερος ἀόριστος ἐτράφην.
Τρέχω· ὁ μέλλων θρέξω καὶ δραμοῦμαι· ὁ παρακείμενος δὲ δεδράμηκα ἀπὸ τοῦ δραμέω ἀχρήστου· ὁ δεύτερος ἀόριστος ἔδραμον ἀπὸ τοῦ δρέμω ἀχρήστου.
Τρώγω καὶ ἐπὶ τοῦ μέλλοντος φάγομαι καίτοι μὴ ἔχον μέλλοντος σχηματισμόν· ὁ μέλλων φαγοῦμαι· ὁ δεύτερος ἀόριστος ἔφαγον ἀπὸ τοῦ φήγω ἀχρήστου.
Τυγχάνω· ὁ μέλλων τεύξομαι· ὁ παρακείμενος τετύχηκα ἀπὸ τοῦ τυχέω ἀχρήστου· ὁ δεύτερος ἀόριστος ἔτυχον ἀπὸ τοῦ τεύχω ἀχρήστου ἐν πεζῷ λόγῳ.

Ἀρχὴ τοῦ υ.

ῡ

Ὑπέχω· ὁ μέλλων ὑφέξω· ὁ δεύτερος ἀόριστος ὑπέσχον.
Ὑπισχνοῦμαι· ὁ μέλλων ὑποστήσομαι ἢ ὑποσχήσομαι· ὁ παρακείμενος ὑπέσχημαι· ὁ ἀόριστος πρῶτος ὑπισχέθην· ὁ μέσος ἀόριστος δεύτερος ὑπεσχόμην· ἀπὸ τοῦ ὑποσχέομαι ἀχρήστου.
Ὑποδύω· ὁ μέλλων ὑποδύσω· ὁ δεύτερος ἀόριστος ὑπέδυν ἀπὸ τοῦ ὑπόδυμι.

Ἀρχὴ τοῦ φ.

φ̄

Φαίνω· ὁ μέλλων φανῶ· ὁ μέσος παρακείμενος πέφηνα.
Φεύγω· ὁ μέλλων φεύξομαι καὶ φευξοῦμαι· ὁ μέσος παρακείμενος πέφευγα· ὁ δεύτερος ἀόριστος ἔφυγον.
Φέρω· ὁ μέλλων οἴσω ἀπὸ τοῦ οἴω ἀχρήστου· ὁ παρακείμενος ἐνήνοχα ἀπὸ τοῦ ἐνέγκω ἀχρήστου· ὁ ἀόριστος πρῶτος ἤνεγκα.
Φθάνω· ὁ μέλλων φθάσω· ὁ δεύτερος ἀόριστος ἔφθην ἀπὸ τοῦ φθάω φθῆμι ἀχρήστου.
Φθίνω· ὁ μέλλων φθίσω ἀπὸ τοῦ φθίω ἀχρήστου.
Φύω· ὁ μέλλων φύσω· ὁ δεύτερος ἀόριστος ἔφυν ἀπὸ τοῦ φῦμι.
Φρίττω· ὁ μέλλων φρίξω· ὁ μέσος παρακείμενος πέφρικα ἀπὸ τοῦ φρίκω ἀχρήστου.



Ἀρχὴ τοῦ χ.

χ̄

Χάσκω· ὁ μέλλων χανοῦμαι· ὁ μέσος παρακείμενος κέχηνα· ὁ δεύτερος ἀόριστος ἔχανον ἀπὸ τοῦ χαίνω ἀχρήστου.
Χαίρω· ὁ μέλλων χαιρήσω καὶ χαρήσομαι· ἀπὸ τοῦ χαρέω ἀχρήστου· ὁ δεύτερος ἀόριστος ἐχάρην.
Χέω· ὁ μέλλων χύσω· ὁ πρῶτος ἀόριστος ἔχεα· τὸ ἀπαρέμφατον χέαι.
Χωννύω καὶ χώννυμι· ὁ μέλλων χώσω· ἀπὸ τοῦ χόω ἀχρήστου.
Χρωννύω καὶ χρώννυμι· ὁ μέλλων χρώσω· ὁ παθητικὸς παρακείμενος κέχρωσμαι· ἀπὸ τοῦ χρώω ἀχρήστου.

Ἀρχὴ τοῦ ω.

ω̄

Ὠθέω· ὦ· ὁ μέλλων ὤσω· ἀπὸ τοῦ ὤθω ἀχρήστου· ὁ ἀόριστος πρῶτος ἔωσα· ὅθεν τὸ ἀπέωσα· ὁ παθητικὸς παρακείμενος ἔωσμαι.
Ὠνοῦμαι· ὁ παρατατικὸς ἐωνούμην· ὁ μέλλων ὠνήσομαι· ὁ παρακείμενος ἐώνημαι· ἡ μετοχὴ ὁ ἐωνημένος.

ναίρεσιν πηλείδης· ὁμοίως δὲ καὶ τὰ εἰς ος μὴ καθαρὸν λήγοντα τῆς τρίτης κλίσεως· οἷον κρόνος κρόνου κρονίδης· καὶ ἔτι τὰ εἰς ος καθαρὸν ἔχοντα ἐν τῇ παραληγούσῃ τὸ ο μικρόν· οἷον πάνθοος πανθόου πανθοΐδης καὶ κατὰ συναίρεσιν πανθοίδης· ὁμοίως δὲ καὶ τῶν θηλυκῶν τρεῖς εἰσι καταλήξεις· εἰς ας εἰς ις καὶ εἰς νη· καὶ τὰ μὲν εἰς ας ἢ εἰς ις ἀπὸ τῶν ἰδίων ἀρσενικῶν σχηματίζεται ἐκβολῇ τοῦ δη· οἷον ἡλιάδης ἡλιὰς πριαμίδης πριαμίς· τὰ δὲ εἰς νη ἀπὸ τῆς γενικῆς τῶν πρωτοτύπων· οἷον ἀδράστου ἀδραστίνη· ἠετίωνη. ἐξ ἥτις καὶ ἐκ λέγεται ἀεὶ γενικῇ συντάσσεται· οἷον ἐξ ἀγορᾶς ἐκ μεγάρων· σημαίνει δὲ κίνησιν ἔκτιμος· λέγεται δὲ καὶ ἐπὶ ὑλικοῦ αἰτίου· οἷον ἐκ τῶν τεσσάρων στοιχείων τὰ σώματα καὶ ἐξ ὑέλου ἥδε ἡ κύλιξ. δηλοῖ δὲ καὶ τὸ ὕστερον ὡς παρὰ σοφοκλεῖ· ἀλλ᾽ ἐκ τῶν δεδμάσω ταῦτα χρὴ κλύειν ἐμοῦ. ἐνίοτε δὲ καὶ τὸ ἕνεκεν ὡς παρὰ τῷ θεολόγῳ γνησίων ἐπειδὴ πεσόντας ἡμᾶς ἐκ τῆς ἁμαρτίας· ἤγουν διὰ τὴν

## Περὶ συντάξεως τῶν προθέσεων.

[Ἰ]στέον ὅτι αἱ προθέσεις προτίθενται πάντων τῶν τοῦ λόγου μερῶν ἢ κατὰ σύνθεσιν ἢ κατὰ παράθεσιν· κατὰ μὲν σύνθεσιν· οἷον σύνοικος πάροικος· κατὰ δὲ παράθεσιν· οἷον ἐπὶ τὴν ἀττικὴν καὶ κατὰ τῆς ἀττικῆς. καὶ σὺν τοῖς ῥήμασι μὲν ἀεὶ ἐν συνθέσει· οἷον καταγράφω προκαλοῦμαι. μετὰ δὲ ὀνομάτων ἢ ἀντωνυμιῶν κατὰ παράθεσιν θεωροῦνται. καὶ ὅτε μὲν συνάπτεται τοῖς ὀνόμασιν κατὰ παράθεσιν, οὐδέποτε ἐνθάδε ἡ κλητικὴ συντάσσεται ἀλλὰ ταῖς πλαγίαις μόνον. ὅτε δὲ κατὰ σύνθεσιν ἐστὶν ἐν πάσαις ταῖς πτώσεσιν εὑρίσκεται. οἷον σύνοικος συνοίκου ὦ σύνοικε. συντάσσεται τοίνυν κατὰ παράθεσιν ταῖς πλαγίαις οὕτως.

### ἐν.

ἐν

Ἡ μὲν ἐν ἀεὶ δοτικῇ· ἐν οἴκῳ· ἐν ἀγρῷ. καὶ γενικῇ δὲ ἀττικῶς κατ' ἔλλειψιν τῆς δοτικῆς· οἷον ἐν ᾅδου ἀντὶ τοῦ ἐν τῷ τόπῳ τοῦ ᾅδου. δηλοῖ δὲ σχέσιν ἔν τινι καὶ στάσιν. ἐνίοτε δὲ καὶ κίνησιν ἔν τινι οὐ μέντοι τὴν ἀπό τινος εἴς τι. καὶ χρόνον· οἷον ἐν τῷδε ἐπεστράτευσαν ἀχαιοί. καὶ θουκυδίδης· καὶ ἐν τούτῳ οἱ Κορίνθιοι τῆς Ποτιδαίας ἀφεστηκυίας. δηλοῖ καὶ τὸ ἐντὸς καὶ τὸ ἔσωθεν· οἷον ἐν οἴκῳ ἐν φυλακῇ. ἐν θαλάσσῃ. ἡ ἐν δὲ τῇ συνθέσει ὡσαύτως τὴν ἔν τινι πράγματι σχέσιν καὶ στάσιν· οἷον ἐμμένειν· ἐνέκυψεν· ἐντάττω· ἐγκρίνω· ἔνοπλος ἔμπληκτος. ἐνίοτε δὲ ἐναντίωσιν· οἷον ἐνίσταται καὶ ἐπίτασιν· οἷον ἔγκειται.

ἐν τῷδε ἐπεστράτευσαν ἀχαιοί

Thucydides

### εἰς.

εἰς

Ἡ εἰς ἥτις καὶ ἐς λέγεται αἰτιατικῇ συντάσσεται· εἰς ἀγορὰν εἰς ἐκκλησίαν. συντάσσεται δὲ παρ' ἀττικοῖς καὶ γενικῇ ἐλλειπτικῶς ὥσπερ καὶ ἡ ἐν· οἷον εἰς διδασκάλου. σημαίνει δὲ κίνησιν κυρίως ἀπό τινος εἴς τι ἄψυχον. ἐν δὲ τῇ συνθέσει τὴν εἰς ὡς σχέσιν· οἷον εἰσέρχομαι εἴσοδος. καὶ τὴν βιαίαν ἐπέλευσιν· οἷον εἰσβολὴ πυρετοῦ. εἰσπίπτει.

### ἐξ καὶ ἐκ.

ἐξ

Ἡ ἐξ ἥτις καὶ ἐκ λέγεται ἀεὶ γενικῇ συντάσσεται· οἷον ἐξ ἀγορᾶς ἐκ μεγάρων. σημαίνει δὲ κίνησιν ἔκ τινος. λέγεται δὲ καὶ ἐπὶ ὑλικοῦ αἰτίου· οἷον ἐκ τῶν τεσσάρων στοιχείων τὰ σώματα καὶ ἐξ ὑέλου ἥδε ἡ κύλιξ. δηλοῖ δὲ καὶ τὸ ὕστερον ὡς παρὰ σοφοκλεῖ· ἃ δ' ἐκ τῶν δεδράσω ταῦτα χρὴ κλύειν ἐμοῦ. ἐνίοτε δὲ καὶ τὸ ἕνεκεν ὡς παρὰ τῷ θεολόγῳ γρηγορίῳ ἐπειδὴ πεσόντας ἡμᾶς ἐκ τῆς ἁμαρτίας ἤγουν διὰ τὴν ἁμαρτίαν. ἐν δὲ τῇ συνθέσει δηλοῖ τὸ ἔξω· οἷον ἔκδημος ἐκβολή· ἔξωρος. καὶ τὴν εἰς μῆκος σχέσιν· οἷον ἐκτείνω ἔκτασις. ἔχει δὲ τὸ μὲν ξ φωνήεντος ἑπομένου· οἷον ἐξ οὐρανοῦ. τὸ δὲ κ συμφώνου ἐπαγομένου· οἷον ἐκ λακεδαίμονος.

Sophocles expo[sit]

Theologos

### σύν.

σύν

Ἡ σὺν ἥτις καὶ ξὺν λέγεται ἀττικῶς ἀεὶ δοτικῇ συντάσσεται· οἷον σὺν θεῷ· σὺν σοὶ ἀποθανοῦμαι. σημαίνει δὲ τὴν μετά τινος συναφὴν καὶ τὸ ὁμοῦ τι ποιεῖν. ὁμοίως δὲ καὶ ἐν συνθέσει· οἷον συνέμπορος συνέκδημος καὶ τὸ δι' ὅλου· οἷον συγκαλύπτει.

### πρός.

πρός

Ἡ δὲ πρὸς γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. καὶ γενικῇ μὲν ὅταν τὴν ἀπὸ προσώπου σημαίνει κίνησιν· οἷον πρὸς θεοῦ τἀγαθὰ ἀντὶ τοῦ παρὰ τοῦ θεοῦ. καὶ ὅταν ἐπὶ ὅρκου τεθῇ· οἷον ἧκε πρὸς θεοῦ. καὶ πρὸς θεῶν ὦ ἄνδρες δικασταὶ δότε μοι κοινὴν φωνήν. καὶ ὅτε τὸ ἐνώπιον δηλοῖ· οἷον πρός τε θεῶν μακάρων πρός τε θνητῶν ἀνθρώπων. καὶ ὅταν τὸ καθῆκον, ἢ τὸ ἴδιον δηλοῖ· οἷον οὐ πρὸς ἰατροῦ σοφοῦ θροεῖν ἐπῳδάς· ἀντὶ τοῦ οὐκ ἴδιον ἰατροῦ σοφοῦ. δοτικῇ δὲ ὅτε ἀντὶ τῆς σὺν νοεῖται· οἷον πρὸς τῇ περὶ λόγους σπουδῇ καὶ τὸ σωφρόνως ζῆν ἀσπάσασθαι· ἀντὶ τοῦ σὺν τῇ περὶ λόγους σπουδῇ. καὶ ὅτε τοῖς προειρημένοις ἕτερόν τι προστίθεται· οἷον πρὸς δὲ τούτοις καὶ ἄλλα ὧν εἶπον πλείω ποιήσειν ἐπηγγέλλετο. καὶ ἔτι ὅταν τὸ ἐγγύς τε καὶ παρακείμενον σημαίνῃ· οἷον πρὸς τοῖς ποσί. καὶ σχέσιν ἔν τινι· οἷον εἰμὶ πρὸς τῷδε καὶ πρὸς τῷ γράφειν ἦν. αἰτιατικῇ δὲ ὅτε κίνησιν πρὸς ἔμψυχόν τι δηλοῖ· οἷον πορεύομαι πρὸς τὸν ἄρχοντα. καὶ ὅτε τὸ ἕνεκα δηλοῖ· οἷον πρὸς ἀργύριον φθέγγεται ἀντὶ τοῦ

Homer

Sophocles in aiace

ἀργυρίου ἕνεκα. ὁμοίως δὲ καὶ ὅτε δηλοῖ τὸ ποιεῖν τι πρὸς ἕτερον ἀφορῶντα, ὡς πρὸς παράδειγμα. οἷον ᾄδει πρὸς αὐλόν. ἢ σχέσιν τινὰ καὶ λόγον. οἷον ὡς τὰ δύο πρὸς τὰ τέσσαρα, οὕτω καὶ τὰ τέσσαρα πρὸς τὰ ὀκτώ. ἐν δὲ τῇ συνθέσει ἐγγύτητα πρός τι δηλοῖ. οἷον προσέρχεται γάρ τις κακῶς πράττων ἀνήρ. καὶ καταφυγήν. οἷον προσφεύγω σοι. καὶ σχέσιν ἔν τινι. οἷον προσβάλλει ἡ ἀκτὶς τῷ ἀγάλματι. καὶ προσβαλοῦσι οἱ ὡς θνητῷ. δηλοῖ καὶ ἐλάττωσιν ἐνίοτε. ὡς ἐν τῷ προσψαύω, προσάπτομαι. ὃ δηλοῖ τὸ μὴ ἀκριβῶς ταῦτα ποιεῖν, ἀλλὰ πεφεισμένως, καὶ οἱονεὶ ἄκροις δακτύλοις.

## Πρό.

Ἡ δὲ πρὸ ἀεὶ γενικῇ, σημαίνουσα τὸ ἔμπροσθεν ἐπὶ τόπου, οἷον πρὸ τῆς θύρας. ἢ τὸ πρότερον ἐπὶ χρόνου. οἷον πρὸ τοῦ περσικοῦ πολέμου ἐγένετο ὁ τρωϊκός. λέγεται καὶ ἐπὶ ἀξίας, ὡς ἐν τῷ προὔργου. ὃ δηλοῖ τὸ ἐν προτιμήσει παντὸς ἄλλου ἔργου. ἐν δὲ τῇ συνθέσει δηλοῖ τὴν ἔμπροσθεν τινὸς ὁρμήν. οἷον προέρχομαι. ἢ στάσιν. οἷον προΐσταμαι, προασπίζω. ἃ κυρίως λέγεται ἐπὶ τῶν ἔμπροσθεν ἱσταμένων ἐν πολέμῳ καὶ βοηθούντων τοῖς ὄπισθεν. σημαίνει δὲ καὶ τὴν εἰς τοὐμφανὲς πρόοδον. ὡς ἐν τῷ προῆλθεν, ἀντὶ τοῦ ἐγεννήθη καὶ ἀντὶ τοῦ ἐξῆλθεν. ἐνίοτε δὲ περισσὴ κεῖται οὐδὲν πλέον δηλοῦσα, ὡς Εὐριπίδης· τὰς δεσποσύνους σκηνὰς προλιποῦσα.

## Ἀνά.

Ἡ ἀνὰ αἰτιατικῇ συντάσσεται. οἷον ἀνὰ πᾶσαν τὴν πόλιν, ἀντὶ τοῦ δι' ὅλης τῆς πόλεως. μετὰ δὲ ἀριθμοῦ κειμένη σημαίνει τὸν ἴσον μερισμόν. ἀνὰ ἑκατόν, ἀνὰ τριάκοντα. ἐν δὲ συνθέσει δηλοῖ τὸ ἄνω. οἷον ἀνέδραμεν, ἀνῆλθεν, ἀνέβη. καὶ τὴν εἰς τοὐπίσω ἐπιστροφὴν ἢ κάμψιν. ὡς ἐν τῷ ἀναστρέφω, ἀνακεφαλαιῶ. ἐνίοτε δὲ σημαίνει καὶ τὴν καθ' ἕκαστα τῶν μερῶν διερεύνησιν. οἷον ἀνατομή, ἡ εἰς ἕκαστα τῶν μερῶν τομή.

## Κατά.

Ἡ δὲ κατὰ γενικῇ καὶ αἰτιατικῇ συντάσσεται. καὶ γενικῇ μὲν ἐπὶ καταφορᾶς καὶ κατηγορίας. οἷον κατὰ Αἰσχίνου λόγος. ἐνίοτε δὲ καὶ τὸ κάτω δηλοῖ. οἷον καθ' ᾅδου, ἤγουν κάτω ἐν τῷ ᾅδῃ, καὶ κατὰ γῆς κολαστήρια, ἤγουν ὑπὸ γῆν κάτω. καὶ ὅτε τι νῦν λέγεται ὡς καθολικώτερα ἐπί τινων μερικωτέρων. οἷον τὸ ζῷον λέγεται κατὰ τοῦ ἀνθρώπου. καὶ τὸ εἶδος κατὰ τῶν ἀτόμων. καὶ ὅτε τὸ ὀπίσω δηλοῖ. ὡς Θουκυδίδης· κατὰ νώτου βοηθοῦντας ἐν μέσῳ ποιεῖν αὐτῶν τοὺς πολεμίους. σημαίνει δὲ καὶ τὸ ἐπάνω καὶ περί τι. οἷον οἱ παῖδες κατὰ ψάμμου ἀθύρουσι καὶ κατὰ γῆς κάθηνται. αἰτιατικῇ δὲ ὅταν ὁμοιότητα δηλοῖ. οἷον κατὰ Δημοσθένην γράφει καὶ καθ' Ὅμηρον. ἢ χρόνον. οἷον καθ' ἡμᾶς ἐγένετο ἀνὴρ σοφός. ἤγουν ἐν τοῖς ἡμετέροις χρόνοις. ἢ τὸ περί τι καὶ ἔν τινι. οἷον καθ' ὁδὸν ταῦτα ἐποίουν καὶ ἔμενον κατὰ χώραν. καὶ ὅτε τὸ εὐθὺ δηλοῖ. οἷον κατὰ σκοπὸν διώκω καὶ κατὰ σκοπὸν τρέχω. καὶ ἔτι μερισμόν. οἷον πολλοὺς λέγομεν ἐργάσασθαί τι καθ' ἕνα. καὶ ὅταν δόξαν τινὸς περί τινος δηλῶμεν. οἷον οὐκ ἀΐδιος ὁ οὐρανὸς κατὰ Πλάτωνα. τὸ δὲ κατὰ χώραν μένειν τὸ ἡσυχάζειν δηλοῖ. ἐν δὲ τῇ συνθέσει δηλοῖ πλείονα ἔμφασιν. οἷον κατεσθίω, καταπίνω. καὶ ὁρμὴν κατά τινος. οἷον καταδρομή, καταβοή. καὶ τὴν εἰς τὸ αὐτὸ ἐπιστροφήν. οἷον κάθοδος. καὶ τὴν εἰς τὸ κάτω σχέσιν. οἷον καταβολή, καταθέσθαι.

## Διά.

Ἡ διὰ γενικῇ καὶ αἰτιατικῇ συντάσσεται. καὶ γενικῇ μὲν ὅτε ἐνέργειαν δηλοῖ μεσιτεύοντός τινος. οἷον διὰ σοῦ ταῦτα ἄμεινον γένοιτο. καὶ διὰ Μωσέως ὁ νόμος ἐδόθη. δηλοῖ δὲ καὶ τὸ μέσον. οἷον ἐπορευόμην δι' ἀγορᾶς. αἰτιατικῇ δὲ αἰτίαν σημαίνει. οἷον διὰ σὲ ταῦτα γίνεται. ἐν δὲ τῇ συνθέσει μερισμὸν καὶ πλείονα ἔμφασιν. μερισμὸν μέν. οἷον διαίρεσις, διαστολή. πλείονα δὲ ἔμφασιν. οἷον διανίσταμαι, διεγείρομαι.

## Μετά.

Ἡ μετὰ γενικῇ καὶ αἰτιατικῇ συντάσσεται. καὶ γενικῇ μὲν ὅτε ἐπὶ ἑνώσεως τίθεται, ἢ τὸ ὁμοῦ σημαίνουσα. οἷον ἡδὺς μετὰ φίλων ὁ βίος. καὶ ὁ κύριος μετὰ σοῦ. αἰτιατικῇ δὲ ὅτε σημαίνει τὸ ὕστερον. οἷον μετὰ τὴν ἑορτὴν καὶ μετὰ Σωκράτην. ἐν δὲ τῇ συνθέσει ὑστεροχρονίαν δηλοῖ. οἷον μεταγενέστερος. καὶ τὴν ἀπὸ τόπου εἰς τόπον μετάβασιν. οἷον μέτοικος, μετανάστης. καὶ ὅλως τὴν ἀπό τινος εἰς ἕτερον μεταλλαγήν. οἷον μεθαρμόζω, μεταδιδάσκω. καὶ τὸ μέρος τι λαμ-

Η'

παρα

ἀπό. ἐκ. παρα. πρὸς > a D

βάνειν τινός· οἷον μετέσχον τοῦ ὕδατος. ἐνίοτε δὲ οὐ μέρος ἀλλὰ τὸ πᾶν λαμβάνειν· οἷον μετέλαβον τῆς εὐκόσμου καὶ μεταλαμβάνει τῆς ἐμῆς σαρκός.

¶ παρά.

¶ Ἡ παρὰ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται καὶ γενικῇ μὲν τὴν ἀπὸ προσώπου κίνησιν σημαίνουσα· οἷον παρὰ θεοῦ τἀγαθά. ἡ μὲν γὰρ ἀπὸ καὶ ἐκ τῇ ἀπὸ τόπου μάλιστα κινήσει οἰκεῖαι· ἡ δὲ παρὰ καὶ πρὸς τῇ ἀπὸ προσώπου. δοτικῇ δὲ ὅτε στάσιν δηλοῖ καὶ τὸ ἐγγύς· οἷον παρ' ἐμοὶ διατρίβει. αἰτιατικῇ δὲ ὅτε κίνησιν ἐπί τι· οἷον παρὰ σὲ ἦλθον. ἢ τὸ διά τι· οἷον παρὰ τὸ ἀδικεῖν ἡ τιμωρία. ἢ τὸ ἔξω σκοποῦ καὶ ἐπαγγελίας· οἷον παρὰ τὸν νόμον πράττει. καὶ παρὰ γνώμην συμβαίνει. ἐν δὲ ταῖς συνθέσεσι σύγκρισιν δηλοῖ· οἷον παραβάλλω παρεξετάζω. καὶ στάσιν ἢ τὸ ἐγγύς· ὡς ἐν τῷ πάρεστι παρίσταται. καὶ ἐλάττωσιν· οἷον παρὰ πολύ. καὶ τὸ ἔξω τινὸς γενέσθαι παρ' αὐτὸ ἐρχόμενον· οἷον παρέρχομαι παραμείβω. καὶ τὸ μετά τινος ποιεῖν τι ἢ πάσχειν· οἷον παραπολαύω ἀντὶ τοῦ συναπολαύω καὶ παραδυναστεύω ἀντὶ τοῦ συνάρχω. καὶ τὸ ἔξω τοῦ πρέποντος ποιεῖν· οἷον παραπαίω καὶ παραπόλλυμι τὸν αὐλὸν ἤγουν ἔξω τοῦ πρέποντος ἀναλίσκω. καὶ κίνησιν ἔστι καὶ ἐγγύτητα· ὡς τὸ παρέβαλεν ἐς Σικελίαν. καὶ παραβαλοῦ ἀντὶ τοῦ πλησίον ἐλθέ.

παρὰ πολύ. — παραβαλοῦ — Aristoph

¶ ἀντί.

¶ Ἡ ἀντὶ ἀεὶ γενικῇ συντάσσεται· οἷον ἀντὶ πολλῶν χρημάτων καὶ ἐν ἀνθ' ἑνὸς ὅπερ κεῖται ἐπὶ ἀμοιβῆς καὶ ἀντὶ καταλλαγῆς. δηλοῖ δὲ καὶ τὸ ἀνθ' ἑτέρου ὅπερ ὀφείλετο λαμβάνειν ἕτερον· οἷον ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλόν με. καὶ ὅτε εἰς τὸ τὸν ἄλλου τάττεται ἕτερον· ὡς τὸ ἡ δ' ἀντὶ πάντων ἐστί μοι παραψυχή. ἐν δὲ τῇ συνθέσει δηλοῖ τὸ ἴσον· ὡς τὸ ἀντίσταθμον τὸ ἰσόσταθμον. καὶ ἀντίρροπον παρὰ Σοφοκλεῖ τὸ ἰσόρροπον. καὶ τὸ ἐναντίον ἀντίθετον δόγμα. καὶ σύστασιν ἐνίοτε καὶ βοήθειαν ἢ ἰδιοποίησιν ὡς τὸ ἀντιλαμβάνομαι τῶν πραγμάτων καὶ ἀντιποιοῦμαι ἀρετῆς.

Demosth — Sophocles

¶ ἐπί.

ἐπί

¶ Ἡ δὲ ἐπὶ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται καὶ γενικῇ μὲν ὅτε στάσιν δηλοῖ ἐν τινὶ ἢ περί τι· οἷον ἐπὶ πολλῶν μάθοι τις ἂν τὰ λεγόμενα. καὶ χρόνον· οἷον ἐπὶ Κρόνου ἦσαν.

παραπόλλυμι τὸν ναῦλον
pdo naulū. furor est
post omnia pdere naulū



Η'

ἀντὶ τοῦ ἐν τῷ καιρῷ τοῦ Κρόνου. δηλοῖ δὲ καὶ τὴν ἐπάνω σχέσιν· οἷον ἐπὶ τῶν ὤμων ἀράμενος τὸν σταυρόν. καὶ ἐπὶ γῆς τὰ τετράποδα. δοτικῇ δὲ αἰτίαν σημαίνουσα ὡς ἐν τῷ ἐπὶ ἀγαθῷ ταῦτα ἐποίει. καὶ ἑταῖρε ἐφ' ᾧ πάρει· ἀντὶ τοῦ τίνος ἕνεκα. ἢ δύναμιν καὶ ἐξουσίαν· οἷον ἐπὶ τῷ βασιλεῖ τὰ τῶν ὑπηκόων. ἢ τὸ ὕστερον καὶ δευτέραν σχέσιν· οἷον ἐπὶ τούτοις πολλὰ ἕτερα διεξῄει. ἢ τὸ ἐπάνω· οἷον ἐπὶ κρηπῖδι ὁ τοῖχος ἕστηκεν ἰσχυρᾷ. αἰτιατικῇ δὲ ὅτε κίνησίν τινα σημαίνει ἢ τὴν κατά τινος ὁρμήν· οἷον ἐπὶ τὴν Ἀττικὴν ἐπορεύετο. καὶ ἐφ' ἡμᾶς οἱ πολέμιοι ὥρμηνται. ἐνίοτε δὲ καὶ μετὰ γενικῆς κίνησιν σημαίνει· οἷον ἐπ' οἴκου καὶ ἐπὶ τῆς χώρας. ἐν δὲ ταῖς συνθέσεσι δηλοῖ ἐπίτασιν· οἷον ἐπίψογος. καὶ ἀκολούθησιν ὡς ἐν τῷ ἔπωσις. ἄπωσις γὰρ λέγεται ὅτε ὠθεῖ τις ἀφ' ἑαυτοῦ τι. ἔπωσις δὲ ὅτε ὠθῶν ἕπεται. δηλοῖ δὲ καὶ στάσιν ἀπὸ κινήσεως ὡς ἐν τῷ ἐπέστη. καὶ πλεῖον ἔμφασιν· οἷον ἐπικρύπτω ἐπιδείκνυμι. καὶ τὴν ἐπί τινος θέσιν· οἷον ἐπίθεμα ἢ ἐπὶ ἄλλῳ τιθέμενον.

ἔπωσις > a D
ἄπωσις

¶ περί.

περί

¶ Ἡ δὲ περὶ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. καὶ γενικῇ μὲν ὅτε τὸ ἕνεκεν σημαίνει· οἷον μάχομαι περὶ τῶν καταλελειμμένων μοι κλήρων. καὶ περὶ ψυχῆς ὁ λόγος. δοτικῇ δὲ μόνως μετὰ τοῦ δέδοικα καὶ τῶν ἰσοδυναμούντων αὐτῷ· οἷον δέδοικα περὶ ξανθῷ Μενελάῳ. αἰτιατικῇ δὲ ὅτε τὸ κύκλῳ σημαίνει. καὶ περιποίησιν ἢ σύστασιν· οἷον περὶ τὴν πόλιν τὸ στράτευμα. καὶ ἕνα τῶν περὶ αὐτὸν σωματοφυλάκων. ἐνίοτε δὲ σημαίνει τὸ ἐγγύς· οἷον περί που τὴν Ἀλεξάνδρειαν. ἐν δὲ τῇ συνθέσει δηλοῖ τὴν κύκλῳ σχέσιν· ὡς ἐν τῷ περιδινεῖ περιστρέφει. καὶ τὸ κρεῖττον· οἷον περιεγένετο ὁ δῆμας τοῦ δῆμος· ἀντὶ τοῦ κρείττων ἐγένετο. καὶ πλήθους περιουσίαν· ὡς τὸ περίεστί μοι πλούτου. ἤγουν περιουσία καὶ πλῆθος ἐστί μοι πλούτου.

Homer

¶ ἀμφί.

ἀμφί

¶ Ἡ ἀμφὶ ἰσοδύναμός ἐστι τῇ περὶ μηδὲν ἕτερον διαλλάττουσα. πλὴν ὅτι ἡ μὲν περὶ παρὰ τοῖς κοινοῖς ἐν χρήσει. ἡ δὲ ἀμφὶ παρὰ τοῖς ποιηταῖς.

¶ ἀπό.

ἀπό

¶ Ἡ ἀπὸ ἀεὶ γενικῇ συντάσσεται· οἷον ἀπὸ Αἰγίνης ἀπὸ δικαίου ἀφ' ἑτέρου. ἐν δὲ τῇ συνθέσει δηλοῖ τὸ λαμβάνειν μέρος

ἀπό τινος καὶ κίνησιν ἀπὸ τόπου καὶ χωρισμόν· οἷον ἀπέχω, ἀφίσταμαι. λέγεται δὲ καὶ ἐπὶ τοῦ δίδοσθαί τι χρέος ἢ λαμβάνειν· οἷον ἀποδίδωμι, ἀπολαμβάνω. ἀπέχω τὰ τροφεῖα, ἀντὶ τοῦ ἀπολαβὼν ἔχω. ἀπὸ τούτου λέγεται καὶ ἐπὶ ἀπαντήσεως λόγου καὶ ἑρμηνείας· οἷον ἐρωτώμενος ἀποκρίνομαι, κατηγορούμενος ἀπολογοῦμαι. ἐνίοτε δὲ τὸ ὀλίγον καὶ πεφεισμένον· ὡς Θουκυδίδης, νεμόμενοί τε τὰ αὐτῶν ἕκαστοι ὅσον ἀποζῆν. ἔσθ' ὅτε ἀτονίαν· οἷον ἀπεῖπεν ἀλγεῖ καὶ ἀπαγορεύει τῷ κόπῳ. καὶ ἔν τισι μὲν ἄρνησιν· οἷον ἀπόφημι, ἀποφάσκω. καὶ στέρησιν· ἀπομανθάνω. ἔν τισι δὲ καὶ πλείονα ἔμφασιν· οἷον ἀπεργάζομαι. ποτὲ δὲ κεῖται οὐδὲν πλέον δηλοῦσα· ὡς ἐν τῷ ἀπισχυρίζεσθαι, ἀποδειλιᾶν.

ἀποκρίνομαι
ἀπολογοῦμαι
Thucydid
ἀποζῆν

Ὑπό.

Ἡ δὲ ὑπὸ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. καὶ γενικῇ μὲν ὅτε τὸ ποιητικὸν αἴτιον δηλοῖ· οἷον ὑπὸ θεοῦ πάντα παρήχθη, καὶ ἡττήθησαν οἱ Ἄραβες ὑπὸ τῶν Μήδων, καὶ τύπτομαι ὑπὸ σοῦ. καὶ ἔτι τὸ τοῦ ποιεῖν ἢ πάσχειν αἴτιον· οἷον οὐδὲν ὑπὸ πενίας ἀεργετῶ, καὶ ὑπὸ ἀναισθησίας ταῦτα πάσχει. δοτικῇ δὲ ὅτε τὴν ὑποκάτω σχέσιν δηλοῖ· οἷον ὑπὸ δένδρῳ κάθημαι. ἢ καθ' ὑποταγὴν καὶ διδασκαλίαν· οἷον ὑπὸ τῷ μεγάλῳ πατρὶ παργαμοῦται καὶ διαπλάττεται. καὶ αἰτιατικῇ δὲ συντασσομένη τὸ αὐτὸ δηλοῖ· οἷον ὑπὸ γῆν ὁ ἥλιος δύεισι, καὶ στρατιώτης ὢν ὑπὸ τὸν στρατηγὸν ἴσθι. ἐν δὲ τῇ συνθέσει ποτὲ μὲν δηλοῖ τὸ λάθρα· ὡς ἐν τῷ ὑφείλετο. ποτὲ δὲ ἐλάττωσιν· ὡς ἐν τῷ ὑποβέβηκε. καὶ μετριότητα· ὡς ἐν τῷ ὑπόχρυσον, τὸ μετρίως χρυσοῦν. ἐνίοτε δὲ περικοπήν τινα καὶ περιτροπήν· ὥστε ὑπέτεμεν, ὑπέκρουσεν, ὑπεσκέλισε.

Ὑπέρ.

Ἡ δὲ ὑπὲρ γενικῇ καὶ αἰτιατικῇ συντάσσεται. καὶ γενικῇ μὲν ὅτε βοήθειαν σημαίνει· οἷον ὑπὲρ ἡμῶν ὁ Χριστὸς ἀπέθανεν, καὶ ὑπὲρ Κτησιφῶντος ὁ λόγος. καὶ ὅτε αἰτίαν δηλοῖ· οἷον ὑπὲρ ὧν εἶπον πάλιν ἐρῶ. ἐνίοτε δὲ καὶ τὸ ἐπάνω σημαίνει· οἷον ὑπὲρ κατωμοῦ τίθησι τὸ πηδάλιον. αἰτιατικῇ δὲ ὅτε τὸ πλέον τε καὶ ἐπέκεινα δηλοῖ, καὶ ὅλως τὸ ὑπερκείμενον ἀποφέρεται· οἷον ὑπὲρ ἄνθρωπον φρονεῖ, καὶ ὑπὲρ τὴν Θρᾴκην ἡ Μακεδονία. καὶ ὑπὲρ ἄνθρωπόν τι ἐστὶν ὁ θεὸς εἰδέναι. καὶ ἐν τῇ συνθέσει δὲ τὰ αὐτὰ ταῦτα δηλοῖ· οἷον ὑπερέχειν τῆς κεφαλῆς τὴν χεῖρα, ἀντὶ τοῦ ἐπάνω τῆς κεφαλῆς ἔχειν. καὶ ὑπερμαχεῖν τινός, ἀντὶ τοῦ μάχεσθαι ὑπὲρ αὐτοῦ. καὶ ὑπερακοντίζειν, τὸ πλέον ἀκοντίζειν. ὁμοίως δὲ καὶ τὸ ὑπερούσιος, ὑπεράγαθος, ἃ ἐπὶ θεοῦ λέγεται, καὶ δηλοῖ τὸν θεὸν ὑπὲρ πᾶσαν οὐσίαν καὶ πᾶσαν ἐνέργειαν εἶναι.

Περὶ συνθέσεως τῶν προθέσεων.

Ἰστέον δὲ ὅτι αἱ προθέσεις συντιθέμεναι τοῖς ῥήμασιν, ἐνίοτε μὲν ὡς συλλαβαὶ κεῖνται, μηδὲν πλέον δηλοῦσαι τοῦ ῥήματος· ὡς ἐν τῷ ἐννέπω, καμμύω. ἐνίοτε δὲ μεταβάλλουσι τὸ ῥῆμα καὶ εἰς ἄκραν ἕνωσιν μίγνυνται αὐτῷ, μηδ' ἔπειτα αὐτοῦ χωριζόμεναι· ὡς μηκέτι χωριζομένων δηλοῦντος αὐτοῦ τι· ὡς ἐν τῷ καθαίρομαι, ἀντιβολῶ. ἐν οἷς καὶ αἱ αὐξήσεις κατὰ τὰς προθέσεις γίνονται ἐπὶ τῶν παρῳχημένων· οἷον ἤνεπον, ἐκάμμυον, ἐκαθαιρόμην, ἠντιβόλουν. ἐνίοτε δὲ ἐν συνθέσει τὴν ἰδίαν ἔτι φυλάττουσαι σημασίαν, τὴν αὐτῶν ἀπαιτοῦσι πτῶσιν, ὡς ἐπὶ τὸ πλεῖστον· οἷον κατηγορῶ σου, ἀφίστημί σου, ὑπερέχω σου, περιέρχομαι τὸ ἄστυ, παραινῶ σοι. καὶ εἰ μὲν τοῦ προθετικοῦ ἰδιώματος οὐκ ἀπολείπονται, τῇ οἰκείᾳ, ὡς ἔφαμεν, συντάττονται πτώσει. εἰ δὲ τὴν ποιότητα τοῦ ῥήματος ἐπιτείνουσι, τῇ τοῦ ῥήματος πτώσει, ὡς τὰ πολλὰ συντάττονται· οἷον κατέμαθε τὰ λεγόμενα, κατεῖπέ μοι.

Περὶ προθέσεων ἀναστροφῆς.

Ἀναστρέφονται δὲ αἱ μὲν μονοσύλλαβοι ἐν τῷ τέλει τῶν ἐπῶν· οἷον οὐ μέντοι κακὸς εἴδεται, οὐδὲ κακῶν ἔξ· καὶ ἦλθεν ἀργυρότοξος Ἀρτέμιδι ξύν. τῶν δὲ δισυλλάβων αἱ μὲν δίχρονοι ἔν τε τοῖς πεζοῖς καὶ ἐν τοῖς ἐμμέτροις, πλὴν τῆς διὰ καὶ ἀνά· ἵνα μὴ συνεμπέσῃ ἡ μὲν τῇ Δία αἰτιατικῇ, ἡ δὲ τῇ ἄνα κλητικῇ· ὡς τὸ ἄνα Λητοῦς γε. ἀνάγκη γὰρ τὰς ἀναστρεφομένας τῶν προθέσεων ὀρθεῖαι τάσει ἐπὶ τῆς παραληγούσης ὀρθοτονεῖσθαι. αἱ δὲ τρίχρονοι οὐκ ἀναστρέφονται· οἷον ἥ τε ἀμφὶ καὶ ἡ ἀντί. ὅθεν οὐδὲ αἱ τῷ ι πλεονάζουσαι· οἷον καταί, παραί, ὑπαί. ἡ δὲ ἐν προσλαβοῦσα τὸ ι καὶ γενομένη ἐνὶ καὶ δισυλλαβήσασα καὶ διχρονήσασα ἀναστρέφεται· οἷον ἡμετέρῳ ἐνὶ οἴκῳ καὶ

Nota regulã

ἐνί

ὀρθεῖα τάσει

ὀρθοτονεῖσθαι

ὦ ἐμῇ κούρῃ κοιμᾶται. ἐνίοτε δὲ αἱ δισύλλαβοι καὶ διχρονοῦσαι οὐκ ἀναστρέφονται. ἐὰν γὰρ μεταξὺ πέσοιεν ὀνόματος καὶ ῥήματος ἢ μετοχῆς οὐκ ἀναστρέφονται. οἷον Ἰθάκην κατακοιρανέουσιν. καὶ ἄμφι δὲ Πατρόκλῳ περικείμενον. ἐὰν δὲ μεταξὺ πέσῃ δυοῖν ὀνομάτων τοῦ μὲν κυρίου τοῦ δὲ προσηγορικοῦ ἢ ἐπιθετικοῦ ἀναστρέφεται δηλονότι τὴν πρόθεσιν ἵνα τῆς ὅλης συντάξεως προηγήσηται. οἷον ποταμοῦ ἄπο Σελλήεντος. καὶ Ξάνθῳ ἔπι δινήεντι. καὶ μάχῃ ἔνι κυδιανείρῃ. ὡσαύτως δὲ κἂν μεταξὺ πέσῃ δυοῖν κυρίων ἢ δύο προσηγορικῶν. συνδέσμου μετὰ τὴν πρόθεσιν παραλαμβανομένου ἀναστρέφεται. οἷον νηῶν ἄπο καὶ κλισιάων. καὶ ἀγαμέμνονος πέρι καὶ ἀχιλλέως. κἂν μεταξὺ μὲν ἐμπίπτῃ. ὑποτάττηται δὲ οὗπερ ἐχρῆν προηγεῖσθαι μηδενὸς ἑτέρου μέρους λόγου μεσοσυλλαβήσαντος πάλιν ἀναστρέφεται. οἷον ὦ ἔπι πόλλ' ἐμόγησα. καὶ Ἰθάκῃ ἔνι οἰκία ναίων. θεῶν ἄπο μήδεα εἰδώς. ἐὰν δὲ μεταξὺ τῆς προθέσεως καὶ τοῦ ῥήματος ἢ τοῦ ὀνόματος πρὸς ὃ ἡ πρόθεσις, μέρος λόγου ἕτερον παρεμπίπτῃ οὐκ ἀναστρέφεται. οἷον τῷ δ' ἔπι Τυδείδης ὦρτο. ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος. ἐὰν μέντοι εἴη ἐπὶ τέλει τοῦ ἔπους ἢ ἁπλῶς ἐν τέλει νοήματος μεθ' ἣν τίθεται στιγμὴ ἀναστρέφεται καὶ μεσοσυλλαβοῦντός του. οἷον πάντων δ' ἔπλυσε πολὺ κάτα. ἤγουν κατέπλυσεν. αἱ δὲ παθοῦσαι ἔκθλιψιν τοῦ φωνήεντος ἀναστρέφονται. ἐὰν μὴ στιγμὴ ἐπιφέροιτο ἢ κινδυνεύοι τὸ σημαινόμενον λυμαίνεσθαι ὡς ἐν τῷ στεῦτο δ' ἄρ' Ἡφαίστοιο πάροισ' ἔμεν ὅπλα. καὶ ταυτὶ μὲν ὡς ἐν βραχεῖ περὶ τῆς τῶν προθέσεων συντάξεως εἰρήσθω.

ΤΕΛΟΣ.

60

Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ μανουὴλ τοῦ μοσχοπούλου διορθωθέντων ἐρωτημάτων.

περὶ προσῳδιῶν.

Τί ἐστι προσῳδία. ποιὰ τάσις ἐγγραμμάτου φωνῆς ὑγιοῦς κατὰ τὸ ἀπαγγελτικὸν τῆς λέξεως ἐκφερομένη, μετά τινος τῶν συνεζευγμένων περὶ μίαν συλλαβήν. ἤτοι κατὰ συνήθειαν διαλέκτου ὁμολογουμένη. ἤτοι κατὰ τὸν ἀναλογητικὸν ὅρον καὶ λόγον. Πόθεν προσῳδία. παρὰ τὴν πρὸς πρόθεσιν καὶ τὸ ᾠδή. τὸ δὲ ᾠδὴ παρὰ τὸ ἀοιδή, ὅπερ ἐστὶ ποιητικὸν κατὰ κρᾶσιν τοῦ α ο εἰς ω μέγα, μένοντος καὶ τοῦ ι προσγεγραμμένου. τὸ δὲ ἀοιδὴ παρὰ τὸ ἀείδω τὸ ἐμμελῶς λέγω, καὶ τοῦτο ποιητικόν. λέγεται δὲ παρὰ τοῖς κοινοῖς ᾄδω. Τὸ πρὸς μικρόν. πᾶσα πρόθεσις βραχυκατάληκτος, πλὴν τῆς εἰς καὶ ἐξ. αἵτινες καὶ ἐς καὶ ἐκ λέγονται. τὸ ω μέγα. τὰ παρὰ τὴν ᾠδὴν γινόμενα ἅπαντα διὰ τοῦ ω μεγάλου γράφονται. οἷον ὑμνῳδία, τραγῳδία, ψαλμῳδία καὶ ἔτι ὅμοιον. τὰ δὲ παρὰ τὴν ὁδὸν διὰ τοῦ ο μικροῦ. οἷον ἔσοδος, πρόσοδος. Τὸ δὲ ι. τίνα διὰ τοῦ ια παροξύτονα θηλυκὰ διὰ τοῦ ι γράφονται. ταῦτα· κοιλία, καρδία, σωτηρία, προσῳδία καὶ ἕτερα. τίνα διὰ τῆς ει διφθόγγου. ταῦτα· θεῖα, χρεῖα, μνεῖα, ὑγεῖα, καὶ σιτοδεῖα. σιτοδεία δὲ ε ι. Τὸ δὲ ι βραχὺ καὶ τὸ α μακρόν. τὰ διὰ τοῦ ια παροξύτονα θηλυκὰ διὰ τοῦ ι γραφόμενα ἐκτείνει μὲν τὸ ἄλφα, συστέλλει δὲ τὸ ι. Πόσαι προσῳδίαι; δέκα. ὀξεῖα ´ βαρεῖα ` περισπωμένη ῀ μακρὰ ¯ βραχεῖα ˘ δασεῖα ῾ ψιλὴ ᾿ ἀπόστροφος ᾽ ὑφὲν ‿ καὶ ὑποδιαστολή ,. εἰς πόσα διαιροῦνται αἱ δέκα προσῳδίαι; εἰς τέσσαρα. εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα, καὶ εἰς πάθη.

περὶ τόνου.

Τί ἐστι τόνος; ἐπίτασις ἢ ἄνεσις ἢ μεσότης συλλαβῶν εὐφωνίαν ἔχουσα. πόθεν τόνος



Prosodia quid.

ᾄδω
ἀείδω

Rª. quātita

Rª. Orthogra

Rª. Orthogra

ī. dissoluta diphthongo

~~Regulā nota~~

Rª. quantita

Accentus · 10 · & eorū diuisio

Tonus qd

Graue accentu(m) syllabicu(m) accentu(m) e(ss)e no(n) proprie accētu(m)

παρὰ τὸ τείνω τὸ ταννύω. πόσοι τόνοι; τρεῖς· ἡ ὀξεῖα ἡ βαρεῖα καὶ ἡ περισπωμένη. πόσοι τόνοι κυρίως; δύο· ἡ ὀξεῖα καὶ ἡ περισπωμένη· ἡ γὰρ βαρεῖα συλλαβικός τόνος ἐστὶ καὶ οὐ κυρίως. τί ἐστιν ὀξεῖα; ποιότης συλλαβῆς ἐπιτεταμένον ἔχουσα φθόγγον. πόσοι τόποι τῆς ὀξείας; τρεῖς· ἡ λήγουσα, ἡ παραλήγουσα καὶ ἡ προπαραλήγουσα. πῶς καλεῖται τὸ ἐπὶ τῆς ληγούσης ἔχον τὴν ὀξεῖαν; ὀξύτονον. πῶς τὸ ἐπὶ τῆς παραληγούσης; παροξύτονον καὶ βαρύτονον. τί ἐστι βαρεῖα; ποιότης συλλαβῆς ἀνειμένον ἔχουσα φθόγγον. ποῖος ἐστὶ τῆς βαρείας ὁ τόπος; πᾶσαι αἱ καθ' ὁμαλισμὸν ἀναγινωσκόμεναι συλλαβαί. τίθεται δὲ οὐκ ἐπὶ πασῶν, ἀλλ' ἐπὶ μόνων τῶν ὀξυτονουμένων, ὅταν κατὰ σύνταξιν ἀναγινώσκωνται. τί ἐστι περισπωμένη; ποιότης συλλαβῆς φθόγγον ἔχουσα μέσον τοῦ ἐπιτεταμένου καὶ ἀνειμένου. πόσοι τόποι τῆς περισπωμένης; δύο· ἡ λήγουσα καὶ ἡ παραλήγουσα. πῶς καλεῖται τὸ ἐπὶ τῆς ληγούσης ἔχον τὴν περισπωμένην; περισπώμενον. πῶς τὸ ἐπὶ τῆς παραληγούσης; προπερισπώμενον καὶ βαρύτονον. πόσοι χρόνοι; δύο· ἡ μακρὰ καὶ ἡ βραχεῖα. τί ἐστι χρόνος; σημεῖον ὡς ἐκτεινομένου ἢ συστελλομένου φωνήεντος. τί ἐστι μακρά; σημεῖον ἐκτεινομένου φωνήεντος. τί ἐστι βραχεῖα; σημεῖον συστελλομένου φωνήεντος. πόσα πνεύματα; δύο· ἡ δασεῖα καὶ ἡ ψιλή. τί ἐστι πνεῦμα; ποιότης συλλαβῆς τρέπουσα τὰ ψιλὰ σύμφωνα εἰς δασέα ἐν τῇ συνθέσει ἢ φυλάττουσα αὐτὰ οἷα εἰσί. τί ἐστι δασεῖα; ποιότης συλλαβῆς τρέπουσα τὰ ψιλὰ σύμφωνα εἰς δασέα ἐν τῇ συνθέσει. τί ἐστι ψιλή; ποιότης συλλαβῆς φυλάττουσα τὰ σύμφωνα ἐν τῇ συνθέσει οἷα εἰσί. πόθεν δασεῖα; παρὰ τὸ δα ἐπιτατικὸν μόριον καὶ τὸ σεύομαι τὸ ὁρμῶ. πόθεν ψιλή; παρὰ τὸ ψῶ τὸ λεπτύνω. πόσα πάθη; τρία· ἡ ἀπόστροφος, ἡ ὑφὲν καὶ ὑποδιαστολή. τί ἐστι πάθος; φωνῆς πεπονθυίας σημεῖον, τὰ ἔκθλιψιν παθόντα καὶ τὰ ἡνωμένα καὶ κεχωρισμένα δηλοῦν. τί ἐστιν ἀπόστροφος; σημεῖον ἐκθλίψεως φωνήεντος ἢ φωνηέντων· φωνήεντος οἷον τοῦτ' ἐστί· φωνηέντων οἷον βούλομ' ἐγώ. ἀντὶ πόσων φωνηέντων τίθεται ἡ ἀπόστροφος; ἀντὶ τεσσάρων· ἀντὶ βραχέος

Acuti loca ·3·

ὀξύτονον, παροξύτονον, ἢ βαρύτονον, προπαροξύτονον, ἢ βαρύτονον

Grauis loca

Circumflexi loca

De Barea pulchru(m)

Tempus in syllaba qd?

Spiritus qd

Affectus tres

Apostroph(us)

Pro qbus uocalibus ponitur apostroph(us)

δα ἐπιτατικὸν μόριον

∴ Quomodo igitur si ponitur p. ai. diphthogo no(n) hoc notauit in his quae subijcit

α ἀντὶ τοῦ ο τοῦ μικροῦ· ἀντὶ βραχέος ι, καὶ ἀντὶ τοῦ ε. ἀντὶ τοῦ α· οἷον ἄρα οὗτος ἄρ' οὗτος. ἀντὶ τοῦ ο· οἷον τοῦτο ἐμὸν τοῦτ' ἐμόν. ἀντὶ βραχέος ι· οἷον ἐπὶ ἡμῖν ἐφ' ἡμῖν. ἀντὶ τοῦ ε· οἷον φέρε εἰπέ φέρ' εἰπέ. τί ἐστιν ὑφέν; σημεῖον συναφείας δύο λέξεων. πόθεν ὑφέν; παρὰ τὴν ὑπὸ πρόθεσιν καὶ τὸ ἕν. τί ἐστιν ὑποδιαστολή; σημεῖον διαστάσεως λέξεων. πόθεν ὑποδιαστολή; παρὰ τὴν ὑπὸ πρόθεσιν καὶ τὸ διαστέλλω τὸ διαχωρίζω.

Technicus

ὑφέν

ὑποδιαστολή

congregationis coniunctionis

## Περὶ τέχνης.

Τί ἐστι τέχνη; σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. πόθεν τέχνη; παρὰ τὸ ἔχειν καὶ τὸ νοῦς, ἐχονόη, καὶ συγκοπῇ καὶ προσθήκῃ τοῦ τ, τέχνη· ἕξιν γὰρ νοῦ σημαίνει ἡ τέχνη κατὰ Πλάτωνα.

Congregatio

deprehensionu(m)

τέχνη πόθεν

Plato

## Περὶ στιγμῆς.

Τί ἐστι στιγμή; σημεῖον ἐπὶ τελείας ἐννοίας τιθέμενον ἢ ἐπὶ τέλει κώλων ἀναπνοῆς χάριν. ἡ ζήτησις τοῦ τέλους. πόσαι στιγμαί; τρεῖς· τελεία, μέση, ὑποστιγμή. τί ἐστι τελεία στιγμή; σημεῖον ἐπὶ τελείας ἐννοίας τιθέμενον. τί ἐστι μέση στιγμή; σημεῖον ἐπὶ τελείας ἐννοίας τιθέμενον ἀναπνοῆς χάριν. τί ἐστιν ὑποστιγμή; σημεῖον ἐπὶ τέλει κώλων τιθέμενον μεθ' ὃ εὐθὺς ἡ τελεία ἐστὶ στιγμή. μετὰ μὲν οὖν τὴν ὑποστιγμὴν εὐθὺς ἡ τελεία. μετὰ δὲ τὴν μέσην οὐκ εὐθὺς ἡ τελεία ἀλλ' ἢ ὑποστιγμὴ ἢ ἑτέρα μέση.

Puncta tria

∴ In positione

∴ Intellige perfecte sententie ut theodorus gaza

De punctis melius technic(us) Plato? char. 21.

## Περὶ γραμματικῆς.

Τί ἐστι γραμματική; ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν ὡς ἐπὶ τὸ πολὺ λεγομένων. πόθεν γραμματική; παρὰ τὸ γράμμα. τὸ δὲ γράμμα παρὰ τὸ γράφω. πόσα μέρη τῆς γραμματικῆς; ἕξ· πρῶτον ἀνάγνωσις ἐντριβὴς κατὰ προσῳδίαν· δεύτερον ἐξήγησις κατὰ τοὺς ἐνυπάρχοντας ποιητικοὺς τρόπους· τρίτον γλωσσῶν τε καὶ ἱστοριῶν πρόχειρος ἀπόδοσις· τέταρτον ἐτυμολογίας εὕρεσις· πέμπτον ἀναλογίας ἐκλογισμός· ἕκτον κρίσις ποιημάτων· ὃ δὴ κάλλιστόν ἐστι πάντων τῶν ἐν τῇ τέχνῃ. πόσα ὄργανα τῆς γραμματικῆς; τέσσαρα· γλωσσηματικόν, ἱστορικόν, μετρικὸν καὶ τεχνικόν. τί τὸ τέλος

experientia

Gramatica qd?

diliges

Lectio Recognitio

propter parata ad manus

∴ excogitatio consideratio

Gramatice partes sex

τῆς γραμματικῆς. Τὸ μηδέποτε ἁμαρτάνειν μήτε περὶ μίαν λέξιν μήτε περὶ πλείονας. τὸ γὰρ ἁμαρτάνειν περὶ μίαν λέξιν βαρβαρισμός ἐστι. τὸ δὲ περὶ πλείονας σολοικισμός. Τί ἐστι βαρβαρισμός; διαμαρτία περὶ λέξιν ἢ κατὰ στοιχεῖον ἢ κατὰ προσῳδίαν. κατὰ πόσους τρόπους γίνεται ὁ βαρβαρισμός; κατὰ τέσσαρας. κατὰ ἐναλλαγὴν στοιχείου. κατὰ πλεονασμὸν λέξεων. κατὰ ἔνδειαν καὶ κατὰ προσῳδίαν. Τί ἐστι σολοικισμός; ἡ ἀκατάλληλος συμπλοκὴ τῶν λέξεων. κατὰ πόσους τρόπους γίνεται ὁ σολοικισμός; κατὰ ἕνδεκα. κατὰ πλεονασμὸν λέξεων. κατὰ ἔνδειαν. κατὰ ἐναλλαγήν. κατὰ γένος. κατὰ εἶδος. κατὰ ἀριθμόν. κατὰ πρόσωπον. κατὰ χρόνον. κατὰ διάθεσιν. κατὰ ἔγκλισιν. καὶ κατὰ σχῆμα. Τί διαφέρει ὁ βαρβαρισμὸς τοῦ σολοικισμοῦ; διαφέρει ὅτι ὁ μὲν βαρβαρισμὸς ἐν λέξει γίνεται. ὁ δὲ σολοικισμὸς ἐν λόγῳ. Πόσα σημαίνει γλῶσσα; τέσσαρα. τὸ τοῦ λόγου ὄργανον καὶ ἀπὸ τούτου τοὺς λόγους ὡς πολύγλωσσον λέγομεν τὸν πολυλόγον. τὴν διάλεκτον. καὶ τὴν τῶν ἐθνῶν ἐνηλλαγμένην ὁμιλίαν. πόσαι διάλεκτοι; πέντε. ἰὰς ἀτθὶς δωρὶς αἰολὶς καὶ κοινή.

## Περὶ στοιχείου.

Τί ἐστι στοιχεῖον; ἀφ' οὗ πρώτου γίνεταί τι καὶ εἰς ὃ ἔσχατον ἀναλύεται. πόθεν στοιχεῖον; παρὰ τὸ στείχω τὸ ἐν τάξει πορεύομαι. πόσα στοιχεῖα λόγου; εἰκοσιτέσσαρα. τὰ αὐτὰ δὲ καὶ γράμματα λέγονται.

## Περὶ διαιρέσεως τῶν γραμμάτων.

Εἰς πόσα διαιροῦνται τὰ εἰκοσιτέσσαρα γράμματα; εἰς δύο. εἰς φωνήεντα καὶ εἰς σύμφωνα. πόσα φωνήεντα; ἑπτά. α. ε. η. ι. ο μικρὸν υ ψιλὸν καὶ ω μέγα. εἰς πόσα διαιροῦνται τὰ ἑπτὰ φωνήεντα; εἰς τρία. εἰς μακρὰ εἰς βραχέα καὶ εἰς δίχρονα. πόσα μακρά; δύο. η καὶ ω μέγα. πόσα βραχέα; δύο. ε ψιλὸν καὶ ο μικρόν. πόσα δίχρονα; τρία. α. ι. υ. καὶ ἄλλως εἰς πόσα διαιροῦνται τὰ ἑπτὰ φωνήεντα; εἰς δύο. εἰς προτακτικὰ καὶ ὑποτακτικά. πόσα προτακτικά; τρία. α. ε. ο. καταχρηστικῶς δὲ καὶ τὸ η καὶ τὸ ω μέγα. διὰ τί λέγονται προτακτικά; διότι προτασσόμενα τοῦ ι καὶ τοῦ υ τὰς διφθόγγους ἀποτελοῦσι. καὶ πόσαι δίφθογγοι; ἕξ. αι. αυ. ει. ευ. οι. ου. πόσαι

Quid de .ῃ. erit ne diphthongus? Si est diphthongus quomodo nō connumerat eam. qnq: enim solū ponit & nō facit huius mentionē. Si non est diphthongus quid ergo erit. Mirum itaq: mihi hoc.

δίφθογγοι καταχρηστικῶς; πέντε. καὶ τὸ η μετὰ τοῦ προσγεγραμμένου ι δίφθογγός ἐστι. καὶ τὸ αὐτὸ μετὰ τοῦ υ. καὶ τὸ ω μέγα μετὰ τοῦ ι. καὶ τὸ αὐτὸ μετὰ τοῦ υ. καὶ τὸ α μετὰ τοῦ προσγεγραμμένου ι. πόσα ὑποτακτικά; δύο. ι καὶ υ. καὶ τὸ υ δὲ ἐνίοτε προτακτικόν ἐστι τοῦ ι. ὡς ἐν τῷ μυῖα ἅρπυια υἱός. καὶ ἐν τοῖς ὁμοίοις. καὶ πάλιν τῶν φωνηέντων τὰ μέν ἐστι μεταβολικὰ τὰ δὲ ἀμετάβολα. καὶ πόσα μεταβολικά; τρία. α. ε. ο. ὧν τὸ μὲν α εἰς η τρέπεται. τὸ δὲ ο εἰς ω μέγα. τὸ δὲ ε ποτὲ μὲν εἰς η τρέπεται. ποτὲ δὲ καὶ τὸ ι προσλαμβάνει. καὶ πάντοτε μὲν εἰς η τρέπεται. πλὴν δὲ κατὰ τεσσάρων τινῶν. πόσα ἀμετάβολα; τέσσαρα. η. ι. υ ψιλὸν καὶ ω μέγα. διὰ τί λέγονται ἀμετάβολα; διότι οὐ μεταβάλλονται ἐν τοῖς παρῳχημένοις. οἷον ἠχῶ ἤχουν. ἰξεύω ἴξευον. ὑβρίζω ὕβριζον. ὠφελῶ ὠφέλουν. πόσα σύμφωνα; δεκαεπτά. β. γ. δ. ζ. θ. κ. λ. μ. ν. ξ. π. ρ. σ. τ. φ. χ. ψ. εἰς πόσα διαιροῦνται τὰ δεκαεπτὰ σύμφωνα; εἰς δύο. εἰς ἡμίφωνα καὶ ἄφωνα. πόσα ἡμίφωνα; ὀκτώ. ζ. ξ. ψ. λ. μ. ν. ρ. σ. εἰς πόσα διαιροῦνται τὰ ὀκτὼ ἡμίφωνα; εἰς τρία. εἰς διπλᾶ εἰς ἀμετάβολα. καὶ εἰς τὸ σ. πόσα διπλᾶ; τρία. ζ. ξ. ψ. διὰ τί λέγονται διπλᾶ; διότι ἐκ δύο συμφώνων σύγκειται ἕκαστον αὐτῶν. τὸ μὲν ζ ἐκ τοῦ σ καὶ δ. τὸ δὲ ξ ἐκ τοῦ κ καὶ σ. τὸ δὲ ψ ἐκ τοῦ π καὶ σ. πόσα ἀμετάβολα; τέσσαρα. λ. μ. ν. ρ. διὰ τί λέγονται ἀμετάβολα; διότι οὐ μεταβάλλονται οὔτε ἐν τοῖς μέλλουσι τῶν ῥημάτων. οὔτε ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων. ἐν μὲν τοῖς μέλλουσι τῶν ῥημάτων οἷον ψάλλω ψαλῶ. μένω μενῶ. κρίνω κρινῶ. εἴρω τὸ λέγω ἐρῶ. ἐν δὲ ταῖς κλίσεσι τῶν ὀνομάτων. οἷον νέστωρ νέστορος. ἕλλην ἕλληνος. πόσα ἄφωνα; ἐννέα. β. γ. δ. κ. π. τ. θ. φ. χ. διὰ τί λέγονται ἄφωνα; διότι μᾶλλον τῶν ἄλλων κακόφωνά εἰσιν. εἰς πόσα διαιροῦνται τὰ ἐννέα ἄφωνα; εἰς τρία. εἰς ψιλὰ εἰς δασέα καὶ εἰς μέσα. πόσα ψιλά; τρία. κ. π. τ. πόσα δασέα; τρία. θ. φ. χ. πόσα μέσα; τρία. β. γ. δ. καὶ ἔστι τὸ μὲν β μέσον τοῦ π καὶ φ. τὸ δὲ γ μέσον τοῦ κ καὶ χ. τὸ δὲ δ μέσον τοῦ θ καὶ τ. ἀντιστοιχεῖ δὲ τὰ δασέα τοῖς ψιλοῖς. τὸ μὲν φ τῷ π. τὸ δὲ χ τῷ κ. τὸ δὲ θ τῷ τ. ποῖα σύμφωνα ποίων προηγεῖται;



| | | |
|---|---|---|
| κ | γ | χ |
| π | β | φ |
| τ | δ | θ |
| tenues. | Mediae. | Aspiratae |

Finis grāmaticae
~~βαρβαρισμός~~
~~σολοικισμός~~
Barbarismus qd & quot modis
Soloecismus qd & quot modis fiat
D[iffer]a inter soloecis. & barbaris.
Dialecti
Ionica. Attica
Dorica. Aeolica
Communis
γλῶσσα. 4. sig.
Diuisio litterarum
Vocales. 7.
η. ω
ε. ο
α. ι. υ
Praepositiuae & postpositiuae uocales
Diphthongi. 6.

γλῶσσα. 4. significat. Technic[...] 3. tatu

lingua materialis verba format
υ. aliquando esse praepositiuum ut in υι.
Consonantes 14.

Diphthogi improprie. 5.
ῃ
ηυ
ῳ
ωυ
ᾳ
Mutabiles uocales. α. ε. ο
Immutabiles η. ι. υ. ω.
Semiuocalium diuisio
Duplices ζ. ξ. ψ
Immutabiles λ. μ. ν. ρ.
εἴρω τὸ λέγω
Mutae. 9. ἄφωνα
Mutarum diui[sio]

*Orthographicae praecepta*

*Orthographicae Regulae*

τὰ διπλᾶ οὐδέποτε ἢ προτάσσονται ἢ ὑποτάσσονται, εἰ μὴ ἐν καταλήξει μερῶν λόγου· οἷον σφίγξ. τὸ σ μετὰ τῶν ἀμεταβόλων ἐνίοτε μὲν προτάσσεται· οἷον σμῆνος· ἐνίοτε δὲ ὑποτάσσεται ἐν καταλήξει μερῶν λόγου· οἷον ἅλς, τίρυνς. μετὰ δὲ τῶν ἀφώνων ἀεὶ προτάσσεται. ἀμετάβολον ἀμεταβόλου οὐδέποτε προηγεῖται κατὰ σύλληψιν, πλὴν τὸ μ τοῦ ν ὡς ἐν τῷ μνεῖα καὶ ἀμνός. τὰ ἀμετάβολα οὐδέποτε προηγεῖται τῶν ἀφώνων. τὰ ἄφωνα δὲ ἀεὶ τῶν ἀμεταβόλων ἢ ἐν προτακτικῇ συλλαβῇ· οἷον Κλεοπάτρα· ἢ ἐν ὑποτακτικῇ· οἷον ὀχμάζω. τῶν δὲ ἀφώνων τὰ μὲν ψιλὰ ψιλῶν ἡγεῖται· τὰ δὲ δασέα δασέων· καὶ τὰ μέσα μέσων, πλὴν τὸ μὲν β. καὶ γ. τοῦ δ. προηγεῖται ἐν προτακτικῇ συλλαβῇ καὶ ὑποτακτικῇ· οὐδέποτε δὲ τὸ δ. αὐτῶν. καὶ τὸ κ. καὶ π. τοῦ τ ὁμοίως· καὶ τὸ φ. καὶ χ. τοῦ θ. κατὰ τὸν αὐτὸν λόγον.

## περὶ συλλαβῆς.

*Syllaba qd?*

Τί ἐστι συλλαβή; συνέλευσις τοὐλάχιστον δύο γραμμάτων. καταχρηστικῶς δὲ καὶ αἱ μονογράμματοι συλλαβαὶ λέγονται· οἷον α. εἰς πόσα διαιρεῖται ἡ συλλαβή; εἰς τρία· εἰς μακρὰν· εἰς βραχεῖαν· καὶ εἰς κοινήν. κατὰ πόσους τρόπους γίνεται ἡ συλλαβή; κατὰ πολλούς. ἢ ἐξ ἑνὸς συμφώνου καὶ ἑνὸς φωνήεντος· οἷον κατάλογος· καὶ τὸ ἀνάπαλιν· οἷον ὅς. ἢ ἐξ ἑνὸς συμφώνου καὶ δύο φωνηέντων· οἷον ταῦρος· καὶ τὸ ἀνάπαλιν· οἷον ἅλς. ἢ ἐκ δύο συμφώνων καὶ ἑνὸς φωνήεντος· οἷον κράνος. ἢ ἐκ δύο συμφώνων καὶ δύο φωνηέντων· οἷον πλεῖστον· πιστεύω· φύσιν ἔχοντος τοῦ ἑνὸς συμφώνου προηγεῖσθαι τοῦ ἑτέρου. ἢ ἐξ ἑνὸς συμφώνου καὶ δύο φωνηέντων καὶ ἑνὸς αὖθις συμφώνου· οἷον βοῦς. ἢ ἐκ δύο συμφώνων καὶ ἑνὸς φωνήεντος καὶ δύο συμφώνων· οἷον σφίγξ. ἢ ἐκ τριῶν συμφώνων καὶ ἑνὸς φωνήεντος· οἷον στρατός. ἢ ἐκ τριῶν συμφώνων καὶ δύο φωνηέντων· οἷον στροῦθος. ἢ ἐξ ἑνὸς φωνήεντος καταχρηστικῶς.

*Quot modis fiat syllaba*

## περὶ μακρᾶς συλλαβῆς.

*Longa syllaba fieri octo modis*

Τί ἐστι μακρὰ συλλαβή; ἡ ἔχουσα μακρὸν φωνῆεν ἢ μηκυνόμενον ἢ μίαν τῶν διφθόγγων. κατὰ πόσους τρόπους γίνεται ἡ μακρὰ συλλαβή; κατὰ ὀκτώ· φύσει μὲν τρεῖς· θέσει δὲ πέντε· καὶ φύσει μὲν ἤτοι ὅταν διὰ τῶν μακρῶν στοιχείων ἐκφέρηται· οἷον ἥρως. ἢ ὅταν ἔχῃ ἕν τι τῶν διχρόνων κατὰ ἔκτασιν παραλαμβανόμενον· οἷον πρᾶγμα. ἢ ὅταν ἔχῃ μίαν τῶν διφθόγγων· οἷον Αἴας. θέσει δὲ ἤτοι ὅταν εἰς σύμφωνον λήγῃ καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ συμφώνου ἀρχομένην· οἷον ἔργον. ἢ ὅταν φωνήεντι ἐπιφέρηται δύο σύμφωνα· οἷον ἀγρός. ἢ ὅταν εἰς δύο σύμφωνα λήγῃ· οἷον ἅλς. ἢ ὅταν εἰς διπλοῦν σύμφωνον λήγῃ· οἷον ἄραψ. ἢ ὅταν διπλοῦν σύμφωνον ἐπιφέρηται· οἷον ἔξω.

*Syllabam diphthongum habentem longam esse natura; technicus non ita*

## περὶ βραχείας συλλαβῆς.

Τί ἐστι βραχεῖα συλλαβή; ἡ ἔχουσα βραχὺ φωνῆεν ἢ δίχρονον κατὰ συστολὴν παραλαμβανόμενον.

## περὶ κοινῆς συλλαβῆς.

*Tribus modis fieri comune syll.*

*De comuni sylla ba*

Τί ἐστι κοινὴ συλλαβή; ἡ δυναμένη μακρὰ εἶναι ἡ αὐτὴ καὶ βραχεῖα. κατὰ πόσους τρόπους γίνεται ἡ κοινὴ συλλαβή; κατὰ τρεῖς. ἤτοι ὅταν εἰς φωνῆεν μακρὸν λήγουσα καὶ εἰς μέρος λόγου καταπεραιοῖ, εἶτα τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην· οἷον οὔτι μοι αἰτίη ἐσσί· θεοί νύ μοι αἴτιοί εἰσιν. ἢ ὅταν βραχεῖα οὖσα καταπεραιοῖ εἰς μέρος λόγου, εἶτα τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην· οἷον Νέστορα δ᾽ οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης. ἢ ὅταν βραχεῖ φωνήεντι ἢ διχρόνῳ κατὰ συστολὴν παραλαμβανομένῳ ἐπιφέρηται δύο σύμφωνα, τὸ μὲν δεύτερον ἀμετάβολον, τὸ δὲ ἡγούμενον ἓν τῶν ἀφώνων· οἷον Πάτροκλέ μοι δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ.

*Homer?*

*Homer?*

## περὶ λέξεως.

*Dictio / Oratio — Quid*

Τί ἐστι λέξις; μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου. Τί ἐστι λόγος; πεζῆς τε καὶ ἐμμέτρου λέξεως σύνθεσις διάνοιαν αὐτοτελῆ δηλοῦσα. πόθεν λόγος; παρὰ τὸ λέγω. πόσα μέρη τοῦ λόγου; ὀκτώ· ὄνομα· ῥῆμα· μετοχή· ἄρθρον· ἀντωνυμία· πρόθεσις· ἐπίρρημα· σύνδεσμος. τούτων πόσα κλίνονται καὶ πόσα οὐ κλίνονται; κλίνονται μὲν πέντε, ὄνομα· ῥῆμα· μετοχή· ἄρθρον· ἀντωνυμία. οὐ κλίνονται δὲ τρία· πρόθεσις· ἐπίρρημα· σύνδεσμος.

*Orationis ptes octo*

## περὶ ὀνόματος.

Diffinitio nominis

Ὄνομα πόθεν

παρεπόμενα

γένος

Genera tria

Τί ἐστιν ὄνομα; μέρος λόγου πτωτικὸν σῶμα ἢ πρᾶγμα ση-
μαῖνον· σῶμα μὲν οἷον λίθος· πρᾶγμα δὲ οἷον παιδεία· κοι-
νῶς τε καὶ ἰδίως λεγόμενον· κοινῶς μὲν οἷον ἄνθρωπος ἵπ-
πος· ἰδίως δὲ οἷον σωκράτης πλάτων. Πόθεν ὄνομα; πα-
ρὰ τὸ νέμω τὸ μερίζω· πόσα παρέπεται τῷ ὀνόματι; νέμω
πέντε· γένη· εἴδη· σχήματα· ἀριθμοί· πτώσεις. Τί ἐστι γένος;
πτωτικῆς λέξεως χαρακτὴρ σημαίνων τὸ ἐν φωνῇ ἄρσεν ἢ θῆλυ ἢ
οὐδέτερόν τι διακρίνων. Πόθεν γένος; παρὰ τὸ γείνω τὸ γεν- γείνω
νῶ. Πόσα γένη; τρία· ἀρσενικόν· θηλυκόν· καὶ οὐδέτερον. Τί ἐστιν
ἀρσενικὸν γένος; οὗ προτάσσεται κατὰ τὴν εὐθεῖαν καὶ ἑνικὴν πτῶ-
σιν ἄρθρον τὸ ὁ· οἷον ὁ αἴας. Τί ἐστι θηλυκὸν γένος; οὗ προτάσ-
σεται κατὰ τὴν εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ ἡ· οἷον ἡ μοῦ-
σα. Τί ἐστιν οὐδέτερον γένος; οὗ προτάσσεται κατὰ τὴν εὐθεῖαν
καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ τό· οἷον τὸ βῆμα. Τινὲς δὲ προ-
σέθηκαν καὶ ἄλλα δύο γένη· καὶ τὸ μὲν ὠνόμασαν κοινόν· τὸ

κοινὸν ἐπίκοινον

δὲ ἐπίκοινον. Τί ἐστι κοινὸν γένος; οὗ δύναται προτάσσεσθαι
κατὰ τὴν εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν καὶ τὸ ὁ τὸ ἄρθρον καὶ τὸ ἡ· οἷ-
ον ὁ ἄνθρωπος καὶ ἡ ἄνθρωπος· ὁ ἵππος καὶ ἡ ἵππος. Τί ἐστιν ἐπί-
κοινον γένος; τὸ μετὰ μιᾶς φωνῆς καὶ ἑνὸς ἄρθρου ἢ μόνου

H. i. epicoenum continet sub una voce marem & feminam

ἀρσενικοῦ ἢ μόνου θηλυκοῦ δηλοῦν τὰ δύο γένη· οἷον ὁ κόραξ
ὁ ἄρρην καὶ ἡ θήλεια καὶ ὁ ἀετός· ὁμοίως καὶ ἡ χελιδών (hirundo). Τί ἐ- ἄρρην

εἰκών. Imago similitudo

στιν εἶδος; φωνῆς εἰκὼν τὴν ἐν αὐτῇ δηλοῦσα πρώτην ἢ δευ-
τέραν θέσιν. Πόθεν εἶδος; παρὰ τὸ εἴδω τὸ ὁμοιῶ. Πόσα εἰκών

Species quot.

εἴδη; δύο· πρωτότυπον καὶ παράγωγον. Τί ἐστι πρωτό- εἴδω
τυπον; τὸ πρωτόθετον ὑπάρχον καὶ μὴ ἔχον προκατάρ-
ξιν τινὰ ἢ αἰτίαν τῆς ἑαυτοῦ γενέσεως· οἷον πᾶς. Τί ἐστι πα-
ράγωγον; τὸ ἀπό τινος παραγόμενον· οἷον ἄρειος ὁ πολε-

Species deriuatiuae · 7 ·

μικός. Πόσα εἴδη τῶν παραγώγων; ἑπτά· πατρωνυμι-
κὸν κτητικὸν συγκριτικὸν ὑπερθετικὸν ὑποκοριστικὸν παρώ-
νυμον καὶ ῥηματικόν. Τί ἐστι πατρωνυμικόν; τὸ ἀπὸ πατρὸς

Patronymicu

ἐσχηματισμένον· καταχρηστικῶς δὲ καὶ ἀπὸ προγόνων·
οἷον πηλείδης ὁ ἀχιλλεὺς καὶ αἰακίδης. Πόσοι τύποι τῶν
πατρωνυμικῶν ἀρσενικῶν; τρεῖς· ὁ εἰς δης· ὁ εἰς ων· ὁ εἰς
αδιος· οἷον ἀτρείδης· ἀτρείων· ὑρράδιος ὁ τοῦ ὑρρα παῖς. ἀτρείων
Πόσοι τύποι τῶν πατρωνυμικῶν θηλυκῶν; τρεῖς· ὁ εἰς ις ὁ

∴ i. pittacus auctor technico



εἰς ας· ὁ εἰς νη· οἷον πριαμίς· ἠλιάς· ἡ τοῦ ἡλίου θυγάτηρ· ἀ-
δραστίνη ἡ τοῦ ἀδράστου. Ἰστέον ὅτι ἀπὸ μητέρων οὐ σχη-

Nota de homero

ματίζει πατρωνυμικὸν εἶδος ὁ ὅμηρος ἀλλ' οἱ μεταγενέ-

Possessiuu

στεροι. Τί ἐστι κτητικόν; τὸ ὑπὸ τὴν κτῆσιν πεπτωκὸς ἐμ-
περιειλημμένου τοῦ κεκτημένου· οἷον πλατωνικὸν βιβλίον·

Comparatiuu

ἑκτόρεος χιτών. Τί ἐστι συγκριτικόν; τὸ σύγκρισιν ἔχον ἢ ἑ-
νὸς πρὸς ἕνα ὁμογενῆ· ὡς ἀχιλλεὺς ἰσχυρότερος αἴαν-
τος· ἢ ἑνὸς πρὸς πολλοὺς ἑτερογενεῖς· ὡς ἀχιλλεὺς ἰσχυ-
ρότερος τῶν τρώων. Πόσοι τύποι τῶν συγκριτικῶν; τρεῖς·
ὁ εἰς τερος· οἷον ὀξύτερος· ὁ εἰς ων καθαρόν· οἷον καλλίων βελ-

κρείσσων ἥσσων

τίων· καὶ ὁ εἰς σσων· οἷον κρείσσων ἥσσων. Τί ἐστιν ὑπερθετικόν;

Superlatiuu

τὸ κατ' ἐπίτασιν ἑνὸς πρὸς πολλοὺς παραλαμβανόμε-
νον ἐν συγκρίσει. Πόσοι τύποι τῶν ὑπερθετικῶν; δύο· ὁ εἰς
τατος· οἷον ὀξύτατος· καὶ ὁ εἰς στος· οἷον κάλλιστος. Τί ἐστιν

Diminutiuu

ὑποκοριστικόν; τὸ μείωσιν τοῦ πρωτοτύπου ἀσυγκρίτως
δηλοῦν· οἷον ἀνθρωπίσκος λίθαξ μειρακύλλιον. Πόσοι τύποι
τῶν ὑποκοριστικῶν; ἕξ· ὁ εἰς σκος· οἷον ἀνθρωπίσκος· ὁ εἰς υλλι-
ον· οἷον μειρακύλλιον· ὁ εἰς υδριον· οἷον λογύδριον· ὁ εἰς ιον· οἷ-
ον ἀνθρώπιον· ὁ εἰς αξ· οἷον λίθαξ· καὶ ἐπὶ θηλυκοῦ· ὁ εἰς ις· οἷ-

Denomina.

ον νησὶς ἡ μικρὰ νῆσος. Τί ἐστι παρώνυμον; τὸ παρ' ὄνομα
ποιηθέν· οἷον θέων· τρύφων. Τί ἐστι ῥηματικόν; τὸ ἀπὸ ῥήμα-

Verbale

τος παρηγμένον· οἷον φιλήμων νοήμων. Τί ἐστι σχῆμα; λέξε-

σχῆμα

ως ποσότης ὑφ' ἓν ἄτομον καὶ ἓν πνεῦμα ἀδιαστάτως ἀγο-
μένη ἐν ἁπλότητι ἢ συνθέσει. Πόθεν σχῆμα; ἀπὸ τοῦ ἔσχη-

θέμα σχῶ

μαι παθητικοῦ παρακειμένου· οὗ τὸ θέμα σχῶ ἄχρηστον.

Figurae · 3

Πόσα σχήματα; τρία· ἁπλοῦν· σύνθετον· παρασύνθετον.
Τί ἐστιν ἁπλοῦν σχῆμα; τὸ ἐκ μιᾶς λέξεως συνιστάμενον·
οἷον ἵππος. Τί ἐστι σύνθετον σχῆμα; τὸ ἐκ δύο λέξεων συγ-
κείμενον· οἷον φίλιππος. Τί ἐστι παρασύνθετον σχῆμα; τὸ ἐκ

ἀριθμὸς unde

τοῦ συνθέτου παραγόμενον· οἷον φιλιππίδης. Τί ἐστιν ἀριθ-

formulatio ἀλίζω

μός; σωρεία μονάδων· ἢ μονάδων σύνθεσις. Πόθεν ἀριθμός;
παρὰ τὸ ἀλίζω τὸ συναθροίζω· ἄλιθμος καὶ ἀριθμός. Πό-

λ. in. ρ.

σοι ἀριθμοί; τρεῖς· ἑνικός· δυϊκός· καὶ πληθυντικός. Τί ἐστιν
ἑνικὸς ἀριθμός; ὁ ἓν σημαίνων· οἷον αἴας. Τί ἐστι δυϊκὸς ἀ-
ριθμός; ὁ δύο σημαίνων· οἷον αἴαντε. Τί ἐστι πληθυντικὸς ἀ-

ῥιθμός· ὃ τρία καὶ πολλὰ σημαῖνον· οἷον Αἴαντες. Τί ἐστι πτῶσις ὀνόματος, ἢ ὀνοματικοῦ τινὸς κατὰ τὸ τέλος γινομένη κίνησις· πόθεν πτῶσις· παρὰ τὸ πίπτω. πόσαι πτώσεις· πέντε· ὀρθή· γενική· δοτική· αἰτιατική· καὶ κλητική. πόσαι κυρίως πτώσεις· τέσσαρες· ἡ γὰρ ὀρθὴ οὐ λέγεται κυρίως πτῶσις· ἀλλὰ καταχρηστικῶς. ¶ Ὑποπέπτωκε δὲ τῷ ὀνόματι ταῦτα ἃ καὶ εἴδη προσαγορεύονται· κύριον· προσηγορικόν· ἐπίθετον· πρός τι ἔχον· ὡς πρός τι ἔχον· τὸ κατὰ διαφόρων οὐσιῶν τὸ αὐτὸ λεγόμενον· καθὸ λέγονται τὰ ὁμώνυμα· τὸ κατὰ διαφόρων μὲν τῷ ἀριθμῷ τῆς αὐτῆς δὲ οὐσίας ὄντων τὸ αὐτὸ λεγόμενον· καθὸ λέγονται τὰ συνώνυμα· ἐθνικόν· ἐρωτηματικόν· ἀόριστον· ἀναφορικὸν ὃ καὶ ὁμοιωματικὸν καὶ δεικτικὸν καὶ ἀνταποδοτικὸν καλεῖται· περιληπτικόν· ἐπιμεριζόμενον· περιεκτικόν· ὡς περιεκτικόν· πεποιημένον· γενικόν· εἰδικόν· τακτικόν· ἀριθμητικόν· ἀπολελυμένον· καὶ μετουσιαστικόν. Τί ἐστι κύριον ὄνομα· τὸ ἐπὶ τῶν ἀτόμων λεγόμενον· οἷον Σωκράτης Πλάτων. Τί ἐστι προσηγορικόν· τὸ κοινὴν οὐσίαν σημαῖνον· οἷον ἄνθρωπος ἵππος. Τί ἐστιν ἐπίθετον· τὸ ἐπὶ κυρίων ἢ προσηγορικῶν λεγόμενον· καὶ χωρὶς αὐτῶν οὐ δυνάμενον λέγεσθαι· οἷον ἀνδρεῖος ταχύς. πόθεν λαμβάνονται τὰ ἐπίθετα· ἀπὸ τῶν ἐνεργειῶν τῆς ψυχῆς ἢ τῶν συμβεβηκότων αὐτῇ· καὶ ἀπὸ τῶν ἐνεργειῶν τοῦ σώματος ἢ τῶν συμβεβηκότων αὐτῷ· καὶ ἀπὸ τῶν ἐκτός· καὶ ἀπὸ μὲν τῶν τῆς ψυχῆς· οἷον φρόνιμος· μωρός· θεωρητικός· ἀπὸ δὲ τῶν τοῦ σώματος· οἷον μέλας· πύκτης· ἀπὸ δὲ τῶν ἐκτός· οἷον πλούσιος πένης. Τί ἐστι πρός τι· τὸ πρὸς ἕτερον ἔχον σχέσιν· καὶ ὅπερ αὐτό ἐστιν ἑτέρου εἶναι λέγεται· οἷον πατὴρ υἱός· δοῦλος δεσπότης· μέγα μικρόν. Τί ἐστιν ὡς πρός τι ἔχον· τὸ πρὸς ἕτερον μὲν λεγόμενον κατ᾽ ἐναντιότητα δὲ φθαρτικήν· οἷον νὺξ ἡμέρα θάνατος ζωή. Τί ἐστιν ἐθνικόν· τὸ ἔθνους δηλωτικόν· οἷον Φρὺξ Γαλάτης. Τί ἐστιν ἐρωτηματικόν· ὃ καὶ πευστικὸν λέγεται· τὸ ἀπόκρισιν ζητοῦν ὡρισμένην· οἷον τίς ποῖος· πόσος πηλίκος. Τί ἐστιν ἀόριστον· τὸ μὴ δηλοῦν ὡρισμένως ὃ ζητεῖ τὸ ἐρωτηματικόν· οἷον ὅστις ὁ ποῖος ὁ

Casus
Species nominum aliq(ue)
ὁμώνυμα
συνώνυμα
∴ q. d. cum nomine simul & diffinitio predicatur
Pulchra diffinitio epitheti
Ad aliqd
Quasi ad aliqd
∴ a πυνθάνομαι
∴ praedicatur
q. d. nomini subiecto diffinitur ab ὅρος
∴ indiuiduo
ἀντιφθαρτικά · φθείρω

πόσος. Τί ἐστιν ἀναφορικόν· τὸ πρὸς ἕτερον ἀναφερόμενον ἢ ὁμοιωματικῶς· ἢ δεικτικῶς· ἢ ἀνταποδοτικῶς· οἷον οἷος ὅσος. Τί ἐστι περιληπτικόν· τὸ δι᾽ ἑνικοῦ ἀριθμοῦ πλῆθος σημαῖνον· οἷον δῆμος χορὸς ὄχλος. Τί ἐστιν ἐπιμεριζόμενον· τὸ ἐκ δύο ἢ καὶ πλειόνων ἐπὶ ἓν ἔχον τὴν ἀναφορὰν κατὰ διαίρεσιν ἢ σύναψιν· οἷον ἕτερος· ἑκάτερος· ἕκαστος· ἄλλος. ποσαχῶς μερίζονται τὰ ἐπιμεριζόμενα· τετραχῶς· εἷς ἐκ δύο· ὡς ἕτερος· δύο καθ᾽ ἕνα· ὡς ἑκάτερος· εἷς ἐκ πολλῶν· ὡς ἄλλος· καὶ πολλοὶ καθ᾽ ἕνα ὡς ἕκαστος. Τί ἐστι περιεκτικόν· τὸ ἐν μιᾷ φωνῇ δηλοῦν τὸ περιέχον καὶ τὸ περιεχόμενον· οἷον δαφνὼν κοιτών. Τί ἐστιν ὡς περιεκτικόν· ὅπερ τύπον μὲν ἔχει περιεκτικοῦ· ἑρμηνείαν δὲ καὶ δύναμιν οὐδαμῶς· οἷον ἀκανθεὼν μὲν περιεκτικόν· ἀπατεὼν δὲ καὶ κυκεὼν ὡς περιεκτικόν. Τί ἐστι πεποιημένον· τὸ παρὰ τὰς τῶν ἤχων ποιότητας μιμητικῶς λεγόμενον· οἷον φλοῖσβος ῥοῖζος ὀρυγμαδός. Τί ἐστι γενικόν· τὸ δυνάμενον εἰς εἴδη διαιρεθῆναι· οἷον ζῷον φυτόν. Τί ἐστιν εἰδικόν· τὸ ἀπὸ γένους διαιρεθέν· οἷον βοῦς· ἵππος ἄμπελος ἐλαία. Τί ἐστι τακτικόν· τὸ τάξιν δηλοῦν· οἷον πρῶτος δεύτερος. Τί ἐστιν ἀριθμητικόν· τὸ σημαῖνον ἀριθμούς· οἷον εἷς δύο τρεῖς. Τί ἐστιν ἀπολελυμένον· ὃ καθ᾽ ἑαυτὸ νοεῖται· οἷον θεὸς λόγος ἄγγελος. Τί ἐστι μετουσιαστικόν· τὸ μετέχον οὐσίας τινός· οἷον πύρινος λίθινος δρύινος.

## ¶ περὶ ῥήματος.

¶ Τί ἐστι ῥῆμα· μέρος λόγου ἄπτωτον ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους χρόνους δηλοῦν μετ᾽ ἐνεργείας ἢ πάθους ἢ οὐδετέρου· ἔστι δὲ προσώπων σημαντικὸν ὅτε καὶ ψυχῆς διαθέσεις δηλοῖ. πόθεν ῥῆμα· ἀπὸ τοῦ εἴρημαι παθητικοῦ παρακειμένου οὗ τὸ θέμα εἰρέω εἰρῶ· ἐπὶ τῷ ρ· δασύνεται· τὸ ρ πάσης λέξεως ἄρχον δασύνεται· ὡς ἐξ ἡμισείας ὂν φωνῆεν. πόσα παρέπεται τῷ ῥήματι· ὀκτώ· ἐγκλίσεις· διαθέσεις· εἴδη· σχήματα· ἀριθμοί· πρόσωπα· χρόνοι· καὶ συζυγίαι. Τί ἐστιν ἔγκλισις· βούλημα ψυχῆς διὰ φωνῆς σημαινόμενον. πόσαι ἐγκλίσεις· πέντε· ὁριστική· προστακτική· εὐκτική· ὑποτακτική· καὶ ἀπαρέμφατος.

collectiuum
εἰρέω · ω · i. dicu · unde ῥῆμα · i. verbum quasi dictio · omnes etiam verba vocantur unde habuit verba
Partitiua quadruplicia
ἕτερος
ἑκάτερος
ἕκαστος
ἄλλος
Fictitium
absoluta
Substantiale vel materiale
Verbi diffinitio
ῥῆμα πόθεν
Regula de ρ
ρ ex dimidio vocalis
Accidentia verbi · 8 ·

*De infinitivo nō proprie dici modū*

πόσαι κυρίως ἐγκλίσεις; τέσσαρες. ἡ γὰρ ἀπαρέμφατος οὐ λέγεται κυρίως ἔγκλισις, ἀλλὰ καταχρηστικῶς, ἐπεὶ οὐ βούλημα ψυχῆς δηλοῖ. Τί ἐστι διάθεσις; δρᾶσις ἢ πεῖσις, ἐν αἷς διατίθεται ἡ ψυχὴ ὡς ἐνεργοῦσα τί ἢ πάσχουσα. Πόσαι διαθέσεις; τρεῖς· ἐνέργεια, πάθος, μεσότης. Πόσα εἴδη; δύο· πρωτότυπον καὶ παράγωγον. πρωτότυπον μὲν οἷον ἄρδω· παράγωγον δὲ οἷον ἀρδεύω. Πόσα σχήματα; τρία· ἁπλοῦν, σύνθετον, παρασύνθετον. ἁπλοῦν μὲν οἷον φρονῶ· σύνθετον δὲ οἷον καταφρονῶ· παρασύνθετον δὲ οἷον ἀνταγωνίζομαι, φιλιππίζω. Πόσοι ἀριθμοί; τρεῖς· ἑνικός, δυϊκὸς καὶ πληθυντικός. ἑνικὸς μὲν οἷον τύπτω· δυϊκὸς δὲ οἷον τύπτετον· πληθυντικὸς δὲ οἷον τύπτομεν. Πόσα πρόσωπα; τρία· πρῶτον, δεύτερον καὶ τρίτον. Τί ἐστι πρόσωπον; λέξις ἣν λέγει τις περὶ ἑαυτοῦ ἢ περὶ τοῦ πρὸς ὃν διαλέγεται ἢ περὶ ἑτέρου ἀπόντος. Τί ἐστι πρῶτον πρόσωπον; λέξις ἣν λέγει τις περὶ ἑαυτοῦ, οἷον λέγω ἐγώ. Τί ἐστι δεύτερον πρόσωπον; λέξις ἣν λέγει τις περὶ τοῦ πρὸς ὃν διαλέγεται, οἷον λέγεις σύ. Τί ἐστι τρίτον πρόσωπον; λέξις ἣν λέγει τις περὶ ἑτέρου ἀπόντος, οἷον λέγει ἐκεῖνος. Τί ἐστι χρόνος; τὸ συμπαρεκτεινόμενον τῇ συστάσει τοῦ κόσμου διάστημα, ᾧ πᾶσα μετρεῖται κίνησις, εἴτε ἀστέρων εἴτε ζῴων εἴτε οὑτινοσοῦν τῶν κινουμένων. διαιρεῖται δὲ εἰς τρία· εἰς τὸ ἐνεστώς, τὸ παρεληλυθὸς καὶ τὸ μέλλον. ἀπὸ τούτου καὶ αἱ ἐνέργειαι τοῦ ῥήματος καὶ τὰ πάθη τὰ κατὰ τοὺς χρόνους γινόμενα χρόνοι λέγονται. καὶ διαιροῦνται εἰς ἕξ· εἰς ἐνεστῶτα, παρατατικόν, παρακείμενον, ὑπερσυντέλικον, ἀόριστον καὶ μέλλοντα. Τί ἐστιν ἐνεστώς; ὁ ἐνισταμένην καὶ ἀπλήρωτον ἔχων τὴν σημασίαν. Τί ἐστι παρατατικός; ὁ παρατεταμένην καὶ ἀπλήρωτον ἔχων τὴν σημασίαν. Τί ἐστι παρακείμενος; ὁ τὴν ἐνέργειαν ἢ τὸ πάθος ἔχων παρακείμενα τῷ ἐνεστῶτι. Τί ἐστιν ὑπερσυντέλικος; παρακείμενος πεπληρωμένος. Τί ἐστιν ἀόριστος; ὁ ἐπὶ τοῦ παρεληλυθότος μὲν λεγόμενος καὶ πεπληρωμένην σημασίαν ἔχων, μὴ ἔχων δὲ ὡρισμένον καιρὸν τῆς ἐνεργείας αὐτοῦ ἢ τοῦ πάθους. Τί ἐστι μέλλων; ὁ μήπω γεγονώς.

actio
passio

ἄρδω
ἀρδεύω
irrigo

*Diffinº. persone*

*Diffinº temporis*

*Tempora uerborum*
*Presens*
*Preteritū imp.*
*preter. pfec.*
*preter. plusq3 pf.*
*Aorist.*
*Futu.*



## Περὶ συζυγίας.

Τί ἐστι συζυγία; ἀκόλουθος ῥημάτων κλίσις. Πόσαι συζυγίαι; δεκατρεῖς· ἓξ τῶν βαρυτόνων ῥημάτων, τρεῖς τῶν περισπωμένων καὶ τέσσαρες τῶν εἰς μι.

*Coniug.*

## Περὶ μετοχῆς.

Τί ἐστι μετοχή; λέξις μετέχουσα τῆς τῶν ῥημάτων καὶ τῆς τῶν ὀνομάτων ἰδιότητος. καὶ τί μετέχει τοῦ ὀνόματος καὶ τί τοῦ ῥήματος; τοῦ μὲν ὀνόματος γένη καὶ πτώσεις, τοῦ δὲ ῥήματος διαθέσεις, χρόνους καὶ συζυγίας. Διὰ τί μετὰ τὸ ὄνομα καὶ τὸ ῥῆμα αὕτη ἐτάχθη; διότι τούτων τῶν δύο μετέχει, ἃ ὤφειλον προταχθῆναι· καὶ τὸ μετέχον αὐτῶν εὐθὺς εἶναι καὶ μὴ ἕτερον μέρος λόγου. Πόσα παρέπεται τῇ μετοχῇ; ὀκτώ· γένη, εἴδη, σχήματα, ἀριθμοί, πτώσεις, διαθέσεις, χρόνοι καὶ συζυγίαι.

*Participiū*

*Participio accidunt. 8.*

## Περὶ ἄρθρου.

Τί ἐστιν ἄρθρον; μέρος λόγου πτωτικὸν προτασσόμενον τῆς κλίσεως τῶν ὀνομάτων καὶ ὑποτασσόμενον. πόθεν ἄρθρον; παρὰ τὸ ἄρω τὸ ἁρμόζω. Πόσα παρέπεται τῷ ἄρθρῳ; τρία· γένη, ἀριθμοί, πτώσεις. Εἰς πόσα διαιροῦνται τὰ ἄρθρα; εἰς δύο· εἰς προτακτικὰ καὶ ὑποτακτικά. Πόσα ἄρθρα προτακτικὰ τῶν ἀρσενικῶν ὀνομάτων; δέκα· ἑνικὰ μὲν τέσσαρα, ὁ τοῦ τῷ τόν· δυϊκὰ δὲ δύο, τὼ τοῖν· πληθυντικὰ δὲ τέσσαρα, οἱ τῶν τοῖς τούς. Πόσα ὑποτακτικὰ τῶν ἀρσενικῶν ὀνομάτων; δέκα· ἑνικὰ μὲν τέσσαρα, ὅς οὗ ᾧ ὅν· δυϊκὰ δὲ δύο, ὥ οἷν· πληθυντικὰ δὲ τέσσαρα, οἵ ὧν οἷς οὕς. Πόσα προτακτικὰ τῶν θηλυκῶν ὀνομάτων; δέκα· ἑνικὰ μὲν τέσσαρα, ἡ τῆς τῇ τήν· δυϊκὰ δὲ δύο, τὰ ταῖν· πληθυντικὰ δὲ τέσσαρα, αἱ τῶν ταῖς τάς. Πόσα ὑποτακτικὰ τῶν θηλυκῶν ὀνομάτων; δέκα· ἑνικὰ μὲν τέσσαρα, ἥ ἧς ᾗ ἥν· δυϊκὰ δὲ δύο, ἅ αἷν· πληθυντικὰ δὲ τέσσαρα, αἵ ὧν αἷς ἅς. Πόσα προτακτικὰ τῶν οὐδετέρων ὀνομάτων; δέκα· ἑνικὰ μὲν τέσσαρα, τὸ τοῦ τῷ τό· δυϊκὰ δὲ δύο, τὼ τοῖν· πληθυντικὰ δὲ τέσσαρα, τὰ τῶν τοῖς τά. Πόσα ὑποτακτικὰ τῶν οὐδετέρων ὀνομάτων; δέκα· ἑνικὰ μὲν τέσσαρα, ὅ οὗ ᾧ ὅ· δυϊκὰ δὲ δύο, ὥ οἷν· πληθυντικὰ δὲ τέσσαρα, ἅ ὧν οἷς ἅ.

ἀράω
compono
adapto

*Articulus*

*Accidentia articuli. 3.*

*Probat multis rationibus .ω. non esse articulū. hoc etiā technicus & si alias ꝓbet cōtrariū technic⁹*

Ἰστέον δὲ ὅτι τὸ ὦ τῆς κλητικῆς οὐκ ἄρθρον ἐστὶν, ἀλλὰ κλητικὸν ἐπίρρημα. οὐδὲν γὰρ ἔχει ἰδίωμα ἄρθρου. ψιλοῦται γὰρ τῶν ἀπὸ φωνήεντος ἀρχομένων ἄρθρων δασυνομένων. καὶ τῶν ἄρθρων προτακτικὰ ἐχόντων καὶ ὑποτακτικά, τοῦτο οὐδὲν τοιοῦτον φαίνεται ἔχον. καὶ τῶν ἄρθρων πρόδηλον γένος δηλούντων καὶ πρόδηλον ἀριθμόν, τοῦτο ἐπὶ πάντων τῶν γενῶν καὶ ἐπὶ πάντων τῶν ἀριθμῶν τὸ αὐτὸ λέγεται. καὶ τῶν ἄρθρων τρίτου προσώπου ὄντων τοῦτο δευτέρου προσώπου ἐστίν. ἐλέγχεται δὲ καὶ ἄλλως μὴ εἶναι ἄρθρον ἐπὶ τῶν πτωτικῶν. *Regula* ἡ κλητικὴ τὸν ἴσον χρόνον θέλει ἔχειν τῆς ἰδίας εὐθείας ἢ ἐλάττονα, οὐδέποτε δὲ μείζονα. τοῦτο δὲ μείζονα χρόνον ἔχει τοῦ ἐπὶ τῆς εὐθείας ο.

*De Pronomine*

## Περὶ ἀντωνυμίας.

Τί ἐστιν ἀντωνυμία; λέξις ἀντὶ ὀνόματος παραλαμβανομένη προσώπων ὡρισμένων δηλωτική. πόθεν ἀντωνυμία; παρὰ τὴν ἀντί πρόθεσιν καὶ τὸ ὄνομα. τὸ τῷ μέγα ὄνομα μόνον μικρόν. τὰ δὲ παρ' αὐτοῦ μεγάλα. οἷον ἀνώνυμος, δυσώνυμος. πόσα παρέπεται τῇ ἀντωνυμίᾳ; ἕξ· γένη, εἴδη, σχήματα, ἀριθμοί, πτώσεις, πρόσωπα.

*Pronominis accidentia sex.*

## Περὶ προθέσεως.

Τί ἐστι πρόθεσις; λέξις προτιθεμένη πάντων τῶν τοῦ λόγου μερῶν ἔν τε τῇ συνθέσει καὶ συντάξει. ἐν μὲν τῇ συνθέσει οἷον καταφορά, εἰσφορά. ἐν δὲ τῇ συντάξει οἷον ἐπὶ τῆς ἀττικῆς, κατὰ τῆς ἀττικῆς. πόσαι προθέσεις; τῇ μὲν φωνῇ ὀκτὼ καὶ δέκα, τῷ δὲ σημαινομένῳ ἑπτακαίδεκα. ἡ γὰρ ἀμφὶ καὶ ἡ περὶ τὸ αὐτὸ σημαίνουσι. καὶ ἐν τῷ ἅμα ὀφείλουσι λέγεσθαι. ὡς ἐν τῷ Ἕκτωρ δ' ἀμφὶ περιστρόφα καλλίτριχας ἵππους. καὶ μονοσύλλαβοι μὲν ἕξ· ἐν, εἰς, ἐξ, σύν, πρός, πρό. δισύλλαβοι δὲ δυοκαίδεκα· ἀνά, κατά, διά, μετά, παρά, ἀντί, ἐπί, περί, ἀμφί, ἀπό, ὑπό, ὑπέρ. πόσα παρέπεται τῇ προθέσει; πέντε· τὸ ὀξύνεσθαι. πᾶσα γὰρ πρόθεσις εἰ ἐπιδέχεται τόνον ὀξύνεται. τὸ βραχυκαταληκτεῖν. πᾶσα γὰρ πρόθεσις βραχυκαταληκτεῖ, πλὴν τῆς εἰς καὶ ἐξ, αἵτινες καὶ ἐς καὶ ἐκ λέγονται. τὸ μέχρι τῆς δισυλλαβίας αὔξεσθαι. τὸ διὰ ψιλοῦ συμφώνου ἐκφέρεσθαι, πλὴν τῆς ἀμφί. καὶ τὸ ψιλοῦσθαι. πᾶσα γὰρ πρόθεσις ἀπὸ φωνήεντος ἀρχομένη ψιλοῦται, πλὴν τῆς ὑπό καὶ ὑπέρ. τὸ γὰρ υ πάσης λέξεως ἄρχον δασύνεται, πλὴν τῶν ὕμμιν καὶ ὕμμες αἰολικῶς. οἱ γὰρ αἰολεῖς ἀγνοοῦσι τὴν δασεῖαν. πόσαι τῶν προθέσεων ἀναστρέφονται; ἕξ· ἡ μετά, ἡ παρά, ἡ ἐπί, ἡ περί, ἡ ἀπό, καὶ ἡ ὑπό. Ἰστέον ὅτι ἡ ἐν πρόθεσις προσλαμβάνει τὸ ι καὶ γίνεται ἐνὶ καὶ μετάγεται εἰς ῥηματικὴν σημασίαν, ὡς ἐν τῷ οὐκ ἔνι ἐκεῖ δοῦλος οὔτε ἐλεύθερος, ὅθεν καὶ τὸ ἐνίοτε. ἡ δὲ πρὸς προσλαμβάνει τὸ ι καὶ ἐκθλίβει τὸ ρ καὶ τρέπει τὸ σ εἰς τ καὶ γίνεται ποτὶ, ὡς ἐν τῷ δῖος ποτὶ χαλκοβατὲς δῶ. λέγεται δὲ καὶ μετὰ τοῦ ρ, οἷον προτὶ ἴλιον.

*Præpositio. acci. 5 — Omnis prepositio suscipiens tonū acuitur. — Aeolis Ignorant aspirationem — Omnis dictio ab υ. incipiens aspiratur — πρός, ποτί, προτί idē — Homerus*

## Περὶ ἐπιρρήματος.

*i. de verbo dicta vel verbo addita scr. interp.*

Τί ἐστιν ἐπίρρημα; μέρος λόγου ἄκλιτον κατὰ ῥήματος λεγόμενον ἢ ἐπιλεγόμενον ῥήματι. παρέπεται δὲ τοῖς ἐπιρρήμασιν εἶδος καὶ σχῆμα. τὰ μὲν γὰρ αὐτῶν εἰσὶ πρωτότυπα, τὰ δὲ παράγωγα. καὶ τὰ μὲν ἁπλᾶ οἷον πάλαι, τὰ δὲ σύνθετα οἷον πρόπαλαι. ποσαχῶς τὰ ἐπιρρήματα; πολλαχῶς. ἢ γὰρ χρόνου δηλωτικά εἰσιν, οἷον νῦν, τότε, αὖθις, τόφρα, ὄφρα, τέως, ἕως, τημίκα, ἡνίκα, ἄψ, ἔπειτα, μετέπειτα. ἢ καιροῦ παραστατικά, οἷον σήμερον, αὔριον, χθές, ὃ καὶ ἐχθὲς λέγεται. ἢ μεσότητος, οἷον καλῶς, σοφῶς. ἢ ποσότητος, οἷον δίς, τρίς, τετράκις, πεντάκις, πολλάκις, ὀλιγάκις. ἢ ποιότητος, οἷον βοτρυδόν, ἀγεληδόν. ἢ τοπικά, οἷον ἄνω, κάτω, ἔξω, ἔσω, πόρρω, ἐνώπιον, καταμόνας, χαμαί, ἔνθεν, ἔνθα, ὅθεν, ἐπέκεινα, μακράν. τῶν δὲ τοπικῶν σχέσεις εἰσὶ τρεῖς· ἢ ἐν τόπῳ, ἢ εἰς τόπον, ἢ ἐκ τόπου, οἷον οἴκοι, οἴκαδε, οἴκοθεν. ἢ εὐχῆς σημαντικά, οἷον εἴθε, αἴθε, ὤφελον. ἢ σχετλιαστικά, οἷον ἰού, οὐαί, ὤμοι, οἴμοι, παπαί. ἢ θαυμαστικά, οἷον βαβαί, φεῦ. ἢ ἀρνητικά, οἷον οὐ, οὐδαμῶς, οὐκοῦν. ἢ παραβολῆς ἢ ὁμοιώσεως, οἷον ὡς, ὥσπερ, καθά, καθάπερ, ἠΰ, ἠΰτε. ἢ εἰκασμοῦ, οἷον ἴσως, τάχα, τυχόν. ἢ τάξεως, οἷον ἑξῆς, ἐφεξῆς. ἢ ἀθροίσεως, οἷον ἄρδην, ἅμα. ἢ παρακελεύσεως, οἷον ἄγε, φέρε, εἶα, δεῦρο, ἴθι. ἢ συγκρίσεως, οἷον μᾶλλον, ἧττον. ἢ ἐρωτήσεως, οἷον πόθεν, ποῦ, πηνίκα, πῶς

*Adverbiū qd — Localia adverbia — παπαί dolentis*

ἢ ἐπιτάσεως· οἷον λίαν ἄγαν πάνυ μάλιστα σφόδρα. ἢ βε-
βαιώσεως· οἷον δηλαδὴ δήπουθεν πάντως ἀμήν. ἢ θετι-
κά· οἷον ἀναγνωστέον πλευστέον. ἢ κατωμοτικά· οἷον ναί. ἢ ἀ-
πωμοτικά· οἷον μά. ἢ θαυμασμοῦ· οἷον ὤ. οἴ. ἄν. Πόθεν
γίνονται τὰ ἐπιρρήματα· ἀπὸ πάντων τῶν τοῦ λόγου
μερῶν. ἀπὸ ὀνόματος· ὡς ἀπὸ τοῦ φρόνιμος τὸ φρονίμως.
ἀπὸ ῥήματος· ὡς ἀπὸ τοῦ αἴρω τὸ ἄρδην. ἀπὸ μετοχῆς·
ὡς ἀπὸ τοῦ ἐπιστάμενος τὸ ἐπισταμένως. ἀπὸ ἄρθρου·
ὡς ἀπὸ τοῦ τῇ τὸ τῇδε ἀντὶ τοῦ ἐνταῦθα. ἀπὸ ἀντωνυ-
μίας· ὡς ἀπὸ τοῦ τούτων τὸ οὕτως. ἀπὸ προθέσεως·
ὡς ἀπὸ τοῦ ἀνὰ τὸ ἄνω. ἀπὸ ἐπιρρήματος· ὡς ἀπὸ τοῦ
ἐγγὺς τὸ ἐγγύτερος. ἀπὸ συνδέσμων· ὡς ἀπὸ τοῦ μὲν καὶ
τοῦ οὖν καὶ τοῦ γε τὸ μενοῦνγε· ἀντὶ τοῦ μᾶλλον μὲν οὖν.
Διατί λέγονται μεσότητος τὸ καλῶς τὸ σοφῶς καὶ τὰ
τῆς ἀκολουθίας τούτων· διότι ἀπὸ τῆς γενικῆς τῶν πλη-
θυντικῶν γίνονται· ἣ τοῖς τρισὶ γένεσιν ἐστὶ κοινή.

## Περὶ συνδέσμου.

Τί ἐστι σύνδεσμος· λέξις συνδέουσα τὰ ἄλλα μέρη τοῦ λό-
γου εἰς διάνοιαν μετὰ τάξεως· καὶ τὸ τῆς ἑρμηνείας κε-
χηνὸς πληροῦσα· καὶ γίνεται ἀπὸ τοῦ συνδεῖν τὸ δεσμεῖν.
Πόσοι τρόποι τῶν συνδέσμων· ὀκτώ· οἱ μὲν γάρ εἰσι συμ-
πλεκτικοί· οἱ δὲ διαζευκτικοί· οἱ δὲ συναπτικοί· οἱ δὲ πα-
ρασυναπτικοί· οἱ δὲ αἰτιολογικοί· οἱ δὲ ἀπορρηματικοί· οἱ
δὲ συλλογιστικοί· οἱ δὲ παραπληρωματικοί. Τίνες εἰσὶ
συμπλεκτικοί· ὅσοι τὴν ἑρμηνείαν ἐπ' ἄπειρον ἐκφερομένην
συνδοῦσιν· εἰσὶ δὲ οἵδε· μέν· δέ· τε· καί· ἀλλά· ἠμέν· ἠδέ· ἰδέ·
ἀτάρ· αὐτάρ· ἤτοι· κέν· ἄν. Τίνες εἰσὶ διαζευκτικοί· ὅσοι
τὴν μὲν φράσιν συνδοῦσιν· ἀπὸ δὲ πράγματος εἰς πρᾶγ-
μα διιστῶσιν· εἰσὶ δὲ οἵδε· ἤ· ἤτοι· ἠέ. Τίνες εἰσὶ συναπτικοί·
ὅσοι ὕπαρξιν μὲν οὐ δηλοῦσι· σημαίνουσι δὲ ἀκολουθίαν
καὶ τάξιν· εἰσὶ δὲ οἵδε· εἰ· εἴπερ· εἰδή· εἰδήπερ. Τίνες εἰσὶ πα-
ρασυναπτικοί· ὅσοι μεθ' ὑπάρξεως καὶ τάξιν δηλοῦσιν· εἰσὶ
δὲ οἵδε· ἐπεί· ἐπείπερ· ἐπειδή· ἐπειδήπερ. Τίνες εἰσὶν αἰτιολο-
γικοί· ὅσοι ἐπ' ἀποδόσει αἰτίας παραλαμβάνονται· εἰσὶ
δὲ οἵδε· ἵνα· ὄφρα· ὅπως· ἕνεκα· οὕνεκα· γάρ· καθό· καθότι· καὶ



διό· διότι· παρὰ τοῖς νῦν· ἃ οἱ παλαιοὶ διῄρουν. Τίνες εἰ-
σὶν ἀπορρηματικοί· ὅσοις ἐπαποροῦντες εἰώθαμεν χρῆ-
σθαι· εἰσὶ δὲ οἵδε· ἆρα· κἆτα· μῶν. Τίνες εἰσὶ συλλογιστικοί·
ὅσοι πρὸς τὰς ἐπιφοράς τε καὶ συλλήψεις τῶν ἀποδεί-
ξεων εὖ διάκεινται· εἰσὶ δὲ οἵδε· ἄρα· ἀλλά· ἀλλαμήν· τοίνυν·
τοιγάρτοι· τοιγαροῦν. Τίνες εἰσὶ παραπληρωματικοί· ὅ-
σοι μέτρου ἢ κόσμου ἕνεκεν παραλαμβάνονται· εἰσὶ δὲ οἵ-
δε· δή· ῥά· νύ· ὃ καὶ νῦν γράφεται· ἀφοῦ τὸ τοίνυν· πού· τοί· θήν·
ἄρ· δῆτα· πέρ· πώ· μήν· ἄν· αὖ· οὖν· κέν· γέ. Τινὲς δὲ προστιθέα-
σι καὶ ἐναντιωματικούς· τίνες εἰσὶν ἐναντιωματικοί· οἱ δη-
λοῦντες τὸ ἐναντίον τῇ δυνάμει τοῦ πράγματος· οἷον ἔμ-
πης ὅμως. Ἰστέον ὅτι πολλοὶ σύνδεσμοι οἱ αὐτοὶ ἐπὶ πολ-
λῶν τρόπων λέγονται· ὡς ὁ ἀλλὰ καὶ συμπλεκτικὸς καὶ συλλο-
γιστικός· ὁ ἂν καὶ συμπλεκτικὸς καὶ παραπληρωματικός.

## Ἀρχὴ σὺν θεῷ τῶν ἀρσενικῶν κανόνων κανὼν α.

Αἴας ποίου μέρους λόγου ἐστίν· ὀνόματος. ποίου γένους
ἀρσενικοῦ· ποίου εἴδους· παραγώγου· ποίου εἴδους τῶν
παραγώγων· ῥηματικοῦ· ποίου σχήματος· ἁπλοῦ· ποί-
ου ἀριθμοῦ· ἑνικοῦ· ποίας πτώσεως· ὀρθῆς καὶ εὐθείας τῶν
ἑνικῶν. ὁ αἴας· πόσα μέρη λόγου εἰσί· δύο· ὁ ἄρθρον· αἴας
ὄνομα· ὁ αἴας ὁ κανὼν οὐκ ἔχει· αἱ ἀρχαὶ καὶ τὰ θέματα κανό-
νας οὐκ ἔχουσιν ἐπὶ τίνων λέγονται αἱ ἀρχαὶ καὶ ἐπὶ τίνων τὰ
θέματα· ἐπὶ μὲν τῶν ὀνομάτων αἱ ἀρχαί· ἐπὶ δὲ τῶν ῥημά-
των τὰ θέματα. ὁ αἴας ποίου τόπου τῆς ὀξείας· τῆς πα-
ραληγούσης· πῶς λέγεται τὸ ἐπὶ τῆς παραληγούσης ἔ-
χον τὴν ὀξεῖαν· παροξύτονον καὶ βαρύτονον. πόθεν γίνεται τὸ ὁ
τὸ ἄρθρον· ἐκ τοῦ τὸς ἀρσενικοῦ δωρικοῦ ὅπερ ἀποβολῇ τοῦ
τ· γίνεται ὅς· καὶ ἵνα μὴ συνεμπέσῃ τῷ ὑποτακτικῷ ἄρ-
θρῳ τῷ ὅς ἀποβολῇ τοῦ σ καὶ τοῦ σφοδροῦ τόνου γίνεται ὁ·
τὸ ὁ ποίου τῶν ἄρθρων προτακτικοῦ ἢ ὑποτακτικοῦ· προτακ-
τικοῦ· διόρισον· καὶ ἐστὶ προτακτικὸν μὲν ὁ· ὑποτακτικὸν δὲ ὅς·
τί διαφέρει τὰ προτακτικὰ τῶν ὑποτακτικῶν· διαφέρει ὅτι τὰ
μὲν προτακτικὰ ἢ πνεύματα ἢ τόνους ἐπιδέχονται· τὰ δὲ ὑπο-
τακτικὰ καὶ πνεύματα καὶ τόνους. ὁ αἴας τὸ ο μικρὸν πᾶν

ἄρθρον ὀρθῆς καὶ αἰτιατικῆς ἑνικῆς πτώσεως, ἐπὶ μὲν ἀρσενικοῦ καὶ οὐδετέρου γένους βραχυκατάληκτον· καὶ διὰ τοῦ ο μικροῦ γράφεται· ἐπὶ δὲ θηλυκοῦ μακροκατάληκτον· καὶ διὰ τοῦ η γράφεται· μακρόν ἐστιν ἢ βραχύ. βραχέα δύο ε ψιλὸν καὶ ο μικρόν. ἐπὶ τῷ ὅ τί πνεῦμα; δασεῖαν. πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται. οὐκ ἀντίκειται τῷ λόγῳ τὸ τῆς κλητικῆς ὦ ψιλούμενον. οὐ γὰρ ἄρθρον ἐστί. πόθεν αἴας; παρὰ τὸ αἰάζω τὸ θρηνῶ. τούτου ὁ μέλλων αἰάσω. καὶ ἀποβολῇ τοῦ ω. καὶ μεταθέσει τοῦ τόνου αἴας. θρηνῶν γὰρ ἔπαθεν ἄξια. τὸ αι δίφθογγον· αἰάσω ἀντὶ τοῦ θρηνήσω δίφθογγον. ἐάσω δὲ ἀντὶ τοῦ καταλείψω ψιλόν. τὸ αι μακρόν ἐστιν ἢ βραχύ; μακρόν. αἱ δίφθογγοι πᾶσαι φύσει μακραί εἰσιν. ἐπὶ τῷ αι τί πνεῦμα; ψιλήν. ἡ αι δίφθογγος ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται· εἰ μὴ τὸ μ ἐπάγοιτο. οἷον αἰδοῦμαι τὸ ἐντρέπομαι. αἴας. αἰζηὸς ὁ νέος. καὶ τὰ ὅμοια. αἷμα δὲ καὶ αἱμύλος δασύνεται· καὶ αἱμασιὰ ὁ φραγμός. σεσημείωται τὸ αἱρῶ τὸ κρατῶ καὶ καταβάλλω. καὶ αἱροῦμαι τὸ βούλομαι καὶ προκρίνω δασυνόμενα. ἐπὶ τῷ αι τίνα τόνον; ὀξεῖαν. διὰ τί; μακρὰ πρὸ μακρᾶς οὐ περισπᾶται. τὸ ας μακρόν. τὰ εἰς ας ἀρσενικὰ βαρύτονα εἴτε ὀνόματα εἴτε μετοχαὶ ἐκτείνονται. οἷον αἴας. θόας. αἰνείας. λέξας. τύψας. ποιήσας. σεσημείωται τὸ μέγας καὶ τὸ λᾶας. ὁ λίθος βραχυνόμενα. τὸ αἴας πῶς κλίνεται; τοῦ αἴαντος. ὁ κανών. τὰ εἰς ας καθαρὸν ὀνόματα δισύλλαβα βαρύτονα μακροκατάληκτα διὰ τοῦ ντ κλίνονται· αἴας αἴαντος. θόας θόαντος. ποῖον λέγεται καθαρόν; τὸ μὴ ἔχον ὄπισθεν σύμφωνον. τοῦ αἴαντος πόσα μέρη λόγου εἰσί; δύο· τοῦ ἄρθρον. αἴαντος ὄνομα. τὸ τοῦ ποίου τῶν ἄρθρων; προτακτικοῦ. διορισμόν. καὶ ἐστι προτακτικὸν μὲν τοῦ, ὑποτακτικὸν δὲ οὗ. ἐπὶ τῷ του περισπωμένην· πᾶσα γενικὴ καὶ δοτικὴ μακροκατάληκτος οὖσα ἐπὶ τῆς μακρᾶς ἔχουσα τὸν τόνον περισπᾶται. ἐπὶ τῷ αι τίνα τόνον; ὀξεῖαν. πρὸ δύο συλλαβῶν περισπωμένη οὐ τίθεται. ὁ τόνος ἐπὶ τίνος ἐστὶ; τῆς προπαραληγούσης. ὡς ἐπὶ τὸ

ε. ο.

αἴας πόθεν

Omnes diph. natura longe

Rª orthogra.

Longa ante longā nō cir.

Rª. quantita.

~~Regula~~

Rª. declinatio

καθαρὸν q̄d

Omnis geniti & datiuus circ.

Ante duas sylla. circūfl. nō po.

Omnis articulus

as · longum

Purū q̄d dicat[r]



# non debuerūt deleri hæc uerba ex technico optime n. q̄drant.

πλεῖστον ἡ γενικὴ ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ εὐθεῖα. τὸ αν μακρόν ἐστιν ἢ βραχύ; μακρὸν φύσει ἢ θέσει. πάντα τὰ διὰ τοῦ ντ κλινόμενα εἰ μὴ συναίρεσιν ὑπομένει, τὴν ἐπὶ τῆς ἰδίας εὐθείας φύσει μακράν, ἐν τῇ γενικῇ εἰς θέσιν μεταποιοῦσιν. οἷον χαρίεις χαρίεντος. λέων λέοντος. οὕτω καὶ αἴας αἴαντος. τὸ τος μικρόν. πᾶσα γενικὴ περιττοσυλλαβοῦσα τῇ ἰδίᾳ εὐθείᾳ βραχυκατάληκτος. ἐὰν δὲ ἰσοσυλλαβῇ μακροκατάληκτος. ἡ δοτικὴ τῶν ἑνικῶν τῷ αἴαντι. ὁ κανών. πᾶσα γενικὴ εἰς ος λήγουσα, τροπῇ τοῦ ος εἰς ι τὴν δοτικὴν ποιεῖ. τὸ τῷ μέγα. καθόλου τὰ ἄρθρα τῆς δοτικῆς τῶν ἑνικῶν καὶ τῆς εὐθείας τῶν δυϊκῶν καὶ τῆς ~~δοτικῆς~~ # τῶν πληθυντικῶν μακροκαταληκτοῦσι. ~~καὶ διὰ τοῦ ω μεγάλου γράφονται~~. ἐπὶ τῷ τῷ περισπωμένην. πᾶσα γενικὴ καὶ δοτική. τῷ τῷ τί προσγράφεται; ι. πᾶσα γὰρ δοτικὴ ἐπὶ παντὸς ἀριθμοῦ τὸ ι θέλει ἔχειν. ποτὲ ἐκφωνεῖται τὸ ι καὶ ποτὲ προσγράφεται. ἐὰν μὲν μετὰ βραχέος φωνήεντος ἢ ὡς ἐπὶ τὸ πλεῖστον ἐκφωνεῖται. σπανίως δὲ καὶ προσγράφεται ὡς ἐν τῷ γήρᾳ καὶ ᾅδης. ἐὰν δὲ μετὰ μακροῦ φωνήεντος οὐκ ἐκφωνηθήσεται. τὸ τι ι. πᾶσα δοτικὴ ἐπὶ παντὸς ἀριθμοῦ τὸ ι ἔχει. μακρόν ἐστιν ἢ βραχύ; βραχύ. πᾶσα λέξις προπαροξυνομένη ἔχουσα ἐπὶ τέλους δίχρονον συνεσταλμένον αὐτὸ ἔχει. ὁ τόνος ἐπὶ τῆς προπαραληγούσης. πᾶσα δοτικὴ ἰσοσυλλαβοῦσα τῇ γενικῇ καὶ τὸν τόνον αὐτῆς ἔχει ὁμοίως καὶ τὸν χρόνον. ἡ αἰτιατικὴ τὸν αἴαντα. ὁ κανών. πᾶσα δοτικὴ ἑνικῶν εἰς ι ἐκφωνούμενον λήγουσα, τροπῇ τοῦ ι εἰς α τὴν αἰτιατικὴν ποιεῖ. ἐπὶ τῷ τὸν ὀξεῖαν. πᾶσα ὀρθὴ καὶ αἰτιατικὴ μὴ οὖσα ἀπὸ συναιρέσεως ὀξύνεται. ἐν δὲ τῇ συνεπείᾳ τὴν ὀξεῖαν εἰς βαρεῖαν τρέπουσι. τί ἐστι συνέπεια; ἡ κατὰ συνέχειαν ἀνάγνωσις τῶν λέξεων. πόθεν γίνεται συνέπεια; ἐκ τῆς συν προθέσεως καὶ τοῦ ἕπομαι τὸ ἀκολουθῶ. ἐπὶ τῷ αι ὀξεῖαν πρὸ δύο συλλαβῶν. ὁ τόνος ἐστὶ τῆς προπαραληγούσης. πᾶσα αἰτιατικὴ ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ γενική. πλὴν



/// intelligendū si hīt accentum in ultima

Regula

γενικῶς ex technico

γήρᾳ ᾅδης. ϋ.

Omnis nomina & accusatiuus

Rª. accētus

Genitiuus in eodē loco accentuatur ubi nominatiui ferme

Regula de genitiuo. q̄nti os. ι.

Omnis datiuus .i. habet

Quādo .i. enūciatur uel nō

Regula q̄nti α

Rª. accē. & q̄nt.

De tono & chrono datiui

Regula de accusatiuo

Synepia

Rª declina.

De genitiuis In os sylla. 2.

τῶν ἐχόντων γενικὰς εἰς ος δισυλλάβους. ἐπ᾽ ἐκείνων γὰρ ἀνάγκη. τὰς μὲν γενικὰς ὀξύνεσθαι. οἷον διὸς βοός. τὰς δὲ αἰτιατικὰς παροξύνεσθαι. οἷον τὸν βόα. τὸν δία. ἡ κλητικὴ ὦ αἶαν. ὁ κανών. πᾶσα γενικὴ διὰ τοῦ ντ κλινομένη καὶ μὴ διφθόγγῳ παραληγομένη ἀποβολῇ τῆς τος ποιεῖ τὴν κλητικήν. τὸ ω μέγα. τὸ ω τῆς κλητικῆς ἐπὶ παντὸς γένους καὶ ἀριθμοῦ διὰ τοῦ ω μεγάλου γράφεται καὶ ψιλοῦται καὶ περισπᾶται. καὶ ἄλλως τὸ ω σχετλιαστικὸν μὲν ὂν καὶ θαυμαστικὸν ψιλοῦται καὶ ὀξύνεται. κλητικὸν δὲ ψιλοῦται καὶ περισπᾶται. ἐπὶ τῷ αἶ τίνα τόνον περισπωμένην. πᾶσα φύσει μακρὰ πρὸ βραχείας ληκτικῆς ἐν ἑνὶ μέρει λόγου οὖσα. καὶ ἐφ᾽ ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται. τὸ αν μακρόν ἐστιν ἢ βραχύ. πᾶσα κλητικὴ τὸν ἴσον χρόνον θέλει ἔχειν τῆς ἰδίας εὐθείας ἢ ἐλάττονα. οὐδέποτε δὲ μείζονα. πόθεν δῆλον; ὅτι ἔχει ἐνταῦθα τὸν ἐλάττονα. ἀπὸ τῆς γενικῆς ἀφῆς γενόμενον. ἐκεῖ γὰρ θέσει ἦν μακρὸν τὸ αν ἐκτεινόμενον ὑπὸ τοῦ ν τ. ἐκβληθέντος οὖν τοῦ τ κατελείφθη φύσει βραχύ. ὁ τόνος ἐπὶ τῷ αι. πᾶσα κλητικὴ ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ᾽ ἧς καὶ ἡ εὐθεῖα. πλὴν τῶν εἰς ης συνθέτων κυρίων βαρυτόνων ἢ καὶ περισπωμένων ἀπὸ συναιρέσεως. ἐπ᾽ ἐκείνων γὰρ ἡ κλητικὴ ἀναβιβάζει τὸν τόνον. οἷον ὦ δημόσθενες. ὦ μητρόφανες. ὦ ἡράκλεες καὶ ὦ ἡράκλεις κατὰ κρᾶσιν. ὅπερ ἠκολούθησε ταῖς πληθυντικαῖς κλητικαῖς. διὸ καὶ δι᾽ ει διφθόγγου γράφεται. τοιοῦτον καὶ τὸ σοφόκλεις. περίκλεις. θεμιστόκλεις. ἐμπεδόκλεις. καὶ τινῶν τῶν εἰς ων οἷον ὦ πόσειδον. ὦ ἀγάμεμνον. ὦ ἄπολλον. καὶ τῶν εἰς ηρ. ὧν ἡ κλητικὴ εἰς ερ. οἷον σῶτερ. θύγατερ. ἆνερ. ἡ εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυϊκῶν τὼ αἴαντε. ὁ κανών. πᾶσα δοτικὴ ἑνικῶν εἰς ι ἐκφωνούμενον λήγουσα. τροπῇ τοῦ ι εἰς ε. τὴν εὐθεῖαν καὶ αἰτιατικὴν τῶν δυϊκῶν ποιεῖ. οἷον τῷ αἴαντι τὼ αἴαντε. τῷ βήματι τὼ βήματε. τῇ φιλότητι τὰ φιλότητε. ἐπὶ τῷ τω τίνα τόνον ὀξεῖαν. πᾶσα ὀρθὴ καὶ αἰτιατικὴ τὶ προσγράφεις οὐδὲν ἵνα μὴ συνεμπέσῃ τῇ δοτικῇ τῶν ἑνικῶν. καὶ ἵνα μὴ εὑρεθῇ τὸ ι τελικὸν ἐπὶ τῆς εὐθείας τῶν δυϊκῶν. τὸ τε ψιλὸν

Regula de vocatiuo ῶ ὢ

Omnis longa natura ante breue circumflectit.

De Tono vocatiui

ὦ Δημόσθενες

Rª declinatio

De nominatiuo duali cui no subscribit. i.

ὦ Regula de vocatiuo

Cur in uocatiuo δημόσθενες μητρόφανες ἡράκλεες & per synaeresin ἡράκλεις ἀγάμεμνον πόσειδον ἄπολλον

ὦ θύγατερ nota accentu



ἀεὶ γὰρ ἡ εὐθεῖα τῶν δυϊκῶν. καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν ἀπὸ περιττοσυλλάβου γενικῆς γενόμεναι, βραχυκαταληκτοῦσιν ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ γένους καὶ διὰ τοῦ ε ψιλοῦ γράφονται. ἀπὸ δὲ ἰσοσυλλάβου οὐ δύναται διὰ τοῦ ε ψιλοῦ ἐκφέρεσθαι. ἡ γενικὴ καὶ δοτικὴ τῶν δυϊκῶν τοῖν αἰάντοιν. ὁ κανών. πᾶσα εὐθεῖα καὶ αἰτιατικὴ δυϊκῶν εἰς ε ἢ εἰς ω μέγα λήγουσα. εἰς οιν ποιεῖ τὴν γενικὴν καὶ δοτικὴν τῶν δυϊκῶν. οἷον τὼ ἄνδρε τοῖν ἀνδροῖν. τὰ αἰδὼ ταῖν αἰδοῖν. τὸ τοῖν δίφθογγον. πᾶσα γὰρ δοτικὴ ἐπὶ τῷ τοῖν τῷ προτέρῳ περισπωμένην. πᾶσα γενικὴ καὶ δοτικὴ μακροκατάληκτος. ἐπὶ τῷ αν ὀξεῖαν ἐπάνω θέσει μακρᾶς περισπωμένη οὐ τίθεται. διὰ τί καταβιβάζει τὸν τόνον. μακρᾶς γὰρ οὔσης ἐπὶ τέλους οὐ δύναται προπαροξυνθῆναι λέξις. καὶ οὐ λέγει ὁ κανών. ὅτι ἡ αι καὶ ἡ οι δίφθογγος ἐν τέλει λέξεων εὑρισκόμεναι ἀντὶ βραχέων λογίζονται, ναὶ ἀλλ᾽ ὅταν προσλάβωσι τὸ ν ἢ τὸ σ. τὸν ἴδιον χρόνον φυλάττουσι. καὶ εἰσὶ φύσει μακραί. ἡ κλητικὴ τῶν δυϊκῶν ὦ αἴαντε. ὁ κανὼν τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν. ὡς ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική. ἡ εὐθεῖα τῶν πληθυντικῶν. οἱ αἴαντες. ὁ κανών. πᾶσα εὐθεῖα καὶ αἰτιατικὴ δυϊκῶν εἰς ε ψιλὸν λήγουσα. προσθέσει τοῦ σ ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν. τὸ οι δίφθογγον. πᾶσα εὐθεῖα πληθυντικῶν ἀρσενικῶν τε καὶ θηλυκῶν εἰς φωνῆεν λήγουσα εἰς ι. θέλει λήγειν μακρόν ἐστιν ἢ βραχύ. βραχὺ ἡ αι καὶ ἡ οι δίφθογγος ἐν τέλει λέξεων εὑρισκόμεναι ἀντὶ βραχέων λογίζονται. πλὴν τῶν εὐκτικῶν καὶ τῶν ἐπιρρημάτων καὶ τῶν ἀπὸ συναιρέσεως γινομένων. εὐκτικῶν μὲν οἷον τύπτοι. ἐπιρρημάτων δὲ οἷον οἴκοι. πλὴν τοῦ πάλαι. τοῦτο γὰρ ἐπίρρημα ὂν βραχυκαταληκτεῖ. καὶ δῆλον ἀπὸ τοῦ πρόπαλαι. ἀπὸ συναιρέσεως δὲ γινομένων. οἷον σαπφοῖ λητοῖ. ἐπὶ τῷ οι δασεῖαν. πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται. τὸ οἱ ποίου τῶν ἄρθρων προτακτικοῦ. καὶ ἐστὶ προτακτικὸν μὲν οἱ χωρὶς τόνου. ὑποτακτικὸν δὲ οἳ μετὰ τόνου. ἡ γενικὴ τῶν πληθυντικῶν τῶν αἰάντων. ὁ κανών. πᾶσα γενικὴ πληθυντικῶν κοινὴ



ἢ καί

Reg. de nom. duali & plur.

R. de g° & d° duali.

Sup longa positione circumflexus non ponitur

Interrogat. & Responsio

Regula de ai. & oi. cum consonante

Regula declinatio

Ergo μενέλεῳ

Regula ai & oi pro breuibus exceptis aduerbiis & optatiuis

Regula de genitiuo plurali.

πάλαι πρόπαλαι

Doriensium mut. In genit. plis.

Ra ortho. tequnti

Regula de ge[nitivo] datiuo plura.

ἅς ὁμ λήγει ἐπὶ παντὸς γένους. διατί εἴρηται κοινή· διότι
οἱ δωριεῖς διὰ τοῦ α προφέρουσι τὰς περισπωμένας
γενικὰς τῶν πληθυντικῶν· τῶν μουσῶν καὶ πασῶν πα-
σᾶν λέγοντες καὶ μουσᾶν· τὸ τῶν τὸ ἐπὶ τέλους μέγα.
καθόλου ἡ κοινὴ γενικὴ τῶν πληθυντικῶν μακροκατάληκτος
καὶ διὰ τοῦ ω μεγάλου γράφεται· ἡ δοτικὴ τῶν πληθυν-
τικῶν τοῖς αἴασιν. ὁ κανὼν· πᾶσα δοτικὴ ἑνικῶν εἰς ι ἐκ-
φωνούμενον λήγουσα πρὸ τοῦ ι δεχομένη τὸ σ, παραιτη- (abijciens)
σαμένη τε τὰ μὴ δυνάμενα συναυτῇ ἀκουσθῆναι στοιχεῖα.
εἰ δὲ οὐ σύμφωνον ἔχει πρὸ τοῦ ι καὶ τοῦ πρὸ τοῦ σ προσ-
λαβοῦσα ει καὶ ἡ εὐθεῖα τουτ' ἔχει ἐν διφθόγγῳ καὶ αὐξήσασα
τὴν παραλήγουσαν ἐκ τὰς ει διχρόνου ἢ προσθήκη φωνήεν- (.i. scil. in diphthongatio nez)
τος οἰκείου ἔχοντος προστεθῆναι εἰ περιῃρημένων τῶν μὴ
δυναμένων συναυτῇ ἀκουσθῆναι συμφώνων, βραχυτέρα
ἡ παραλήγουσα αὐτῆς καταλείποιτο τῆς παραληγού-
σης τῶν ἄλλων πτώσεων· τὴν δοτικὴν τῶν πληθυντικῶν
ποιεῖ· οἷον αἴαντι αἴασι· βοὶ βουσί· πηλεῖ πηλεῦσι· λέοντι λέ-
ουσι· θεράποντι θεράπουσι· τί παρῃτήσατο ἐνταῦθα τὸ
ν καὶ τὸ τ· ἰστέον δὲ ὅτι ἡ δοτικὴ τῶν πληθυντικῶν πρὸ
τοῦ ι τὸ σ θέλει ἔχειν· ἐνίοτε μὲν δυνάμει· ἐνίοτε δὲ ἐνεργείᾳ·
δυνάμει μὲν ὡς φοίνιξιν· ἐνεργείᾳ δὲ ὡς αἴασιν· ἐπὶ τῶ τοῖς
περισπωμένην· πᾶσα γενικὴ καὶ δοτικὴ τὸ α μακρόν· ὅτι
κατὰ τὴν παραλήγουσαν ἰσόχρονον θέλει ταῖς ἄλλαις
πλαγίαις ἡ δοτικὴ τῶν πληθυντικῶν· ἐνίοτε δὲ καὶ μείζο-
να χρόνον θέλει ἔχειν ὡς ἐπὶ τοῦ λέοντος λέουσι· καὶ λέγον-
τος λέγουσι· μετὰ τοῦ ν γράφεσθαι ἢ χωρὶς τοῦ ν· καὶ μετὰ
τοῦ ν καὶ χωρὶς τοῦ ν· τὸ γὰρ ν ἐφελκυστικόν ἐστιν ἐν τοῖς τρί-
τοις προσώποις τῶν ῥημάτων τοῖς εἰς ι· ἢ εἰς ε ψιλὸν λή- (.i. in sequenti dictione)
γουσι· καὶ ἐν ταῖς δοτικαῖς τῶν πληθυντικῶν φωνήεντος ἐπι-
φερομένου· συμφώνου δὲ οὐκέτι· ἡ αἰτιατικὴ τῶν πληθυντικῶν
τοὺς αἴαντας· ὁ κανὼν πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς α λήγουσα
προσθέσει τοῦ σ ποιεῖ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν· καὶ ἀλ-
λως πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ες λήγουσα τροπῇ τοῦ ε
εἰς α τὴν αἰτιατικὴν τῶν πληθυντικῶν ποιεῖ· τὸ τας βραχύ.

r kj. t.

De penultima datiui pluralis

De .v. attracto in tribus locis

Ra. declinati.

Ra. declinati.



Regula de tempore a casatiui pl.

αἱ μὲν εἰς αι λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν ἐκτείνουσι
τὸ α τῶν αἰτιατικῶν· αἱ δὲ εἰς ες συστέλλουσιν· ἡ κλητικὴ ὦ
αἴαντες· ὁ κανὼν τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν.
παράδειγμα.

αις · ὁ θέων θόας παρὰ τὸ θέω τὸ τρέχω· τὸ θο μικρόν· τὰ ἔχον-
τα τὸ ε ἐγκείμενον ἐν τοῖς ῥήμασιν ἔχουσι τὸ ο ἀντὶ πα-
ρακείμενον ἐν τοῖς ὀνόμασιν· οἷον θέω θόας· τρέχω τροχός·
λέγω λόγος· πῶς κλίνεται τοῦ θόαντος· ὁ κανὼν ὡς τοῦ
αἴαντος.

Regula excellens. E uerborum uerti in nominibus in ο̄.

(limant) κανὼν β.

αις · ὁ θέων κοχλίας παρὰ τὸ κόχλος· λέγονται δὲ οὕτω πάν-
τα τὰ ἔχοντα ὄστρακα κυκλοτερῆ· τὸ κο μικρόν· τὸ ο ὅτε
κατ' ἀρχὴν λέξεως ὅτε κατὰ τὸ μέσον ἔχον ἐπαγόμενα
δύο σύμφωνα ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει· ἔν τισι μὲν διὰ (.i. in aliqb.)
τοῦ ο μικροῦ γράφεται· ἔν τισι δὲ διὰ τοῦ ω μεγάλου· ἔν τι-
σι διὰ τοῦ ο μικροῦ· ἐν τούτοις ὄγμος ὄχλος κόσμος κο- (Ra. Ortho.)
χλίας· ἔν τισι διὰ τοῦ ω μεγάλου ἐν τούτοις ὠχριῶ ὤχρα (pallee) (color qui a p(er)trib(us) ditur)
ζωστὴρ ὥστρα φωστήρ· τὸ κο μακρόν ἐστιν ἢ βραχύ· φύσει μὲν
βραχὺ διὰ δὲ τὰ ἐπαγόμενα σύμφωνα δύναται καὶ μα-
κρὸν εἶναι καὶ βραχύ· ἄφωνον γάρ ἐστι πρὸ ἀμεταβόλου ὧν ἐ-
παγομένων κοινὴ γίνεται συλλαβὴ ἢ φύσει βραχεῖα· τὸ χλι
ι τίνα εἰς ας ἀρσενικὰ βαρύτονα διὰ τοῦ ι τὴν παραλήγου-
σαν ἔχοντα διὰ τοῦ ι ἔχουσιν αὐτὴν καὶ τίνα διὰ τῆς ε
καὶ ι διφθόγγου· διὰ μὲν τοῦ ι ταῦτα κοχλίας αἰανίας πα-
σίας· τίνα διὰ τῆς ε καὶ ι διφθόγγου ταῦτα αὐγείας· ἑρ-
μείας· αὐγείας· παρείας· τὸ χλι μακρόν ἐστιν ἢ βραχύ· βρα-
χὺ τὰ εἰς ας ἀρσενικὰ βαρύτονα τῷ ι μόνῳ παραληγό-
μενα συστέλλει αὐτό· τὸ ας μακρόν· τὰ εἰς ας ἀρσενικὰ
βαρύτονα ὅτε ὀνόματα· πῶς κλίνεται τοῦ κοχλίου· ὁ κανὼν
τὰ εἰς ας καθαρὸν ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ βαρύτονα
εἰς ου ἔχει τὴν γενικήν· κοχλίας κοχλίου· αἰνείας αἰνείου· ἡ δο-
τικὴ τῷ κοχλίᾳ· ὁ κανὼν· πᾶσα γενικὴ ἰσοσυλλαβοῦσα
τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰς ι ἀνεκφώνητον λήγουσαν·
μετὰ τοῦ φωνήεντος τῆς εὐθείας· ἢ καὶ μᾶλλον ὁμοίως ἀντι-
στοίχου· καὶ ὧδε μετὰ τοῦ φωνήεντός ἐστι τῆς εὐθείας, (in parte interrogatione legendi)

Regula de muta cu liq(ui)da sequentibus post breuem

.i. uore

Regula de .i. in penul. nom. in -as baryt.

Regula de nomi. in -as.

Regula de datiuo

B iiii

∴ sf. νεανί

i. casus vocalis p(ro) interrogatione

ἢ μείζονος ἀντιστοίχου μετὰ τοῦ φωνήεντος. ποίου, τοῦ μακροῦ α· τῷ α τὸ ι προσγράφεται. διὰ τί; πᾶσα γὰρ δοτικὴ ἐπὶ παντὸς ἀριθμοῦ τὸ ι ἔχει, ἐκφωνεῖται ἢ οὔ· οὐκ ἐκφωνεῖται. ἐὰν δὲ μετὰ μακροῦ φωνήεντος ~~οὐκ~~ ἐκφωνηθήσεται. ἡ αἰτιατικὴ τὸν κοχλίαν. ὁ κανών· πᾶσα εὐθεῖα ὅταν ἔχῃ τὴν αἰτιατικὴν ἰσοσύλλαβον μετὰ τῶν αὐτῶν φωνηέντων εἰς ν αὐτὴν ἔχει λήγουσαν. τὸ αν μακρόν ἐστιν ἢ βραχύ; μακρόν. πᾶσα αἰτιατικὴ εἰς ν λήγουσα τῇ ἰδίᾳ εὐθείᾳ ὁμοτονεῖν θέλει καὶ ὁμόχρονον εἶναι. ἡ κλητικὴ ὦ κοχλία. ὁ κανών· τὰ εἰς ας ἰσοσυλλάβως κλινόμενα ἀποβολῇ τοῦ σ ποιεῖ τὴν κλητικήν. τὸ α μακρόν ἐστιν ἢ βραχύ; μακρόν. πᾶσα κλητικὴ τὸν ἴσον χρόνον θέλει ἔχειν τῆς ἰδίας εὐθείας ἢ ἐλάττονα, οὐδέποτε δὲ μείζονα. ἐνταῦθα οὖν ἀπὸ τῆς εὐθείας ἡ κλητικὴ γέγονε καὶ ἔχει τὸν χρόνον αὐτῆς. ἡ εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυϊκῶν τὼ κοχλία. ὁ κανών· πᾶσα δοτικὴ ἑνικῶν εἰς α ἢ εἰς ω μέγα λήγουσα ὁμόφωνον καὶ ὁμόχρονον ἑαυτῇ ἔχει τὴν εὐθεῖαν καὶ αἰτιατικὴν τῶν δυϊκῶν. τὸ α μακρὸν ὁμοίως. ἡ γενικὴ καὶ δοτικὴ τῶν δυϊκῶν τοῖν κοχλίαιν. ὁ κανών· πᾶσα εὐθεῖα καὶ αἰτιατικὴ δυϊκῶν εἰς α λήγουσα προστεθέντος τοῦ ι καὶ ν ποιεῖ τὴν γενικὴν καὶ δοτικὴν τῶν δυϊκῶν. ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ κοχλίαι. ὁ κανών· πᾶσα εὐθεῖα καὶ αἰτιατικὴ δυϊκῶν εἰς α λήγουσα προστεθέντος τοῦ ι ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν. τὸ αι δίφθογγον. πᾶσα εὐθεῖα πληθυντικῶν ἀρσενικῶν τε καὶ θηλυκῶν τὸ αι βραχύ· ἡ αι καὶ οι δίφθογγος ἐν τέλει λέξεων εὑρισκόμεναι. ἡ γενικὴ τῶν πληθυντικῶν τῶν κοχλιῶν. ὁ κανών· πᾶσα γενικὴ πληθυντικῶν κοινὴ ὁ τόνος ἐπὶ τῆς ληγούσης. αἱ εἰς αι λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν περισπῶσι τὰς γενικὰς αὐτῶν· μοῦσαι μουσῶν, κοχλίαι κοχλιῶν· πλὴν τοῦ ἅγιαι ἁγίων καὶ τῶν ἄλλων, ἃ ἀρσενικὰ ἔχουσι βαρυνόμενα· ἀκολουθοῦσι γὰρ ἀεὶ τὰ θηλυκὰ τοῖς ἀρσενικοῖς. ἡ δοτικὴ τῶν πληθυντικῶν τοῖς κοχλίαις. ὁ κανών· πᾶσα εὐθεῖα πληθυντικῶν εἰς αι δίφθογγον λήγουσα προστεθέντος τοῦ σ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν. ἡ αἰτιατικὴ τῶν πληθυντικῶν τοὺς κοχλίας. ὁ κανών· πᾶσα εὐθεῖα πληθυντικῶν εἰς αι δίφθογγον λήγουσα τροπῇ

Margin notes: [illegible] — Ra. accusati. — Regula singul. — Ra. vocati. — Ra. de nomi. & accu. duali — Ra. de geni & datino duali — Ra. de nom. plu. — De accetu geni. plur. nom. ded.

ἅγιαι. ἁγίων. qa semp foeminina sequuntur masculinos casus & accet9



de tempore vel supra in regula de accusatino pl. quinte dicti

τοῦ ι εἰς σ ποιεῖ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν. ἡ κλητικὴ ὦ κοχλίαι. ὁ κανὼν τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν.

Παράδειγμα.

αϛ. Πόθεν αἰνείας; παρὰ τὸ αἶνος ὁ ἔπαινος. αἶνος δὲ πόθεν γίνεται; παρὰ τὸ αἰνῶ τὸ ἐπαινῶ. τὸ αι δίφθογγον· αἰνῶ τὸ ἐπαινῶ δίφθογγον· ἐνῶ δὲ τὸ μιγνύω ψιλόν. καὶ ἄλλως αἶνος ὁ ἔπαινος δίφθογγον· ἔνος δὲ ὁ χρόνος ψιλόν. αἰνείας ἐπὶ τῷ νει ὀξεῖαν· μακρὰ πρὸ μακρᾶς οὐ περισπᾶται. πῶς κλίνεται; τοῦ αἰνείου. ὁ κανὼν ὡς τοῦ κοχλίου. (αἰνείας — ἔνος. ἢ. ὁ χρόνου)

Κανὼν γ.

κϛ. Πόθεν λάχης; ἀπὸ τοῦ ἔλαχον δευτέρου ἀορίστου, οὗ τὸ θέμα λήχω ἄχρηστον. τὸ λα βραχὺ ἀπὸ τοῦ ἔλαχον δευτέρου ἀορίστου. ἔτι δὲ καὶ ἀπὸ μὲν βαρυτόνων θεμάτων ἀεὶ βραχεῖα παραλήγεται ὁ δεύτερος ἀόριστος· ἐπὶ τῷ λα ὀξεῖαν· ἐπάνω βραχείας περισπωμένη οὐ τίθεται. τὸ χης η. τὰ εἰς ης ἔχοντα τὴν γενικὴν ἢ εἰς τος ἢ εἰς ου ἢ εἰς ους ἅπαντα διὰ τοῦ η γράφονται. εἰς τος ὡς λάχης λάχητος. εἰς ου ὡς χρύσης χρύσου. εἰς ους ὡς Δημοσθένης Δημοσθένεος καὶ Δημοσθένους. πῶς κλίνεται; τοῦ λάχητος. ὁ κανών· τὰ εἰς ης βαρύτονα ἰαμβικὰ μὴ ἔχοντα ἐπ᾽ εὐθείας τὸ τ εἰς τος ἔχει τὴν γενικήν· λάχης λάχητος, λέβης λέβητος. ἡ κλητικὴ ὦ λάχης. ὁ κανών· τὰ εἰς ης ἢ εἰς ως ὀνόματα διὰ καθαροῦ τοῦ τος κλινόμενα ὁμόφωνον ἔχουσι τὴν κλητικὴν τῇ εὐθείᾳ· οἷον ὁ λάχης τοῦ λάχητος ὦ λάχης, ὁ γέλως τοῦ γέλωτος ὦ γέλως. ἡ δοτικὴ τῶν πληθυντικῶν τοῖς λάχησιν. ὁ κανὼν ὡς τοῖς αἴασιν.

Margin notes: Regula pulchra — Aor. 2. a bary thema. breue habet penult. semp. — Regula de nomi. in ης. — De vocatino eorunde.

Παράδειγμα.

κϛ. Πόθεν λέβης; παρὰ τὸ λείβω τὸ σπένδω. τὸ λε ψιλὸν ἀπὸ τοῦ λείβω ἐκβολῇ τοῦ ι. (λείβω. σπένδω)

Κανὼν δ.

κϛ. Πόθεν χρύσης; παρὰ τὸ χρυσός. τὸ δὲ χρυσὸς παρὰ τὸ ῥύομαι· ῥύεται γὰρ ὁ χρυσὸς διδόμενος ἄνθρωπον ἀπὸ κινδύνου. τὸ χρυ ψιλόν· τινὰ διὰ τοῦ υ ῥήματα καὶ ἐνεργητικῶς γραφόμενα καὶ παθητικῶς διὰ τοῦ υ ψιλοῦ γράφεται· καὶ τινὰ διὰ τῆς οι διφθόγγου· διὰ μὲν τοῦ υ ψι- (Ra. orthog.)

λου ταῦτα. θύω λύω ῥύομαι μηνύω ἀνύω. τὸ τελῶ καὶ ἕτερα
τινὰ διὰ τῆς ο καὶ ι διφθόγγου. ταῦτα οἴω τὸ ὑπολαμβά-
νω ποιητικῶς ὃ παθητικῶς γράφεται παρὰ τοῖς κοινοῖς
καὶ οἴω τὸ κομίζω ἄχρηστον ἐν τῷ ἐνεστῶτι ἐν δὲ τῷ μέλλοντι
ἐν χρήσει. καὶ οἰῶ τὸ μονῶ περισπώμενος. ἀφ᾽ οὗ οἶος ὁ μό-
νος καὶ ἕτερα. τὸ χρυ μακρόν ἐστιν ἢ βραχύ. μακρὸν τὸ θύω καὶ
λύω καὶ ῥύομαι καὶ δακρύω καὶ κακύω κατὰ μὲν τὸν ἐνεστῶ-
τα ἔχουσι καὶ μακρὸν καὶ βραχὺ τὸ υ. κατὰ δὲ τὸν μέλλον-
τα ἀεὶ μακρόν. ἐπὶ τῷ χρυ ὀξεῖαν. μακρὰ πρὸ μακρᾶς οὐ πε-
ρισπᾶται. πῶς κλίνεται τοῦ χρύσου. ὁ κανὼν τὰ εἰς ης βα-
ρύτονα σπονδιακὰ εἰς ου ἔχει τὴν γενικήν. χρύσης χρύσου. πέρ-
σης πέρσου. ἡ κλητικὴ ὦ χρύση. ὁ κανὼν τὰ εἰς ης ἰσοσυλ-
λάβως κλινόμενα εἰ μὴ παρὰ ῥῆμα εἴη παρηγμένα. ἢ τὸ
τ ἔχει ἢ ἐθνικὰ εἴη ἀποβολῇ τοῦ σ ποιεῖ τὴν κλητικήν. εἴπομεν
εἰ μὴ παρὰ ῥῆμα εἴη παρηγμένα διὰ τὸ ὁ προφήτης ὦ προ-
φῆτα. εἴπομεν εἰ μὴ τὸ τ ἔχει διὰ τὸ ὁ θύτης ὦ θύτα. εἴπο-
μεν εἰ μὴ ἐθνικὰ εἴη διὰ τὸ ὁ πέρσης ὦ πέρσα. εἰ δὲ ἐπὶ τοῦ
κυρίου ὀνόματος λέγεις τοῦτο (ἔστι γὰρ καὶ κύριον ὄνομα ὁ
πέρσης) κατὰ ἀποβολὴν τοῦ σ καὶ τοῦτο ἔχει τὴν κλητικήν.
ἡ εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυικῶν τὼ χρύσα. ὁ κανὼν πᾶ-
σα δοτικὴ ἑνικῶν εἰς η λήγουσα τροπῇ τοῦ η εἰς α τὴν εὐ-
θεῖαν καὶ αἰτιατικὴν τῶν δυικῶν ποιεῖ. τὸ σα μακρὸν ὁμο-
χρόνης ἐν τῇ δοτικῇ τῶν ἑνικῶν ἀφῆς καὶ ἐγένετο. ἡ εὐθεῖα τῶν
πληθυντικῶν οἱ χρῦσαι. ὁ κανὼν πᾶσα εὐθεῖα καὶ αἰτιατι-
κὴ δυικῶν. ἐπὶ τῷ χρυ περισπωμένην πᾶσα φύσει μακρά.
ἡ γενικὴ τῶν πληθυντικῶν τῶν χρυσῶν διὰ τί περισπᾶ-
ται. αἱ εἰς αι λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν.

παράδειγμα.

πέρσης ποίου μέρους λόγου ἐστὶν ὀνόματος ἐθνικοῦ καὶ κυρί-
ου. τὸ περ ψιλόν. τὸ ε κατ᾽ ἀρχὴν λέξεως ἢ κατὰ τὸ μέσον ἔ-
χον ἐπαγόμενα δύο σύμφωνα ἢ τὸ ἓν μεθ᾽ ἑαυτοῦ ἐν ἁπλῇ
λέξει ἔν τισι μὲν διὰ τοῦ ε ψιλοῦ γράφεται. ἔν τισι δὲ διὰ
τῆς αι διφθόγγου. ἔν τισι διὰ τοῦ ε ψιλοῦ. ἐν τούτοις ἔσ-
χατος ἐσχάρα. λέμβος τὸ μικρὸν πλοῖον. πένθος μέστωρ
βέβρυξ πέρσης. ἔν τισι διὰ τῆς αι διφθόγγου. ἐν τούτοις

πέρσης si nomen gentile accipias faciet uocatiuu
ὦ πέρσα. Si uero est n. p. facit ὦ πέρση

οἴω
οἴω
οἰῶ unde οἶος
Rª. quantitatis
Reg. de declina nominum in ης.
De vocatiuo nominum in ης exisyllaborum
Reg.
Rª. quantita.
Rª. orthogra.
λέμβος
υω

αἶκυον τὸ δεῖπνον. αἶσχος αἰσχύνη καὶ ὅσα σύγκειται ἀπ᾽
αὐτῶν. τὸ περ μακρόν ἐστιν ἢ βραχύ. μακρὸν θέσει τὸ ρ καὶ τὸ
σ ἐκτείνει αὐτό. ἐπὶ τὸ περ ὀξεῖαν ἐπάνω θέσει μακρᾶς. ἡ κλη-
τικὴ ὦ πέρσα. ὁ κανὼν εἰ δὲ ἐθνικὰ εἴη διὰ τοῦ α ἔχει τὴν κλη-
τικήν.

κανὼν. ε.

πόθεν δημοσθένης παρὰ τὸ δῆμος καὶ τὸ σθένος. ἡ δύ-
ναμις. καὶ ὤφειλε γράφεσθαι διὰ δύο σσ ἀλλὰ τὰ εἰς ος
ὀνόματα ἐν τῇ συνθέσει τῆς ἐπαγομένης λέξεως τῆς ἀ-
πὸ συμφώνου ἀρχομένης ἀποβάλλουσι τὸ σ καὶ φυλάτ-
τουσι τὸ ο. οἷον θεὸς θεόδωρος λόγος λογοποιός. καὶ δῆ-
μος δημοσθένης. ἐν πολλοῖς δὲ καὶ τὸ ο εἰς ε τρέπουσιν
ὡς μενόλαος μενέλαος. ποίου σχήματος συνθέτου. τὸ
δῆ. ἡ. δῆμος ὁ ὄχλος ἡ. δεῖμος δὲ ὁ φόβος δίφθογγον. καὶ
ἄλλως τὰ εἰωθότα δωρικῶς τρέπεσθαι εἰς α διὰ τοῦ
η γράφονται. οἷον δῆμος ὅτι δᾶμος ἡμῶν ὅτι ἁμῶν.
σήμερον ὅτι σάμερον. τὸ μο μικρόν. τὰ εἰς ος ἀρσενι-
κὰ καὶ θηλυκὰ καὶ τὰ εἰς ον οὐδέτερα εἰς ου ἔχει τὴν γενι-
κὴν. καὶ διὰ τοῦ ο μικροῦ γράφονται. τὸ σθε ψιλὸν ἐκ τοῦ
σθένω. τὰ διὰ τοῦ αινω ῥήματα διὰ τῆς αι διφθόγγου γρά-
φονται. πλὴν τῶν ἐχόντων ὀνόματα διὰ τοῦ ο μικροῦ. οἷ-
ον πένομαι ὅτι πόνος. μένω ὅτι μόνος. στένω τὸ στενάζω
ὅτι στόνος. οἷς ἠκολούθησε καὶ τὸ σθένω τὸ δύναμαι. τὸ σ
μετὰ τοῦ θ ἐν συλλήψει ἐστὶν ἢ ἐν διαστάσει. ἐν συλλήψει ἀφ᾽
οὗ φθάσει ἐν ἀρχῇ λέξεως σύμφωνον συμφώνου προηγήσα-
σθαι οὐκ ἔτι αὐτοῦ χωρίζεται κἂν ἐν μέσῳ λέξεως εὑρεθῶσι.
πῶς κλίνεται τοῦ δημοσθένεος. ὁ κανὼν οἱ ἴωνες καὶ οἱ
ποιηταὶ τὰς εἰς ος ληγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς
ης εὐθειῶν γινομένας διὰ τοῦ εος προφέρουσι. τὸ συνῃρη-
μένον δημοσθένους. ὁ κανὼν οὐκ ἔχει τὰ συνῃρημένα κα-
νόνας οὐκ ἔχουσι. καὶ πῶς ποιεῖς τὴν συναίρεσιν τὸ ε καὶ
ο εἰς τὴν ου δίφθογγον κιρνᾶται. ~~τὸ καὶ δίφθογγον. μὲν δὲ
τι. κεν. γε. σύνδεσμοι ψιλά. ὁ δὲ καὶ σύνδεσμος διὰ τῆς
αι διφθόγγου γράφεται ἐπὶ τῷ καὶ βαρεῖαν. πᾶς σύνδεσ-~~

\# intellige vore. nam illud idem faciunt in nominibus desinentibus in ις. ut ὄφις. ut Th. dicet in loco proprio

μενόλαος
δᾶμος
ἁμῶν
σάμερον
αινω vore
praeueniet
Contracta canones non habet
Regula pulchra ortho.
Rª. orthog.
Rª. declina. & orthog.
Rª. orthog.
Regula sing orthograp
Ionum & poetarum mos
i. in eadem sylla. vel diuer
ε. ο. ου.
\+

R.ª declinatio — μος συμπλεκτικὸς μὲν ὀξύνεται· συμπεπονημένος δὲ καὶ βαρύνεται καὶ τὸ ἀττικὸν οὐ ποιεῖ. τὰ ἐπιδεχόμενα ἀττικὰ κατὰ τὴν γενικὴν συναίρεσιν οὐκ ἐπιδέχεται· καὶ τὰ ἐπιδεχόμενα συναίρεσιν ἀττικὰ οὐκ ἐπιδέχονται; (*in margin:* interrogatio) ἡ δοτικὴ τῷ δημοσθένεϊ τὸ συνῃρημένον δημοσθένει· τὸ ε καὶ ι εἰς τὴν ει δίφθογγον κιρνᾶται. (*margin:* ε. ι. ει) ἰστέον δὲ ὅτι ἡνίκα προηγεῖται τὸ ι τοῦ ε, εἰς ι μακρὸν γίνεται ἡ κρᾶσις· ἡνίκα δὲ τὸ ε τοῦ ι, εἰς τὴν ει δίφθογγον. (*margin:* ι. ε. ι) τί ἐστι κρᾶσις; δύο φωνηέντων συναλοιφὴ καὶ ἀμφοτέρων ἀλλοιουμένων· οἷον δημοσθένεα δημοσθένη· ἢ τοῦ ἑνός· οἷον δημοσθένεος δημοσθένους. (*margin:* κρᾶσις qd?) τί ἐστι συναίρεσις; δύο φωνηέντων συναλοιφὴ καὶ ἀμφοτέρων φυλαττομένων· οἷον δημοσθένεϊ δημοσθένει. (*margin:* συναίρεσις qd?) ἐνταῦθα δὲ καταχρηστικῶς θάτερον ἀντὶ θατέρου λαμβάνεται. εἰς τὴν ει δίφθογγον τὸ ε καὶ ι. ἡ αἰτιατικὴ τὸν δημοσθένεα· τὸ συνῃρημένον τὸν δημοσθένη· τὸ ε καὶ α ἐπὶ μὲν τῆς αἰτιατικῆς τῶν ἑνικῶν εἰς η κιρνᾶται· ἐπὶ δὲ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν εἰς τὴν ει δίφθογγον. (*margin:* ε. α. η. ει) ~~τὸ μὴ ἢ τὸ ε καὶ α.~~

R. orthogr. & decli. — μετὰ τοῦ ν γράφεται ἢ χωρὶς τοῦ ν· κοινῶς μὲν χωρὶς τοῦ ν· ἀττικῶς δὲ μετὰ τοῦ ν· οἱ γὰρ ἀττικοὶ ἐπὶ τῶν κυρίων προσλαμβάνουσιν αὐτὸν ἐπὶ τῶν συνῃρημένων αἰτιατικῶν· τὸν δημοσθένην λέγοντες καὶ τὸν ἀριστοφάνην. (*margin:* Δημοσθένην, ἀριστοφάνην) τὰ δὲ ἐπίθετα καὶ αὐτοὶ ὡς οἱ κοινοὶ προφέρουσιν. ἡ κλητικὴ ὦ δημόσθενες· ὁ κανών· τὰ εἰς ης εἰς ους ἔχοντα τὴν γενικὴν εἰς ες ποιεῖ τὴν κλητικὴν καὶ ἀναβιβάζουσι τὸν τόνον εἰ σύνθετά εἰσι καὶ βαρύτονα. (*margin:* R.ª declinat.) τὸ ἀττικὸν ὦ δημοσθένης· ὁ κανών· οἱ ἀττικοὶ τὰς αὐτὰς ἔχουσιν ὀρθὰς καὶ κλητικάς. (*margin:* Attici eandē nominatiuū & uocatiuū) ἡ εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυϊκῶν τὼ δημοσθένεε· τὸ συνῃρημένον τὼ δημοσθένη· ὁ κανὼν οὐκ ἔχει, τὰ συνῃρημένα κανόνας οὐκ ἔχουσι· καὶ πῶς ποιεῖς τὴν συναίρεσιν; τὰ δύο εε ἐπὶ μὲν τῆς εὐθείας καὶ αἰτιατικῆς τῶν δυϊκῶν εἰς η κιρνᾶται· ἐπὶ δὲ τῆς εὐθείας τῶν πληθυντικῶν εἰς τὴν ει δίφθογγον. (*margin:* εε. η. ει) ἡ γενικὴ καὶ δοτικὴ τῶν δυϊκῶν τοῖν δημοσθενέοιν· τὸ συνῃρημένον τοῖν δημοσθένοιν· τὸ ε καὶ οι δίφθογγος εἰς τὴν οι δίφθογγον κιρνᾶται ἐπὶ τῷ νοῖν περισπωμένην. (*margin:* ε. οι. οι)



πᾶσα συναίρεσις ἐξ ὀξείας καὶ βαρείας περισπωμένην ποιεῖ. (*margin:* Synerefis ex acuto & graui circumflexū fa.) ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ δημοσθένεες ὡς οἱ αἴαντες· τὸ συνῃρημένον οἱ δημοσθένεις· τὸ ει δίφθογγον τὰ δύο εε. ἡ γενικὴ τῶν πληθυντικῶν τῶν δημοσθενέων καὶ δημοσθενῶν· τὸ ε καὶ ω μέγα εἰς ω μέγα κιρνᾶται ἐπὶ τῷ νῶν περισπωμένην· πᾶσα συναίρεσις. (*margin:* ε. ω. ω) ἡ δοτικὴ τῶν πληθυντικῶν τοῖς δημοσθένεσι μόνως ὡς τοῖς αἴασι· διὰ τί οὐ ποιεῖ τὸ συνῃρημένον; διότι οὐκ ἔχει καθαρεύοντα τὰ φωνήεντα ὡς ἐπὶ τῶν ἄλλων πτώσεων· ἀλλ᾽ ἔχει μέσον συλλαβὴν τὸ σ. (*margin:* Cur datiuus plu. nō contra. μόνως) μόνως ποίου μέρους λόγου ἐστίν; ἐπιρρήματος. ποίου τῶν ἐπιρρημάτων; μεσότητος. πόθεν γίνεται; ἀπὸ τῆς μόνων γενικῆς τῶν πληθυντικῶν ἧς ἡ εὐθεῖα ὁ μόνος· τὸ δὲ μόνος ἀπὸ τοῦ μένω· τὸ μο μικρόν. (*margin:* μόνος ἀπὸ τοῦ μένω) τὰ ἔχοντα τὸ ε· τὸ νως μέγα. τὰ εἰς ως ἐπιρρήματα ἐκ τῶν γενικῶν πληθυντικῶν γεγονότα ἀπ᾽ αὐτῶν ἔχουσι καὶ τὰς γραφὰς καὶ τοὺς τόνους. (*margin:* Regula de aduer. in ως; R.ª orthogr. & accen.) ἡ αἰτιατικὴ τῶν πληθυντικῶν τοὺς δημοσθένεας καὶ δημοσθένεις· τὸ ει δίφθογγον τὸ ε καὶ α· καὶ ἄλλως· πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ες λήγουσα καὶ συνῃρημένη κατὰ τὸ τέλος τὴν ἰδίαν αἰτιατικὴν ἔχει ὁμότονον καὶ διὰ τοῦ αὐτοῦ γραφομένην· δηλονότι καὶ τὴν κλητικήν. (*margin:* R.ª decli.; ε. ἐπὶ μὲν τῆς αἰτιατικῆς τῶν ἑνικῶν εἰς η κιρνᾶται· ἐπὶ δὲ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν εἰς τὴν ει δίφθογγον) ἡ κλητικὴ ὦ δημοσθένεες καὶ ὦ δημοσθένεις· ὁ κανὼν τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν.

παράδειγμα.

ιϛ. πόθεν ἀντιασθείης; ἐκ τῆς ἀντὶ προθέσεως καὶ τοῦ ἀθένος· τὸ αν μακρόν· τὸ ν καὶ τὸ τι ἐκτείνει αὐτὸ ἐπὶ τῷ ἀνψιλήν. πᾶσα πρόθεσις βραχυκατάληκτος· μακρὸν ἐστὶν ἡ βραχὺ μακρὸν θέσει τὸ σ καὶ τὸ θ ἐκτείνει αὐτό. (*margin:* Omnis prepo. in breue desini)

κανών.

ις. πόθεν πάρις; παρὰ τὸ παριέναι τὸ παρελθεῖν· παρέδραμε γὰρ τὸν ἠπειλημένον αὐτῷ θάνατον ὅτε ἦν βρέφος. τὸ πα βραχὺ ἀπὸ τῆς παρὰ προθέσεως. πᾶσα πρόθεσις βραχεῖα θέλει παραλήγεσθαι ἐπὶ τῷ πα ὀξεῖαν ἐπάνω βραχείας. τὸ ρις ι· τὰ εἰς ις ἔχοντα τὴν γενικὴν εἰς δος ἢ εἰς θος ἢ διὰ καθαροῦ τοῦ ος ὡς ἐπὶ τὸ πλεῖστον διὰ τοῦ ι γρά- (*margin:* πάρις πόθεν; Omnis prepo in breui pe(n)ultimat; R.ª orthogra.)

φονται. οἷον δὸς ὡς πάρις πάριδος. οἷον θος. ὡς ὄρνις ὄρ
νιθος. διὰ καθαροῦ τοῦ ος. ὡς ὄφις ὄφιος κοινῶς, ὡς ἐπὶ
τὸ πλεῖστον εἴρηται. ὅτι πολλὰ καὶ διὰ τοῦ υ ψιλοῦ γράφον
ται. οἷον σῦς συός. χλαμὺς χλαμύδος. καὶ διὰ τῆς ει καὶ
ι διφθόγγου. οἷον κλεὶς κλειδός. αὐτήρεις αὐτήρειδος. τὸ ρις
βραχύ. τὰ εἰς ις βαρύτονα εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ συ
στέλλει τὸ ι. ἔρις. θέτις. μῆνις. πάρις. ἔχις. ὄφις. τὸ ὄρνις
ἐκτείνουσιν οἱ ἀττικοί. καὶ τὸ εὔκνημις καὶ τὰ ὅμοια σύνθε
τα. ὁ πάρις πῶς κλίνεται τοῦ πάριδος. ὁ κανὼν τὰ εἰς
ις κύρια διὰ τοῦ δος κλίνονται κοινῶς. ἀδώνιδος πάρι
δος θέτιδος. διὰ τί εἶπε κοινῶς. διότι οἱ ἴωνες χωρὶς τοῦ
δ κλίνουσιν αὐτά. πάριος θέτιος. ἡ αἰτιατικὴ τὸν πάριδα.
ὁ κανὼν πᾶσα δοτικὴ ἑνικῶν. καὶ πάριν. ὁ κανὼν. πᾶσα εὐ
θεῖα [illegible] ἡ κλητικὴ ὦ πάρι. ὁ κανὼν τὰ εἰς ις ἀποβολῇ τοῦ σ ποι
εῖ τὴν κλητικήν. καὶ ὦ πάρις ἀττικῶς. ὁ κανὼν οἱ ἀττικοὶ τὰς
αὐτὰς ἔχουσιν. ἡ δοτικὴ τῶν πληθυντικῶν τοῖς πάρισιν
ὁ κανὼν ὡς τοῖς αἴασι. τί παρῃτήσατο τὸ δ. διὰ τί. δι
ότι οὐ δύναται ποτὲ τὸ δ μετὰ τοῦ σ ἐν συλλήψει εἶναι. τὸ
δὲ σ μετὰ τοῦ δ ποιεῖ διπλοῦν τὸ ζ.

Παράδειγμα.

Πόθεν ἄδωνις. παρὰ τὸ ἄδω τὸ ψάλλω. τοῦτο δὲ παρὰ
τὸ ἀείδω ἀφ᾽ οὗ καὶ τὸ ι ἔχει προσγεγραμμένον. τὸ α μακρὸν
τὸ α καὶ ε εἰς α μακρὸν κιρνᾶται. ἐπὶ τὸ α ψιλήν. τὸ α πρὸ
τοῦ δ ψιλοῦται. ἄδωνις. ἀδρανής. ἀδημονῶ. πλὴν τοῦ ἅ
δης. καὶ ἄλλως. τὸ ἐπιτατικὸν α ψιλοῦται ὥσπερ καὶ τὸ
στερητικόν. πλὴν τοῦ ἅλυσις. ὃ γίνεται ἀπὸ τοῦ α στερητικοῦ
μορίου. καὶ τοῦ λύω. ὅμως δασύνεται. καὶ ἅδης ἀπὸ τοῦ
α στερητικοῦ καὶ τοῦ εἴδω. τὸ δω μέγα. τὰ ἀπὸ ἐνεστῶτος
ἢ μέλλοντος κατὰ πρόσληψιν συλλαβῆς γινόμενα ὀνό
ματα διὰ τοῦ ω μεγάλου γράφεται. οἷον ζῶ ζωή. ἄδω ἀ
δωνις. παύω παυσωλή.

Κανὼν ζ.

Πόθεν ὄφις. παρὰ τὸ ὄπτω τὸ βλέπω. ὅπερ ἐστὶν ἄχρηστον
ἐν πᾶσι τοῖς χρόνοις. πλὴν τοῦ μέσου μέλλοντος. οἷον ὄ-
ψομαι. καὶ τοῦ παθητικοῦ παρακειμένου. οἷον ὦπται. ὀξὺ
γὰρ ὁ ὄφις ὁρᾷ καὶ ἐκπληκτικόν. ὥσπερ καὶ ὁ λέων. τὸ ο μι
κρὸν τίνα. διὰ τοῦ ὄπτω ῥήματα διὰ τοῦ ο μικροῦ γράφον
ται. καὶ τίνα διὰ τοῦ ω μεγάλου. διὰ μὲν τοῦ ο μικροῦ ταῦ
τα. κόπτω τὸ κρούω καὶ τὸ τέμνω. προσκόπτω τὸ προσ
κρούω ἀφ᾽ οὗ πρόσκομμα. διὰ δὲ τοῦ ω μεγάλου σκώπτω
τὸ λοιδορῶ. ἐξ οὗ σκῶμμα ἡ λοιδορία. ἐπὶ τῷ ο. τί πνεῦμα.
ψιλὴν τὸ α ε ο πρὸ δασέος ψιλοῦται. ἄφεσις ὄφις. ἔθνος
ἔφεσις. τίνα τόνον. ὀξεῖαν ἐπάνω βραχείας. πῶς κλίνεται
τοῦ ὄφιος κοινῶς. ὁ κανὼν τὰ εἰς ις προσηγορικὰ μὴ ὄντα
παρώνυμα μηδὲ μακροκατάληκτα διὰ καθαροῦ τοῦ ος
κλίνονται κοινῶς. τὸ σημειωμένον οὐκ εἶχε τὰ ἐπιδεχόμε
να ἀττικά. πόθεν γίνεται ἀπὸ τῆς κοινῶν γενικῆς τῶν πλη
θυντικῶν. ἧς ἡ εὐθεῖα ὁ κοινός. κοινὸν δέ ἐστιν οὗ μετέχουσι
τοὐλάχιστον δύο. κοινῶς ποίου μέρους λόγου ἐστὶν ἐπιρρή
ματος. ποίου τῶν ἐπιρρημάτων μεσότητος. τὸ κοι δίφ
θογγον κοινῶς καὶ πλεονασμῷ τοῦ ι κοινῶς. τὸ νῶς μέγα.
τὰ εἰς ως ἐπιρρήματα. καὶ ἰωνικῶς ὄφεος. ὁ κανὼν. οἱ ἴω
νες καὶ οἱ ποιηταί. πόθεν γίνεται ἰωνικῶς ἐκ τοῦ ἴων ἴωνος
ἰωνικός. καὶ ἀπὸ τῆς γενικῆς τῶν πληθυντικῶν ἐπίρρημα
μεσότητος τὸ ἰωνικῶς. τὸ ι ι. καὶ τὸ ω μέγα. ἴων ἴωνος καὶ ἰω
νικός. ι καὶ μέγα. ἰόνιον δὲ πέλαγος ι καὶ μικρόν. ἐπὶ τῷ ι ψι
λήν. τὸ α ε η ι ο πρὸ φωνήεντος ὄντα κατὰ διάστασιν ψι
λοῦται. πλὴν τοῦ ἵημι ὅπερ ἀεὶ μετὰ προθέσεως γράφε
ται. οἷον ἀφίημι καὶ παρίημι. καὶ ἱερεὺς καὶ ἱεριχοῦς ὁ κλίνε
ται ἱεριχοῦντος. τὸ νι ι. τὰ εἰς κος κτητικὰ οὐδέποτε δίφ
θογγῳ παραλήγονται. πλὴν τοῦ κεραμεικὸς Εὐβοεικὸς
Δαρεικὸς καὶ Δεκελεικός. καὶ ὄφεως ἀττικῶς. ὁ κανὼν ἀτ
τικοὶ δὲ τῆς γενικῆς ταύτης τρέπουσι τὸ ο μικρὸν εἰς ω
μέγα καὶ τὸ παραλῆγον φωνῆεν εἰς ε μεταβάλλουσιν. ἐπὶ
τῷ ω τίνα τόνον. ὀξεῖαν. πρὸ δύο συλλαβῶν. καὶ οὐ λέγει ὁ κα
νὼν ὅτι μακρᾶς οὔσης ἐπὶ τέλους οὐ δύναται προπα
ροξυνθῆναι λέξις, καὶ ἀλλ᾽ οἱ ἀττικοὶ ἐπὶ τῶν ἰδίων γενικῶν
εὐθειῶν παραβαίνουσι τὸν κανόνα ὀκνοῦντες μετατιθέναι

*Manuscript annotations:*

16

ᾱ κοινῶς. puto deesse. Nā ga dixerat statim ante κλίνονται κοινῶς. Interrogat hoc adverbium κοινῶς unde deducatur.

Nomina in ις gen. — ὄρνις εὔκνημις Quantit. — In ις geni. in δος. — Rª. declinat. — δ. & σ. no coniunguntur — ἄδω ab ἀείδω — α. ε. in α — Rª. orthogr. — ἅδης — Regula ortho. — ὄφις

ὄπτω τὸ βλέπω. inusitatu in omnibus temporibus praeterqm in medio futuro ὄψομαι & in praeterito pfecto passivo ὦπται

ὄψομαι — ὦπται — σκώπτω — σκῶμμα — τοὐλάχιστον — ις·κος. possessiva — progredientes nolentes

Serpens & leo acute vident — Rª. orthograph. — α. ε. ο. ante densa tenuant — ις. — Rª declina. — Comune qd dicatur — Ioniu. p. ο. m secūda ἰόνιον — α. ε. η. ι. ο. ante vocale — Rª. orthogr. — Rª. orthogr — Atticoru mos — deerat καὶ — ὄφεως μνήσεως

ἰωνικός p. ω.
ἰόνιος p. ο.

+ ut πρὸ δε ht cōsonāte in ultima . s. δ.

transmutare — 1. comunis linguae

Rª. orthograph. — + repetit particula regule δ dicte — π. ἀς. ι. — ει. δ.

ἡ μεταποιεῖν τοὺς κοινοὺς τόνους. κἂν φθάσωσι δὲ προ-
παροξύνειν πλῶσιν· καὶ τὰς ἀπ' αὐτῆς ἁπάσας πτώσεις
προπαροξυτόνους ἔχουσιν. ὅθεν ἀττικῶς ἀπὸ τοῦ ἀττι-
κοῦ ὀνόματος. τοῦτο δὲ ἀπὸ τοῦ ἀτθίς. ἐπὶ τῶν ἀψι-
λῶν· τὸ α πρὸ τοῦ τ ἢ ἐμὸς ἢ διὰ τὶ τοῦ ψιλοῦται. οἷον ἀτιτάλ-
λω ποιητικῶς τὸ νηπιάζω. ὃ καὶ ἀτιτάλλω γράφεται
ἀττικῶς. τὸ τι. ι. τὰ εἰς κος κτητικά. τὸ ὄφ. ε. ψιλόν. καὶ τὰ
παραλήγοντα τῶν φωνηέντων εἰς ε μεταβάλλουσιν. ἡ δο-
τικὴ τῷ ὄφιι κοινῶς. τὸ συνῃρημένον καὶ ὄφι. τὰ δύο ιι εἰς
μακρὸν κιρνᾶται. καὶ ἰωνικῶς ὄφει. τὸ συνῃρημένον καὶ ὄ-
φει. τὸ ε καὶ ι εἰς τὴν ει δίφθογγον κιρνᾶται. ἡ αἰτιατικὴ τὸν
ὄφιν. ὡς τὸν κοχλίαν. διὰ τί οὐ κλίνομεν καὶ ὄφια ὡς πα-
ρίδα. ἡ μὲν ἀναλογία ἀπῄτει καὶ ταύτας τὰς αἰτιατι-
κὰς διχῶς κλίνεσθαι ὡς καὶ τὰς τῶν ἐχόντων ἐπὶ τῆς
γενικῆς σύμφωνον κατὰ τὴν ~~παρα~~λήγουσαν ὁμοίως βα-
ρυνομένων. ἀλλὰ καθόλου ἀπέλειψεν ἡ χρῆσις τῆς εἰς α
αἰτιατικῆς διὰ κακοφωνίαν. ἐφ' ὧν ἡ γενικὴ εἰς ος ἐστὶ κα-
θαρὸν δίχρονον παραληγόμενον. ἡ κλητικὴ ὦ ὄφι κοινῶς. ὁ
κανὼν τὰ εἰς ις ἀποβολῇ τοῦ σ. καὶ ὦ ὄφις ἀττικῶς. ὁ κα-
νών. οἱ ἀττικοὶ τὰς αὐτὰς ἔχουσιν. ἡ εὐθεῖα καὶ αἰτιατικὴ
τῶν δυϊκῶν τὼ ὄφιε. τὸ συνῃρημένον οὐκ ἔχει. ὧν τινων ἡ
γενικὴ τῶν ἑνικῶν οὐ συναιρεῖται. τούτων οὔτε ἡ εὐθεῖα καὶ
αἰτιατικὴ τῶν δυϊκῶν οὔτε ἡ γενικὴ καὶ δοτικὴ τῶν δυϊ-
κῶν. οὔτε ἡ γενικὴ τῶν πληθυντικῶν συναίρεσιν ἐπιδέχε-
ται. ἄλλως τε καὶ τὸ ι καὶ ε εἰς ι μακρὸν ἐξ ἀνάγκης κιρνᾶ-
ται. ὅπερ οὐ δύναται ληκτικὸν εἶναι ἐπὶ τῆς εὐθείας τῶν
δυϊκῶν. ἡ γενικὴ καὶ δοτικὴ τῶν δυϊκῶν τοῖν ὀφίοιν κοινῶς
καὶ ὀφέοιν ἰωνικῶς καὶ ὀφέων ἀττικῶς. ὁ κανὼν ἀττικοὶ δὲ
τῆς γενικῆς ταύτης τρέπουσι τὸ ο μικρὸν εἰς ω μέγα.
προσγράφοντες καὶ τὸ ι. καὶ τὸ παραλῆγον φωνῆεν εἰς ε
μεταβάλλουσι καὶ ἀναβιβάζουσι τὸν τόνον. διατί οὐκ ἐ-
ξεβλήθη τὸ ι. ἀλλὰ προσεγράφη. διότι πᾶσα δοτικὴ ἐπὶ
παντὸς ἀριθμοῦ τὸ ι ἔχει. ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ ὄ-
φιες. τὸ συνῃρημένον ὄφις. τὸ ι καὶ ε εἰς ι μακρὸν κιρνᾶται

+ dupliciter bifaria — τὸ ὄφια nō ÷ in usu sed ὄφιν — Rª. declina. — Regula singul. quā citat etiam Vrbanus. sed dissentit a technico g pomit. ὄφεε. η — ὄφεων subscripto ι — Rª declinati. — Regula decli & ortho — ι. ε εἰς ι.

ἀτιτάλλω — appetit

+ τὸ συνῃρημένον ὄφις· τὸ ι. κ(αὶ) ε. εἰς ι. μακρ(ὸν) κιρνᾶται. τὸ ἀττικ(ὸν) κ(αὶ) ἰωνικ(ὸν) ὄφεις· ὁ κανὼν πᾶσα εὐθεῖα πληθυντικῶν. τὸ συνῃρημένον ὄφεις ὡς τῆς δημοσθ(ένους)

εε. εἰς. ει.

τὸ ἰωνικὸν ὄφεες. τὸ συνῃρημένον ὄφεις. τὰ δύο εε εἰς ει. ἡ γενικὴ
τῶν πληθυντικῶν τῶν ὀφίων κοινῶς καὶ ὀφέων ἰωνικῶς καὶ
ὀφέων ἀττικῶς. ὁ κανὼν ἀττικοὶ δὲ τῆς γενικῆς ταύτης. ἡ δο-
τικὴ τῶν πληθυντικῶν τοῖς ὄφισι κοινῶς καὶ ὄφεσιν ἰωνικῶς
καὶ ἀττικῶς. ἡ αἰτιατικὴ τῶν πληθυντικῶν τοὺς ὄφιας. ὁ κανὼν
πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ες λήγουσα εἰς ας ποιεῖ τὴν αἰτι-
ατικὴν τῶν πληθυντικῶν. ἡ κλητικὴ ὦ ὄφιες καὶ ὦ ὄφις. καὶ ὦ
ὄφεες καὶ ὦ ὄφεις τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν.

Regula de accusat. plu

Παράδειγμα.

ις — πόθεν μάντις. παρὰ τὸ μῶ τὸ ζητῶ. τὸ μαν μακρόν. θέ-
σει τὸ ν καὶ τὸ τ ἐπὶ τῶν ἀνοξείαν ἐπάνω θέσει μακράς.

μῶ — μάντις

Κανὼν η.

ἀς — πόθεν χαρίεις. παρὰ τὸ χάρις χάριτος χαριτόεις καὶ κα-
τὰ συγκοπὴν χαρίεις. τὸ χα βραχύ. ἐκ τοῦ χάρις. τὸ δὲ
χάρις ἀπὸ τοῦ ἐχάρην δευτέρου ἀορίστου ὅπερ ποιητικῶς
γράφεται. παρὰ δὲ τοῖς κοινοῖς ἄχρηστον. τὸ ρι. ι. τὰ διὰ
τοῦ εις παράγωγα τὴν γραφὴν φυλάττουσιν ἀφ' ὧν πα-
ράγονται. οἷον φωνὴ φωνήεις. τιμὴ τιμήεις. ἔρση ὁ δρόσος
ἐρσήεις ὁ δροσερός. καὶ χάρις χαρίεις. ἰστέον ὅτι χάρις χά-
ριδος ὤφειλεν εἶναι. ἀλλ' οἱ δωριεῖς χάριτος κλίνουσιν. ὡς
θέμις θέμιτος καὶ πλεονασμῷ τοῦ σ θέμιστος. καὶ ἐπε-
κράτησε τοῦτο καὶ παρὰ τοῖς κοινοῖς. τὸ ρις βραχύ. τὰ εἰς
ις εἴτε ἀρσενικὰ εἴτε θηλυκά. τὸ εις δίφθογγον. τὰ εἰς εις κα-
θαρὸν παράγωγα ἐν μετοχῇ λεγόμενα ἀφ' ὧν παράγονται
διὰ τῆς ει διφθόγγου γράφονται. οἷον χαρίεις ὁ μετέχων
χάριτος. ἐρσήεις ὁ δροσερός. αἰγλήεις ὁ λαμπρός. θυό-
εις ὁ βωμός. ἀπὸ τοῦ θύος τὸ θῦμα καὶ τὰ ὅμοια. πῶς κλί-
νεται τοῦ χαρίεντος. ὁ κανὼν τὰ εἰς εις δίφθογγα καταληκτὰ
ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ ντ κλίνονται. χαρίεις χαρίεντος
τιμήεις τιμήεντος. τὸ εἰς μονοσύλλαβον ὂν οὐκ ἀντίκειται
τῷ κανόνι διὰ τοῦ ν μόνου κλινόμενον καὶ τὰ ἐξ αὐτοῦ ἀκολου-
θοῦντα αὐτῷ. οἷον οὐδεὶς οὐδενός. συμβαίνει δὲ καὶ τὸ ἀντί-
στροφον. τὰ γὰρ εἰς εις διὰ τοῦ ντ κλινόμενα διὰ διφθόγγου
γράφονται ἐξ ἀνάγκης. τὸ δὲ κρίσκης κρίσκεντος οὐάλης
οὐάλεντος. κλήμης κλήμεντος. καὶ μάνης μάνεντος. οὐχ

ἐχάρην. ἀορ. β. nō ÷ in usu nisi apud poetas

ἐχάρην — Rª. orthogr. — χάρις . ιδος debebat dici — θέμις . ιτος & θέμιστος pleonasmo — Rª. declinatio

Regula nō intelligas hic per tempio per terminationis sed participationem ut ipse declarat subdens οἷον χαρίεις ὁ μετέχων χάριτος

A uocatiuo χάριεν facta est neutra terminatio χάριεν

ἑλληνικὴν ἔχουσι τὴν διὰ τοῦ ντ κλίσιν. ὅθεν οὐκ ἀντίκειται
τῷ λόγῳ εἰ διὰ τοῦ η γράφονται διὰ τοῦ ντ κλινόμενα.
[Regula declinat.] ¶ Ἰστέον ὅτι τὰ εἰς σ λήγοντα μετὰ διφθόγγου ὡς ἐπὶ τὸ
πλεῖστον ἀποβάλλουσι τὸ ὑποτακτικὸν αὐτῶν φωνῆεν ἐν τῇ
γενικῇ. οἷον βασιλεὺς βασιλέως. χαρίεις χαρίεντος. ὡς ἐ-
πὶ τὸ πλεῖστον εἴρηται διὰ τὸ κλεὶς κλειδός. παῖς παι-
δός. δαῒς δαϊτός. φαῒς φαϊτός καὶ ἕτερα. τὸ εν μακρὸν
[Rª. declinatio.] θέσει. πάντα τὰ διὰ τοῦ ντ κλινόμενα ἡ κλητικὴ ὦ χαρίει
[De Vocatiuis] ὁ κανών. τὰ εἰς εις ἀποβολῇ τοῦ σ. καὶ ἀττικῶς ὦ χαρίεις.
οἱ ἀττικοὶ καὶ ὦ χάριεν ὡς ὦ αἶαν. ἀπὸ ταύτης τῆς κλητι-
κῆς οὐδέτερον τὸ χάριεν. ἡ δοτικὴ τῶν πληθυντικῶν τοῖς
[χαρίεσι καὶ χαρίεσσι] χαρίεσιν. ὁ κανὼν ὡς τοῖς αἴασι. καὶ χαρίεσσι ποιητικῶς
διὰ δύο σσ ὅπερ ἐπεκράτησε καὶ παρὰ τοῖς κοινοῖς.

¶ παράδειγμα.

[τιμήεις τιμή τίω. significat. 3 · reddo · punio · soluo] ¶ Πόθεν τιμήεις. παρὰ τὸ τιμή. τὸ δὲ τιμὴ παρὰ τὸ τίω
τὸ τιμῶ. τὸ τίω πόσα σημαίνει τρία. τὸ τιμῶ ἐξ οὗ τι-
μή. τὸ δίδωμι καὶ μετὰ τῆς ἀπὸ προθέσεως ἀποτίω
τὸ ἀποδίδωμι. ὡς τὸ δανείζεται ὁ ἁμαρτωλὸς καὶ οὐκ
ἀποτίσει. καὶ τὸ τιμωροῦμαι ἐξ οὗ τιμωρία. τὰ διὰ
τοῦ ιω ῥήματα καὶ ἐνεργητικῶς γραφόμενα καὶ παθητι-
[Rª. orthogra.] κῶς μὴ παρ' ἐνεστῶτα ἢ μέλλοντα παρηγμένα μηδὲ ἀπὸ
πλεονασμοῦ ἔχοντα τὸ ι. μηδὲ ἀντιπαρακείμενον τὸ ο
ἐν τοῖς ὀνόμασι διὰ τοῦ ι γράφονται. οἷον κυλίω κονίομαι
τὸ εἰς μάχην ἑτοιμάζομαι. τίω χρίω τὸ ἀλείφω. εἴπομεν
μὴ παρ' ἐνεστῶτα ἢ μέλλοντα παρηγμένα διὰ τὸ χρῶ χρείω
[χρείω, κιχείω] τὸ μαντεύω. κίχω κιχείω. πολεμήσω πολεμησείω. ὄψω ἄ-
χρηστον ἐν τοῖς ἐνεργητικοῖς. ὀψείω δὲ ἐν χρήσει παρὰ τοῖς ποι-
ηταῖς. εἴπομεν μηδὲ ἀπὸ πλεονασμοῦ ἔχοντα τὸ ι διὰ τὸ
χέω χείω. μηδὲ ἀντιπαρακείμενον τὸ ο διὰ τὸ κλείω ἀντι-
παράκειται γὰρ ἐν τῷ κλοιός. τὸ ο ἄτιμα διὰ διφθόγγου
[Verba in ιω producunt · ι ·] γράφονται. τὸ τι μακρόν ἐστιν ἢ βραχύ. μακρὸν τὰ τοιαῦτα πα-
ραληγόμενα ῥήματα ἐκτείνει αὐτό. οἷον κυλίω μηνίω τὸ
μνησικακῶ. πλὴν τοῦ ἐσθίω. τὸ μὴ ἐκ τοῦ τιμή. πάντα τὰ
[Rª. orthograph.] εἰς η λήγοντα θηλυκὰ διὰ τοῦ η γράφονται.

¶ κανὼν. θ.

δανείζεται ὁ ἁμαρτωλὸς καὶ
οὐκ ἀποτίσει



[ευς.] ¶ Πόθεν πηλεύς. παρὰ τὸ πάλλω τὸ κινῶ. παλεὺς καὶ τρο-
πῇ τοῦ α εἰς η πηλεύς. τὸ πη ἢ ὁμοίως. καὶ ἄλλως. τίνα
διὰ τοῦ ιλευς ὀνόματα διὰ τοῦ ι γράφονται. καὶ τίνα διὰ [Rª. orthogra.]
τοῦ η. διὰ μὲν τοῦ ι ταῦτα ἀχιλλεὺς βασιλεὺς οἰλεύς
διὰ δὲ τοῦ η ταῦτα πηλεὺς νηλεύς. τὸ ἐπὶ τὸ λευς ὀξεῖαν πᾶ-
σα ὀρθὴ καὶ αἰτιατική. ¶ Ἰστέον ὅτι πάντα τὰ εἰς ευς κοινῶς [Omnia in ευς acuuntur]
ὀξύνονται. κοινῶς δὲ εἴρηται. διότι οἱ αἰολεῖς βαρύνουσιν αὐ-
τὰ ἀχίλλευς καὶ πήλευς καὶ βασίλευς λέγοντες. πῶς κλί- [Rª declinatio]
νεται τοῦ πηλέος κοινῶς. ὁ κανών. τὰ εἰς ευς διὰ τοῦ εος
κλίνονται πηλέος. βασιλέος. τυδέος. οἰνέος. τὸ λε ψιλὸν
διότι ἦν αὐτὸ ἐν τῇ ευ διφθόγγῳ. τὸ συνῃρημένον οὐκ ἔχει τὰ
ἐπιδεχόμενα ἀττικά. καὶ ἰωνικῶς πηλῆος. ὁ κανών. οἱ ἴω- [Regula decli.]
νες καὶ οἱ ποιηταὶ τὰς εἰς ος ληγούσας γενικὰς τὰς ἀ-
πὸ τῶν εἰς ευς εὐθειῶν γινομένας διὰ τοῦ ηος προφέρου-
σι. τὸ ε τρέποντες εἰς η. οἷον τυδεὺς τυδῆος. πηλεὺς πη-
λῆος. ἀχιλλεὺς ἀχιλλῆος. ἡ δοτικὴ τῷ πηλεῖ καὶ πηλεῖ καὶ
πηλῆι. ἡ αἰτιατικὴ τὸν πηλέα. τὸ α μακρόν ἐστιν ἢ βραχύ. [Regula precisa]
[:: bore] μακρόν. πᾶσα γενικὴ εἰς ος λήγουσα ἔχει τὴν αἰτιατικὴν
τῶν ἑνικῶν εἰς α ὁμότονον. εἰ μὴ δισύλλαβος εἴη ἡ γενικὴ ὡς
προείπομεν. καὶ ὁμόχρονον. οἷον αἴαντος αἴαντα. οἱ οὖν ἀθη- [Technicus]
ναῖοι ἐπειδὴ πηλέως καὶ ἀχιλλέως διὰ τοῦ ω μεγάλου γρά-
φουσι. τούτου χάριν ποιοῦσι τὴν αἰτιατικὴν τῶν ἑνικῶν εἰς
α μακρὸν ἵνα ἰσόχρονος γένηται τῇ γενικῇ. καὶ εὐριπίδης [Euripides]
καὶ μὴν δέδορκα τὸν δὲ πηλέα πέλας. τὸν πηλέα καὶ τὸ
συνῃρημένον οὐκ ἔχει. διὰ τί. διότι οὔτε εἰς η ἔχει ἀκολουθίαν
συναιρεθῆναι ἐνταῦθα τὸ ε καὶ α οὔτε εἰς α. καὶ εἰς η μὲν οὐ [Quare nō faciat in accusatiuo πηλη]
[Rª declin.] συναιρεῖται. διότι οὐδέποτε τῆς κλητικῆς εἰς φωνῆεν
ληγούσης ὀφείλει ἡ αἰτιατικὴ τῶν ἑνικῶν εἰς η καταλήγειν
εἰς α δὲ οὐ συναιρεῖται. διότι τότε συναιροῦνται αἱ τοι-
αῦται αἰτιατικαὶ εἰς α ὅτε πρὸ τοῦ ε σύμφωνον οὐκ ἔστι. τὸ
ἰωνικὸν πηλῆα. ἡ κλητικὴ ὦ πηλεῦ. ὁ κανών. τὰ εἰς σ λήγον- [De Vocatiuo]
τα μετὰ διφθόγγου ἀποβολῇ τοῦ σ ποιεῖ τὴν κλητικήν. ἔστι
τὸ λευ περισπώμενον. πᾶσα δίφθογγος τελικὴ εἰς υ λήγου- [Dipth. finalis in · υ · finiens circumflectit]
σα καὶ ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται. σεσημείω-
ται τὸ ἰδού. ἰού. οὐ. καὶ ἀττικῶς ὦ πηλεύ. ἡ δοτικὴ τῶν πλη-

θυντικῶν τοῖς πλευσιν· ὁ κανὼν ὡς τοῖς αἴασι.

Παράδειγμα.

Πόθεν βασιλεύς; παρὰ τὸ βάσις εἶναι λαοῦ· τὸ σι. ι. ἀπὸ τοῦ βάσις· τὰ εἰς ις θηλυκὰ. καὶ ἄλλως· τίνα διὰ τοῦ ιλευς ὀνόματα· μακρόν ἐστιν ἢ βραχύ· βραχύ· τὰ εἰς ις θηλυκὰ συστέλλει τὸ ι. κανὼν ι.

Πόθεν ἡδύς; παρὰ τὸ ἥδομαι τὸ εὐφραίνομαι. τὸ η. ἢ τίνα διὰ τοῦ ει δ ω ῥήματα καὶ ἐνεργητικῶς γραφόμενα καὶ παθητικῶς διὰ τῆς ει διφθόγγου γράφονται. καὶ τίνα διὰ τοῦ η. διὰ μὲν τῆς ει διφθόγγου ταῦτα· φείδομαι τὸ ἀκριβολογοῦμαι καὶ ἐλεῶ. μειδιῶ τὸ γελῶ, ἀφ' οὗ φιλομειδὴς ἀφροδίτη ἡ φιλόγελως. ἢν Ἡσίοδος ἀπὸ τῶν μηδέων ἤγουν τῶν αἰδοίων παράγει. ὅτι φησὶ μηδέων ἐξεφαάνθη. ἀείδω ᾄδω. τὸ γινώσκω. δείδω τὸ φοβοῦμαι. ἀείδω τὸ ἐμμελῶς λέγω. ἐρείδω τὸ στηρίζω. διὰ δὲ τοῦ η ταῦτα. ἥδομαι τὸ εὐφραίνομαι. κήδομαι τὸ φροντίζω καὶ πηδῶ περισσωμένως καὶ φιληδῶ. ἐπὶ τὸ ἥδεσθαι τὸ η πρὸ τοῦ δ. ἐνίοτε μὲν δασύνεται. οἷον ἥδομαι καὶ τὰ παρ' αὐτοῦ. ἐνίοτε δὲ ψιλοῦται οἷον ἦδος τὸ ὄφελος καὶ ἠδωνοὶ ἔθνος ἐν μακεδονίᾳ. τὸ δυς ψιλόν. τίνα εἰσ υς ἐπὶ εὐθείας καὶ γενικῆς πτώσεως διὰ τοῦ υψιλοῦ γράφονται. καὶ τίνα διὰ τῆς ο καὶ ι διφθόγγου. διὰ μὲν τοῦ υψιλοῦ ταῦτα. στάχυς. ἄσταχυς. πέλεκυς. πῆχυς βότρυς. μῦς. δρῦς. ὗς. ὀφρύς. καὶ ὅσα τριγενῆ ὄντα οὐχ ὁμόφωνον ἔχουσι τὸ θηλυκὸν τῷ ἀρσενικῷ. ἀλλὰ διὰ τοῦ εια. οὐδὲ τὸ οὐδέτερον εἰς ες λήγον. οἷον ἡδύς. ὠκύς. ταχύς διὰ δὲ τῆς ο καὶ ι διφθόγγου. φθοΐς. εἶδος πλακοῦντος. καὶ οἶς τὸ πρόβατον. ἅπερ ἀπὸ τοῦ φθοΐς καὶ ὄϊς συναιροῦνται. μακρὸν ἐστὶν ἢ βραχύ. βραχὺ· τὰ εἰς σ λήγοντα μετὰ διχρόνου ἀποβολῇ τοῦ σ τὸ οὐδέτερον ποιοῦντα συνεσταλμένον ἔχει τὸ δίχρονον· ὁ μέγας τὸ μέγα. ὁ ἡδύς τὸ ἡδύ. ὁ ὠκύς τὸ ὠκύ. πῶς κλίνεται τοῦ ἡδέος. ὁ κανὼν τὰ εἰς υς τριγενῆ διὰ τοῦ εος κλίνονται. τριγενῆ δὲ εἰσὶν ὅσα ἀρσενικὸν γένος ἔχουσι θηλυκὸν καὶ οὐδέτερον οἷον ὁ ἡδύς ἡ ἡδεῖα τὸ ἡδύ. ὁ ὠκύς ἡ ὠκεῖα τὸ ὠκύ. τὸ ἀττικὸν οὐ ποιεῖ. ἵνα μὴ συνεμπέσῃ τῷ τῆς μεσότητος ἐπιρρήματι τῷ ἡδέως. ἡ αἰτιατικὴ τὸν ἡδύν ~~ὡς τὸν αἰαν... καὶ ἡδὺν~~ ὡς τὸν

puto nõ fuisse delendã lectioné impressam. tum quia technicus ἡδέα admittit nõ solũ ἡδὺν. tum etiã quia in fine huius libri ubi inflectuntur nomina per omnes casus & numeros utrũq: accusatiuũ agnoscit

κοχλίαν. ἡ κλητικὴ ὦ ἡδύ. ὁ κανὼν τὰ εἰς υς ἀποβολῇ τοῦ σ.

Παράδειγμα.

Πόθεν ὠκύς; παρὰ τὸ ὦκα ὃ δηλοῖ τὸ ταχέως. τὸ ω μέγα. τὸ ω πρὸ τοῦ κ. ~~ἐν τισὶ~~ μὲν διὰ τοῦ ω μεγάλου γράφεται. ~~ἐν τισὶ~~ δὲ διὰ τοῦ ο μικροῦ. ἐν τισὶ διὰ τοῦ ω μεγάλου, ἐν τούτοις. ὦκα. ὠκύς ὁ ταχύς. ὠκεανὸς ἡ περὶ τὰ γάδειρα μεγίστη θάλασσα. ἣν Ὅμηρος κύκλῳ τῆς γῆς λέγει στρέφεσθαι. ὤκιμον εἶδος βοτάνης τὸ κοινῶς λεγόμενον βασιλικόν. καὶ ἐν ἑτέροις. ἐν τισὶ διὰ τοῦ ο μικροῦ, ἐν τούτοις. ὅκα. ποιητικῶς ἀντὶ τοῦ ὁπηνίκα. ὁκόσος ἀντὶ τοῦ ὁπόσος. ὅκως ἀντὶ τοῦ ὅπως. ὀκρίβας καὶ ἐν ἑτέροις. ἐπὶ τῷ ω ψιλήν. τὸ ω ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται οἷον ὠκύς. ὠδίνει ἡ γυνὴ ἤγουν ἐν γαστρὶ ἔχει ὠλένη ἡ ἀγκάλη. πλὴν τοῦ ὧδε ἀντὶ τοῦ ἐνταῦθα καὶ ἀντὶ τοῦ οὕτως. καὶ ὥρα ὁ καιρὸς καὶ ἡ εὐμορφία.

Κανὼν ια.

Βότρυς τὸ βο μικρόν ~~ὡς ὁ κοχλίας~~ τὸ κο μακρόν ἐστιν ἢ βραχύ. καὶ μακρὸν καὶ βραχύ. τὰ γὰρ ἐπαγόμενα σύμφωνα ἄφωνόν ἐστι πρὸ ἀμεταβόλου. τὸ τρυς ψιλόν. τίνα εἰς υς ἐπ' εὐθείας μακρόν ἐστιν ἢ βραχύ. βραχύ· τὰ εἰς υς ψιλὸν βαρύτονα, εἴτε μονογενῆ εἰσὶν εἴτε τριγενῆ συστέλλει τὸ υ. οἷον βότρυς. νέκυς. πίτυς. δάκρυς. γένυς. στάχυς. ἄσταχυς. πῆχυς. πέλεκυς. πῶς κλίνεται τοῦ βότρυος. ὁ κανὼν τὰ εἰς υς μονογενῆ τὸ υ φυλάσσει καὶ ἐπὶ γενικῆς βότρυος νέκυος. πλὴν τοῦ πῆχυς πήχεως. πέλεκυς πελέκεως. καὶ ἔγχελυς ἐγχέλεως. ἃ καὶ διὰ τοῦ ω μεγάλου κλίνονται ἀττικῶς. τὸ τρυ. τὰ δίχρονα οἷα εἰσὶν ἐπὶ τῆς εὐθείας τοιαῦτα εἰσὶ καὶ ἐπὶ τῶν ἄλλων πτώσεων εἰ μὴ συναιρεθῶσι. πλὴν τῶν μονοσυλλάβων. ταῦτα γὰρ ἐν μὲν τῇ εὐθείᾳ ἐκτείνει τὸ δίχρονον πλὴν τούτου. ἐν δὲ τῇ γενικῇ συστέλλει. οἷον μῦς μυός. δρῦς δρυός. σῦς συός. πῦρ πυρός. πλὴν τῶν δικαταλήκτων οἷον ῥὶν ῥινός. ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ βότρυες καὶ βότρυς. τὸ υ καὶ ἐνταῦθα μακρὸν κιρνᾶται.

Παράδειγμα.

Πόθεν νέκυς; παρὰ τὸ νε στερητικὸν μόριον καὶ τοῦ κίκυς ἡ δύ

ν III

Ocimũ uulgo dictũ Basilicum.

Τίς. breuis

ἐίν ἐνός. prima sẽper longa ut ποτὶ ἐνὶ χάθει

Rª. orthogra
ναὶ
ναίχι
ναίω τὸ οἰκῶ

νάμις κατὰ συγκοπήν. τὸ νε ψιλόν. τὰ ἀπὸ τῆς νε συλλαβῆς ἀρχόμενα διὰ τοῦ ε ψιλοῦ γράφονται· πλὴν τοῦ ναὶ ἐπίρρημα καταθετικόν. ὃ καὶ ναίχι λέγεται καὶ ναίω τὸ οἰκῶ.

Κανὼν ιβ.

Βοῦς ποίου μέρους λόγου ἐστίν; ὀνόματος. λέγεται δὲ καὶ τὸ ζῶον οὕτω καὶ ἡ βύρσα ὡς παρ' Ὁμήρῳ. βοῦν ἀζαλέην. ἐλέγετο δὲ καὶ βοῦς νόμισμα παρὰ Ἀττικοῖς. βοῦν ἔχον ἐντετυπωμένον. ἐπὶ τῶ βοῦς περισπωμένην. τὰ εἰς ους ἁπλᾶ μονοσύλλαβα περισπῶνται. βοῦς νοῦς ῥοῦς. σεσημείωται τὸ πούς ὀξυνόμενον. πῶς κλίνεται; τοῦ βοός. ὁ κανὼν τὰ εἰς ους ἀπαθῆ διὰ καθαροῦ τοῦ ος κλίνονται. βοῦς βοός νοῦς νοός. πλὴν τοῦ πούς ποδός. ἀποβάλλουσι δὲ τὸ ὑποτακτικὸν αὐτῶν φωνῆεν ἐν τῇ γενικῇ ὡς προείπομεν. τὸ συνηρημένον οὐκ ἔχει· οὐδέποτε δισύλλαβος γενικὴ ἀπὸ μονοσυλλάβου εὐθείας γινομένη συναίρεσιν ἐπιδέχεται. ἡ αἰτιατικὴ τὸν βόα καὶ βοῦν. ἐπὶ τῶ βοῦν περισπωμένην. ~~τὰ εἰς ους ἁπλᾶ μονοσύλλαβα. καὶ ἄλλως~~ πᾶσα αἰτιατικὴ εἰς ν λήγουσα. ἡ κλητικὴ ὦ βοῦ. ὡς τὸ ὦ Πηλεῦ. ἡ γενικὴ καὶ δοτικὴ τῶν δυϊκῶν τοῖν βοοῖν. ὁ τόνος ἐπὶ τίνος; ἐπὶ τῆς ληγούσης. πᾶσα γενικὴ καὶ δοτικὴ δισύλλαβος ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον, ἐφ' ἧς καὶ ἡ γενικὴ τῶν πληθυντικῶν ἀνδρῶν ἀνδροῖν βοῶν βοοῖν. ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ βόες τὸ συνηρημένον οἱ βοῦς. τὸ ο καὶ ε εἰς τὴν ου δίφθογγον κιρνᾶται. ἰστέον ὅτι ἐπὶ τῶν πληθυντικῶν ἀεὶ συναίρεσις γίνεται εἰ καθαρεύουσι τὰ φωνήεντα πλὴν τῆς γενικῆς. αὕτη γὰρ τῇ γενικῇ τῶν ἑνικῶν ἀκολουθεῖ. οἷον πήχεων. ἡ γενικὴ τῶν πληθυντικῶν τῶν βοῶν. ὁ τόνος ἐπὶ τίνος; ἐπὶ τῆς ληγούσης. αἱ εἰς ες λήγουσαι δισύλλαβοι εὐθεῖαι τῶν πληθυντικῶν περισπῶσι τὰς γενικὰς αὐτῶν. μῆνες μηνῶν. χῆνες χηνῶν. γρᾶες γραῶν. βόες βοῶν. πλὴν τούτων πάντων τρώων θώων δμώων λάων κράτων δᾴδων παίδων φῴδων. ἡ δοτικὴ τῶν πληθυντικῶν τοῖς βουσίν. ὡς τοῖς Αἴασιν. ὁ τόνος ἐπὶ τῆς ληγούσης. πᾶσα δοτικὴ πληθυντικῶν δισύλλαβος ἀνεπέκτατος. ἐπὶ μὲν τῶν ὀνομάτων ὀξύνεσθαι θέλει. οἷον βουσὶ τρωσίν. ἐπὶ δὲ τῶν μετοχῶν βαρύνεσθαι. οἷον βᾶσι στᾶσι. σεσημείωται τὸ πᾶσι βαρυνθέν. ἵνα μὴ συνεμπέσῃ τῷ Πασὶ κυρίῳ ὀνόματι. οὗ ἡ εὐθεῖα ὁ Πάν. ἀνεπέκτατος εἴρηται διὰ τὸ τοῖσι καὶ σοῖσι. ταῦτα γὰρ κατ' ἐπέκτασιν τοῦ ι γινόμενα τὸν οἰκεῖον φυλάττουσι τόνον. ἡ αἰτιατικὴ τῶν πληθυντικῶν τοὺς βόας τὸ συνηρημένον τοὺς βοῦς. οὐ γίνεται δὲ εἰς ως ἵνα ἀκολουθήσῃ τῇ εὐθείᾳ. πᾶσα γὰρ εὐθεῖα πληθυντικῶν εἰς ες λήγουσα. καὶ συνηρημένη κατὰ τὸ τέλος ~~τὴν ἰδίαν αἰτιατικὴν ἔχει ὁμότονον καὶ διὰ τοῦ αὐτοῦ γραφομένην δηλονότι καὶ τὴν κλητικήν.~~

Homerus
βοῦς νοῦς ῥοῦς πούς
Regula declina
Documentum notandum
Regula pulchra declinatio.
οε. ου.
Regula pulchra de tono geni. plu.
Ex[illegible]
Regula de tono dativi plur.
ους.
Regula

ἐπὶ τῶν πληθυντικῶν ἀεὶ συναίρεσις γίνεται εἰ καθαρεύουσι τὰ φωνήεντα πλὴν τῆς γενικῆς. αὕτη γὰρ τῇ γενικῇ τῶν ἑνικῶν ἀκολουθεῖ οἷον πήχεων

παντων
τρώων
θώων
δμώων
λάων
κεράτων. φῴδων
δᾴδων. παίδων.

20

πᾶσι
βᾶσι
ἱστᾶσι

## Παράδειγμα.

Ὁ πούς πῶς κλίνεται; τοῦ ποδός. ὁ κανὼν ὡς τοῦ βοός. ἐοίκασι δὲ οἱ πόδες ὥς φησιν Ἀριστοτέλης ἀπὸ τοῦ πέδου εἰλῆφθαι τὸ ὄνομα. τὸ πο μικρὸν ἀπὸ τῆς διφθόγγου τῆς εὐθείας. ἧς ἀποβαλλούσης τὸ υ κατελείφθη τὸ ο μικρόν. ἡ αἰτιατικὴ τὸν πόδα. ἡ διὰ τοῦ ν μονοσύλλαβος αὐτοῦ αἰτιατικὴ οὐκ ἔστι. διὰ τί; διότι ἠναγκάζετο καὶ ὀξύνεσθαι ἵνα ὁμότονος ᾖ τῇ εὐθείᾳ καὶ περισπᾶσθαι. διότι πᾶσα αἰτιατικὴ μονοσύλλαβος εἰς ν λήγουσα περισπᾶται. ἀδύνατον οὖν ἦν αὐτὴν δέξασθαι ἀμφότερα. ἐξέλιπεν. ἡ κλητικὴ ὦ πούς. ὁ κανὼν. οἱ Ἀττικοὶ ~~τὰς αὐτὰς ἔχουσι ὀρθὰς καὶ κλητικάς.~~ ἡ κοινὴ κλητικὴ ἐξέλιπεν ἵνα μὴ συνεμπέσῃ τῷ ποῦ ἐπιρρήματι.

ους.
πόδες ἀπὸ τοῦ πέδου
Aristoteles
ἤ καὶ
ἤ διὰ τί
Cur vocativus ποῦ non habet

## Κανὼν ιγ.

Πόθεν πλόος; παρὰ τὸ πλέω ὡς παρὰ τὸ ῥέω ῥόος καὶ παρὰ τὸ νέομαι νόος. τὸ πλο μικρόν. τὰ ἔχοντα τὸ ε. τὸ συνηρημένον πλοῦς. τὰ δύο οο εἰς τὴν ου δίφθογγον κιρνᾶται. ἐπὶ τῷ πλοῦς περισπωμένην. πᾶσα συναίρεσις. πῶς κλίνεται; τοῦ πλόου. ὁ κανὼν. τὰ εἰς ος ἀρσενικὰ καὶ θηλυκὰ καὶ τὰ εἰς ον οὐδέτερα εἰς ου ἔχει τὴν γενικήν. τὸ συνηρημένον τοῦ πλοῦ. τὸ ο καὶ ἡ ου δίφθογγος εἰς τὴν ου δίφθογγον κιρνᾶται. ἡ δοτικὴ τῷ πλόῳ τὸ συνηρημένον τῷ πλῷ. τὸ ο καὶ ω μέγα εἰς ω μέγα κιρνᾶται. ἡ αἰτιατικὴ τὸν πλόον ~~[illegible]~~ τὸ συνηρημένον τὸν πλοῦν. τὰ δύο οο. ἡ κλητικὴ ὦ πλόε. ὁ κανὼν. τὰ εἰς ος ἀρσενικὰ καὶ θηλυκὰ εἰς ου ἔχοντα τὴν γενικὴν εἰς ε ποιεῖ τὴν κλητικήν. τὸ συνηρημένον ὦ πλοῦ. τὸ

οος.
οο in ου.
Regula
ο ου in ου
ο ω in ω
Regula de vocativo in ε.

ὁ καὶ εἰς τὴν οι δίφθογγον χρηματίζει. ἐπὶ τῷ πλοῦ περισπω-
μένην. πᾶσα συναίρεσις. ἡ εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυ-
ικῶν τὼ πλόω. ὁ κανὼν. πᾶσα δοτικὴ ἑνικῶν εἰς α ἢ εἰς ω
μέγα λήγουσα. τὸ συνηρημένον τὼ πλῶ. τὸ καὶ ω μέγα
ἐπὶ τῷ πλῷ ὀξεῖαν. τὰ εἰς ους ἐν πάσαις ταῖς πτώσεσι
περισπώμενα ἐν τῇ εὐθείᾳ τῶν δυικῶν ὀξύνεται. τὸ γὰρ
δυϊκὸν ὡς ἀπεγράφη παρὰ τὴν περισπωμένην. ἡ εὐθεῖα τῶν
πληθυντικῶν οἱ πλόοι. ὁ κανὼν πᾶσα εὐθεῖα καὶ αἰτιατι-
κὴ δυικῶν εἰς ω μέγα λήγουσα εἰς οι ποιεῖ τὴν εὐθεῖαν τῶν
πληθυντικῶν. τὸ συνηρημένον οἱ πλοῖ. τὸ πλοῖ μακρὸν τὸ [illegible]
καὶ ἡ οι δίφθογγος. ἐπὶ τῷ πλοῖ περισπωμένην. πᾶσα συ-
ναίρεσις. καὶ ἄλλως. ἀπὸ τῶν εἰς οι ληγουσῶν εὐθειῶν τῶν πληθυντι-
κῶν τὴν εὐθεῖαν τῶν ἑνικῶν ὁμοτονεῖν θέλουσι. λίθινος λίθινοι.
χρυσοῦς χρυσοῖ. ἁπλοῦς ἁπλοῖ. οὕτως καὶ πλοῦς πλοῖ. καὶ
ἄλλως. καθόλου ἐπὶ τῶν ἐχόντων ἐπὶ τέλους τὸν τόνον ὡς
ἔχει τοῦ τόνου ἡ εὐθεῖα τῶν ἑνικῶν οὕτως ἔχει καὶ ἡ αἰτια-
τικὴ τῶν ἑνικῶν. καὶ ἡ εὐθεῖα καὶ ἡ αἰτιατικὴ τῶν πληθυντι-
κῶν. ἡ αἰτιατικὴ τῶν πληθυντικῶν τοὺς πλόους. ὁ κανὼν
πᾶσα εὐθεῖα πληθυντικῶν εἰς οι δίφθογγον λήγουσα εἰς ους
ποιεῖ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν.

*Ra. orthogra. — Regula de accentu — Ra. accentus — De accusativo*

παράδειγμα.

πόθεν μόος. παρὰ τὸ μέομαι τὸ πορεύομαι. τὸ μο μικρόν. τὰ
ἔχοντα τὸ ε, τὸ συνηρημένον ὁ μοῦς. καὶ κλίνεται κατὰ πάντα
ὡς ὁ πλοῦς.

κανὼν. ιδ.

πόθεν ἱδρώς. παρὰ τὸ ἱδρόω ἱδρῶ ἱδρώσω κατὰ ἀπο-
βολὴν τοῦ ω. τὸ ι. ~~[illegible]~~ τὸ ι κατ᾽ ἀρχὴν λέξεως ἢ κατὰ τὸ
μέσον ἔχον ἐπαγόμενα δύο σύμφωνα διὰ τοῦ ι ~~γράφον-
ται~~ ἐν τούτοις. ἱδρώς. ἰγνάτιος. ἴκριον τὸ ὀρθὸν ξύλον. τίγρις. τι-
ρίπτω. ἱκνοῦμαι τὸ παρακαλῶ ποιητικῶς. καὶ ἐν ἑτέροις. ἐν
τισὶ διὰ τοῦ η. ἐν τούτοις ἥπατα ἤτρον τὸ ὑπὸ τὸν ὀμφα-
λὸν μέρος. κολυμβήθρα. καὶ ἐν ἑτέροις. ἐν τισὶ διὰ τῆς ει καὶ
ι διφθόγγου. ἐν τούτοις ῥεῖθρον κλεῖθρον. καὶ ἐν ἑτέροις. ἐπὶ τῷ
ι δασεῖαν. τὸ ι πρὸ τοῦ δ ψιλοῦται εἰ μὴ τὸ ρ ἐπάγοιτο.
οἷον ἱδρώς ἱδρύω. σεσημείωται τὸ ἴδρις ὁ εἰδήσιν ἔχων

*Ra. orthogra. — Regula de spiritu*



ψιλούμενον. τὸ δρῶς μέγα. τὰ εἰς ως ἢ διὰ τοῦ τος ἢ
διὰ καθαροῦ τοῦ ος ἢ κατὰ ἀποβολὴν τοῦ σ κλινόμενα διὰ
τοῦ ω μεγάλου γράφονται. εἰς τος ὡς ἱδρώς ἱδρῶτος.
εἰς ως ὡς ἥρως ἥρωος. κατὰ ἀποβολὴν τοῦ σ ὡς μενέ-
λεως μενέλεω. νικόλεως νικόλεω. ἐπὶ τὸ δρως ὀξεῖαν. πᾶ-
σα ὀρθὴ καὶ αἰτιατικὴ. καὶ ἄλλως. τὰ ἀπὸ μελλόντων δι-
συλλάβων κατὰ ἀποβολὴν τοῦ ω γινόμενα ὀνόματα καὶ
τὰ ἀπὸ τρισυλλάβων δισύλλαβα ὀξύνονται. παύσω
παῦς. γνώσω ἀγνώς. ἱδρώσω ἱδρώς. πλὴν τῶν δυναμέ-
νων διαλυθῆναι ἰωνικῶς. οἷον παῖς ὅτι πάϊς. πῶς κλίνε-
ται τοῦ ἱδρῶτος. ὁ κανὼν. τὰ εἰς ως ὀξύτονα ὑπὲρ μίαν
συλλαβὴν διὰ τοῦ τος κλίνονται. ἱδρώς ἱδρῶτος. ἀγνώς
ἀγνῶτος. ἐπὶ τῷ ι δασεῖαν. τὰ πνεύματα τῆς ἀρχού-
σης εὐθείας φυλάττεσθαι θέλουσι καὶ ἐν ταῖς λοιπαῖς πτώ-
σεσιν. ἡ κλητικὴ ὦ ἱδρώς. ὁ κανὼν ὡς τὸ ὦ λάχης. πόθεν
ἀγνώς. παρὰ τὸ α στερητικὸν μόριον καὶ τοῦ γνῶ γνώσω
κατὰ ἀποβολὴν τοῦ ω. ἰστέον ὅτι τὸ ἀγνὼς εἰ μὲν σημαί-
νει τὸν ἄγνωστον ψιλοῦται καὶ διὰ τοῦ ω μεγάλου γράφε-
ται καὶ διὰ τοῦ τος κλίνεται. εἰ δὲ τὸν καθαρὸν δασύνε-
ται. καὶ διὰ τοῦ ο μικροῦ γράφεται καὶ ὡς ὁ πλόος κλίνε-
ται. καὶ ἀπὸ τοῦ ἅζομαι τὸ σέβομαι γίνεται. ἀφ᾽ οὗ καὶ τὴν
δασεῖαν ἔχει.

*De ω quibus fiunt — Ra. orthogra. — Ra. declina. — Regula de spiritu fructo omnes casus — Deest titulus παράδειγμα*

κανὼν. ιε.

πόθεν γέλως. παρὰ τὸ χέω χέλως καὶ τροπῇ τοῦ χ εἰς
γ γέλως. ὁ γὰρ γέλως ἀπὸ διακεχυμένης ψυχῆς γίνεται.
τὸ γε ψιλὸν ἐκ τοῦ χέω. τὰ διὰ τοῦ εω ῥήματα δυνάμε-
να ἐπὶ δευτέρου καὶ τρίτου προσώπου συναίρεσιν ἐπιδέ-
ξασθαι διὰ τοῦ ε ψιλοῦ γράφονται. οἷον χέω χέεις χεῖς. ῥέω
ῥέεις ῥεῖς. ζέω ζέεις ζεῖς. πλέω ~~τὸ μετὰ νεὼς θάλατταν περ-~~
~~ῶ~~ πλέεις πλεῖς καὶ ἕτερα. τὰ δὲ μὴ δυνάμενα ~~ἐπὶ δευτέ-~~
~~ρου καὶ τρίτου προσώπου~~ συναίρεσιν ἐπιδέξασθαι διὰ
τῆς αι διφθόγγου γράφονται. οἷον παλαίω. λιλαίομαι τὸ
ἐπιθυμῶ καὶ ἕτερα. πῶς κλίνεται τοῦ γέλωτος. ὁ κανὼν
τῶν εἰς ως ἀρσενικῶν βαρυτόνων. τὰ μὲν βραχεῖα παρα-
ληγόμενα διὰ τοῦ τος κλίνονται. γέλως γέλωτος. μέ πως

*Regula ortho. — Regula de in ως barytonis nominibus*

μένπωτος. τὰ δὲ μακρὰ διὰ καθαροῦ τοῦ ος μίνως μίνωος. ἥρως ἥρωος.

Παράδειγμα.

Πόθεν ἥρως. παρὰ τὸ ἔρως κατὰ Πλάτωνα. γεγόνασι γάρ φησιν οἱ ἥρωες ἀπὸ ἔρωτος. ἢ θεοῦ πρὸς θνητὴν. ἢ θνητοῦ πρὸς θεάν. ἢ παρὰ τὸ εἴρειν τὸ λέγειν. ὅτι φησὶ σοφοὶ ἦσαν οἱ ἥρωες καὶ ῥήτορες καὶ δεινοὶ καὶ διαλεκτικοὶ καὶ ἱκανοὶ ἐρωτᾶν. ἐπὶ τῶν δασέων τὸ η ἐπιφερομένου τοῦ ρ μετὰ φυσικῆς μακρᾶς δασύνεται εἰ μὴ ἐκ κλίσεως εἴη. οἷον ἥρα ἥρως ἡρῴδης. ἐκ κλίσεως εἴρηται διὰ τὸ ἠρήρειστο καὶ ἦρα ἀντὶ τοῦ ἐπεθύμει. ταῦτα γὰρ ψιλοῦνται ὡς ἀπὸ ἐκκλίσεως ὄντα. τὸ η. ἢ ἀπὸ τοῦ ἔρως κατὰ τροπὴν τοῦ ε εἰς η.

Κανὼν ιϛ.

Πόθεν μενέλαος. παρὰ τὸ μένος τὸ σθένος καὶ τὸ λαὸς ἐκβολῇ τοῦ σ καὶ τροπῇ τοῦ ο εἰς ε. ποσαχῶς γίνεται ἡ τροπὴ τῶν φωνηέντων τετραχῶς. ἢ γὰρ τὸ μακρὸν ~~τρέπε-ται~~ εἰς μακρόν. ὡς ἐν τῷ πυθαγόρας πυθαγόρης. ἢ τὸ βραχὺ εἰς βραχύ. ὡς ἐν τῷ μενόλαος μενέλαος. ἢ τὸ βραχὺ εἰς μακρόν. ὡς ἐν τῷ μενέλαος μενέλεως. ἢ τὸ μακρὸν εἰς βραχύ. ὡς ἐν τῷ ναὸς νεὼς λαὸς λεώς. τὸ μὲ ψιλὸν ἀπὸ τοῦ μένω ἀφ' οὗ μόνος. τὸ με ψιλὸν κατὰ τροπὴν τοῦ ο εἰς ε. τὸ λα μακρόν. τὰ εἰς ος καθαρὸν δίχρονον παραληγόμενα ἐκτείνει αὐτό. οἷον ναὸς. λαὸς. κριὸς. ἰός. τὸ ος μικρὸν ὡς ὁ πλόος. τὸ ἀττικὸν ὁ μενέλεως. ὁ κανὼν τὰ εἰς ος ὀνόματα μεταποιοῦσιν εἰς ως ἀττικοὶ καὶ τὰ παραλήγοντα τῶν φωνηέντων εἰς ε μεταβάλλουσι. τὸ λε ψιλὸν καὶ τὸ ως μέγα ὁμοίως. πῶς κλίνεται τοῦ μενελάου τὸ ἀττικὸν τοῦ μενέλεω. ὁ κανὼν οἱ ἀττικοὶ τὰς εἰς ως μεγα ληγούσας εὐθείας αὐτῶν κατὰ ἀποβολὴν τοῦ σ κλίνουσι. διὰ τί προπαροξύνεται. ἐὰν φθάσῃ ἡ προπαροξυνθῆναι ἡ ἀττικὴ εὐθεῖα. πᾶσα πλῶσις αὐτῆς προπαροξύνεται. τὸ ω μέγα. πᾶσα γενικὴ περιττοσυλλαβοῦσα. ἡ δοτικὴ τῷ μενελάῳ. τῷ μενέλεῳ. ὡς τῷ πλόῳ. ἡ αἰτιατικὴ τὸν μενέλαον καὶ ἀττικῶς τὸν μενέλεων. ὁ κανὼν καὶ τοῦτο ἀ-



πὸ τοῦ κοινοῦ γέγονε τροπῇ τοῦ α εἰς ε καὶ τοῦ ο μικροῦ εἰς ω μέγα. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ~~τὸ λε ψιλὸν καὶ τὸ ω μέγα ὁμοίως~~. ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ μενέλαοι οἱ μενέλεῳ. καὶ τοῦτο ἀπὸ τοῦ κοινοῦ γέγονε τροπῇ τοῦ α εἰς ε καὶ τοῦ ο μικροῦ εἰς ω μέγα. ἔχει δὲ καὶ τὸ ι προσγεγραμμένον. πᾶσα γὰρ εὐθεῖα πληθυντικῶν ἀρσενικῶν τε καὶ θηλυκῶν ~~εἰς φωνῆεν λήγουσα εἰς ι θέλει λήγειν~~. ἡ αἰτιατικὴ τῶν πληθυντικῶν τοὺς μενελάους τὸ ἀττικὸν τοὺς μενέλεως. καὶ τοῦτο ἀπὸ τοῦ κοινοῦ γέγονε τροπῇ τοῦ α εἰς ε. καὶ τοῦ ο μικροῦ εἰς ω μέγα. τὸ δὲ υ ἐξέπεσε διὰ τὴν κακοφωνίαν.

Παράδειγμα.

Πόθεν νικόλαος. παρὰ τὸ νίκη καὶ τὸ λαὸς κατὰ τροπὴν τοῦ η εἰς ο ὡς ἀπὸ τοῦ τιμὴ τιμόθεος. σημαίνει δὲ νίκη δύο. λέγεται γὰρ ἐπὶ τῶν φιλονεικούντων διὰ διφθόγγου ποιητικῶς. καὶ ἐπὶ τῶν ἐριζόντων ὁ ποιῶν οὖν ἔριν ὅταν ὁ ἕτερος περιγένηται. τὸ νι ι. τίνα εἰς κη θηλυκὰ διὰ τοῦ ι τὴν παραλήγουσαν ἔχοντα τῷ ι παραλήγεται. καὶ τίνα τῷ η. καὶ τίνα διὰ τῆς ε καὶ ι διφθόγγου. ~~τῷ μὲν ι~~ ταῦτα. νίκη. δίκη. φρίκη. θεσσαλονίκη καὶ ἕτερα. τῷ δὲ η ταῦτα. θήκη πηνήκη κόσμος κεφαλῆς καὶ ἕτερα. τῆς ε ι διφθόγγου ταῦτα. νείκη ἡ φιλονεικία. εὐνείκη ὄνομα κύριον. ἐρείκη εἶδος φυτοῦ καὶ ἕτερα. πόθεν νίκη. παρὰ τὸ ἐνι εἴκειν καὶ ὑποτάσσεσθαι. ἐνίκη καὶ ἐκβολῇ τῶν δύο εε καὶ κράσει τῶν δύο ιι εἰς ι. μακρὸν νίκη. τὸ κο μικρὸν κατὰ τροπὴν τοῦ μακροῦ εἰς βραχύ.

Κανὼν ιζ.

Ἅλς πόσα σημαίνει. δύο. θηλυκῶς μὲν τὴν θάλατταν καὶ κλίνεται ἐν μόνοις τοῖς ἑνικοῖς. ἀρσενικῶς δὲ τὸ ἅλας καὶ κλίνεται δι' ὅλου. ἐν χρήσει δέ ἐστιν ἐν τοῖς πληθυντικοῖς μόνοις. ἅλς τοίνυν ἡ θάλασσα καὶ ἀπὸ τούτου ἅλς τὸ ἅλας. ἅλς δὲ ἡ θάλασσα. ἀπὸ τοῦ ἁλίζω τὸ συναθροίζω. τὸ συνηθροισμένον εἰς ἓν ὕδωρ. ἐπὶ τῷ ἅλς τί πνεῦμα. δασεῖαν. τὸ ἀθροιστικὸν α δασύνεται. μακρόν ἐστιν ἢ βραχύ. μακρὸν θέσει. τὸ λ καὶ τὸ σ ἐκτείνει αὐτό. ἐπὶ τῷ ἅλς τίνα τόνον. ὀξεῖαν. ἐπάνω θέσει μακρᾶς. πῶς κλίνεται τοῦ ἁλός. ὁ

ἐρείκη εἶδος φυτοῦ. unde ericodes insula siciliae.

Regula nota

Regulae duae repugnantes

∴ absurditate

De Vocatiuis

κανών. πᾶν ὄνομα εἰς δύο σύμφωνα λῆγον διὰ δύο συμφώνων κλίνεται· ἕλμινς ἕλμινθος· τίρυνς τίρυνθος. πλὴν τοῦ ἅλς ἁλός. διὰ τί; διότι δασυνομένης τῆς [illegible] ἠναγκάζετο ψιλοῦσθαι. ἡ γενικὴ εἰ οὕτως ἐκλίνετο κατὰ τὸν κανόνα τὸν λέγοντα τὸ α λῆγον εἰς λ ἐπιφερομένου συμφώνου τῆς τρίτης συζυγίας τῶν βαρυτόνων ἤγουν τοῦ δ ἢ τοῦ θ ἢ τοῦ τ ψιλοῦται. τοῦτο δὲ διὰ τοῦ θ ἥρμοζε κλιθῆναι, ὡς τίρυνς τίρυνθος· ὅπερ ἐξέλιπε διὰ τὴν συμβαίνουσαν ἀτοπίαν. τὸ α βραχὺ ἀπὸ τοῦ θέσει μακροῦ γίγνεται φύσει βραχύ, τοῦ ἑνὸς συμφώνου ἐκλελοιπότος. ἡ κλητικὴ ὦ ἅλς. ὁ κανὼν τὰ εἰς δύο σύμφωνα λήγοντα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν.

παράδειγμα.

Πόθεν τίρυνς; παρὰ τὸ τείρω τὸ καταπονῶ. ἔστι δὲ ὄνομα πόλεως. τὸ τι ι· πολλά εἰσιν ὀνόματα ἀπὸ ῥημάτων γινόμενα διὰ τοῦ ι γραφόμενα, γραφομένων τῶν ῥημάτων διὰ διφθόγγου· ~~τῶν δὲ ὀνομάτων διὰ τοῦ ι~~ οἷον πείθω πιθανός· λείχω λιχανός· οὕτω καὶ τείρω τίρυνς. καὶ ἄλλως· τὰ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην συλλαβήν, ἔχοντα δὲ ἐν τῇ δευτέρᾳ τὸ ι ἢ τὸ υ διὰ τοῦ ι ἔχει τὴν πρώτην ὡς ἐπὶ τὸ πλεῖστον· οἷον ἶσις κύριον, ἶρις· δριμύς· βριθύς· πίτυς· οὕτω καὶ τίρυνς. τὸ τι μακρόν ἐστιν ἢ βραχύ; τὰ ἀπὸ ῥημάτων γινόμενα ὀνόματα διὰ τοῦ ι, διὰ διφθόγγου ἐκείνων ἐκφερομένων, βραχὺ ἔχουσιν ἀεὶ τὸ ι. τὸ ρυνς ψιλὸν ἕλμινς. ι. τίρυνς ψιλόν. τὸ ρυνς μακρόν ἐστιν ἢ βραχύ; μακρὸν τὸ ν καὶ τὸ σ ἐκτείνει αὐτό.

Rª. orthograph.

Rª. Orthograph.

Rª. quantitatis

κανὼν ιη.

Πόθεν ἀλκμάν; παρὰ τὸ ἀλκὴ ἡ δύναμις, ἄλκιμος καὶ ἀλκμὰν κατὰ συγκοπήν. ἐπὶ τῷ αλ ψιλήν· τὸ α λῆγον εἰς λ ἐπιφερομένου συμφώνου ψιλοῦται πλὴν τοῦ μ· οἷον ἅλμη. τὸ μαν μακρόν· τὰ εἰς μαν καὶ ὀξύνονται καὶ μακρὸν ἔχουσι τὸ α καὶ προσθέσει τοῦ ος κλίνονται. καὶ ἄλλως· πᾶν ἀρσενικὸν καὶ θηλυκὸν εἰς αν ἀμετάβολον λῆγον μακροκαταληκτεῖ. ἰστέον ὅτι τὰ εἰς αν, εἰ μὲν ἁπλᾶ εἰσιν, ὀξύνονται· εἰ δὲ σύνθετα, βαρύνονται· οἷον ἑρμόπαν. πῶς κλίνεται; τοῦ ἀλκμᾶνος. ὁ

R. orthograph

Rª. acce. qntit. & declinat.

Rª qntitatis

Rª. accentus



κανὼν τὰ εἰς αν καὶ ὀξύνονται. ἡ κλητικὴ ὦ ἀλκμάν. ὁ κανὼν τὰ εἰς ἀμετάβολον λήγοντα ὀξύτονα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν.

παράδειγμα

Πόθεν παιάν; παρὰ τὸ παύω παυὰν καὶ τροπῇ τοῦ υ εἰς ι παιάν. ἔστι δὲ ὕμνος εἰς Ἀπόλλωνα ἐπὶ ἀφέσει λοιμοῦ ᾀδόμενος. τὸ παι δίφθογγον· παυὰν καὶ τροπῇ τοῦ υ εἰς ι παιάν.

Rª declinati

Paean qd

κανὼν ιθ.

Πόθεν σωλήν; παρὰ τὸ ~~σῶον ὅλον εἶναι~~. τὸ σω μέγα ~~ἐκ τοῦ σῶος· τὰ διὰ τοῦ ωος μὴ ἔχοντα ῥήματα διὰ τοῦ ω προϋποκείμενα τῷ ω μεγάλῳ παραλήγεται· οἷον κῷος πατρῷος μητρῷος σῶος· εἰ ἄρα τὰ μὴ ἔχοντα ῥήματα διὰ τοῦ ω προϋποκείμενα· διὰ τὸ ῥόος πλόος νόος ὧν προϋπέκειτο τὸ ῥέω πλέω νέομαι.~~ τὸ λην· τὰ εἰς ην μὴ ὄντα δικατάληκτα ἢ διὰ τοῦ η γράφεται ἢ διὰ τοῦ υ ψιλοῦ. τίνα διὰ τοῦ η; ταῦτα· σωλήν· ποιμήν· πυθμὴν καὶ ἕτερα. τίνα διὰ τοῦ υ ψιλοῦ; ταῦτα· μόσσυν· φόρκυν καὶ ἕτερα. πῶς κλίνεται; τοῦ σωλῆνος. ὁ κανὼν τῶν εἰς ην ὀξυτόνων ὅσα μὲν μὴ ἔχει τὸ μ ἐπὶ [illegible], τὸ η τηρεῖ καὶ ἐπὶ γενικῆς καὶ προσθέσει τοῦ ος κλίνονται· οἷον σωλὴν σωλῆνος· χὴν χηνός· πλὴν τοῦ αὐχὴν αὐχένος· καὶ φρὴν φρενὸς ἐπὶ θηλυκοῦ. ὅσα δὲ ἔχει τὸ μ τρέπει τὸ η εἰς ε καὶ προσθέσει τοῦ ος κλίνονται· πλὴν τοῦ μὴν μηνός.

Rª. declinatio

Rª declinatio.

παράδειγμα.

Πόθεν ποιμήν; παρὰ τὸ ἐν τῇ πόᾳ μένειν ποαμὴν καὶ ἐκβολῇ τοῦ α καὶ πλεονασμῷ τοῦ ι ποιμήν.

κανὼν κ.

Πόθεν ἕλλην; παρὰ τὸ ἕλειν λαόν. βασιλεὺς δὲ ἦν. ἀπὸ τούτου δὲ ἕλληνες ὠνομάσθησαν καὶ ἑλλάς. ἔχει δὲ δύο λλ, τὸ μὲν ἀπὸ τοῦ ἕλειν, τὸ δὲ ἀπὸ τοῦ λαός. τὸ ελ ψιλόν· τὸ λ πρὸ ἑαυτοῦ τὴν αι δίφθογγον ἀπαναίνεται· ἀσπάζεται δὲ μᾶλλον τὸ ε ψιλόν· οἷον ἔλεος ἡ ἐλεημοσύνη· ἐλαία φυτὸν ἧς ὁ καρπὸς ~~λέγεται~~ ἐλάα· ἔλαιον τὸ ἀπὸ τῶν ἐλαῶν ἐκπιεζόμενον· ἕλλην ἑλένη ἑλικὼν ὄρος· πλὴν τοῦ αἴλουρος ὄνομα ζώου· αἰλία πόλις· αἰλιανὸς ὄνομα κύριον καὶ αἴλινος

Rª. orthograp

∴ contra τεχνικὸν hoc q indocte dixit ἕλλην urbem esse in qua habitarunt hellenes .i. graeci

ὁ θρῆνος· ἐπὶ τῶν ἐλ δασύνονται· τὸ α ἔληγον εἰς λ ἑτέρου λ ἑπομένου ψιλοῦται. πλὴν τοῦ ἅλλομαι· ἕλλην καὶ ἑλλὰς ὄνομα τόπου. πῶς κλίνεται τοῦ ἕλληνος. ὁ κανὼν τῶν εἰς ην ἀρσενικῶν βαρυτόνων ὅσα μὲν εἰσὶ μονογενῆ, τὸ η τηροῦσι καὶ ἐπὶ γενικῆς καὶ προσθέσει τοῦ ος κλίνονται· ὅσα δὲ ἔχουσιν οὐδετέρου παρασχηματισμὸν διὰ τοῦ ε κλίνονται. οἷον τέρην τέρενος ὅτι καὶ τέρεν· ἄρσην ἄρσενος ὅτι καὶ ἄρσεν. ἡ κλητικὴ ὦ ἕλλην. ὁ κανὼν τὰ εἰς ν ἀμετάβολον λήγοντα βαρύτονα ἀποβάλλοντα τῆς γενικῆς τὴν ἐσχάτην τὸ ος ποιοῦσι τὴν κλητικήν.

Παράδειγμα.

Πόθεν τέρην· παρὰ τὸ τείρω τὸ καταπονῶ. σημαίνει δὲ τὸ ἁπαλὸν καὶ τρυφερόν. τὸ τε ψιλὸν ἐκ τοῦ τείρω κατὰ ἀποβολὴν τοῦ ι.

Κανὼν κα.

Δελφὶν ποίου μέρους λόγου ἐστίν; ὀνόματος. ἔστι δὲ δελφὶν ζῶον ἐν θαλάσσῃ καὶ ὄργανον ναυτικὸν σιδηροῦν ἢ μολίβδινον εἰς δελφῖνα ἐσχηματισμένον. τὸ δελ ψιλόν. τὰ ἀπὸ τῆς δε συλλαβῆς ἀρχόμενα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον δέλεαρ· δέμας τὸ σῶμα· δέπας τὸ ποτήριον· δελφίν· δέλτος· δέομαι. τὰ δὲ διὰ διφθόγγου· οἷον δαίω τὸ εὐωχῶ καὶ μανθάνω καὶ μερίζω καὶ καίω· δαὶς δαιτὸς ἡ εὐωχία· δαίδαλος κύριον· δαιτρὸς ὁ μάγειρος· δαιτυμὼν ὁ εὐωχούμενος καὶ δεταλεύς. τὸ φιν ι. τὰ εἰς ιν δικατάληκτα διὰ τοῦ ι γράφονται. οἷον δελφὶν καὶ δελφίς· ἀκτὶν καὶ ἀκτίς· ῥὶν καὶ ῥίς· ἡ μίτυς· θὶν καὶ θίς· ὁ αἰγιαλὸς καὶ ὁ σωρός. πλὴν τοῦ μὴν καὶ μεὶς αἰολικῶς. τούτων γὰρ τὸ μὲν διὰ τοῦ η γράφεται, τὸ δὲ διὰ διφθόγγου. ταῦτα δὲ παρὰ μὲν τοῖς παλαιοῖς εἰς ις ἔληγον· οἷον δελφὶς ἀκτίς. παρὰ δὲ τοῖς νεωτέροις εἰς ιν· οἷον δελφὶν ἀκτίν. καὶ ἄλλως δελφὶς τὸ ζῶον καὶ τὸ ναυτικὸν ὄργανον· ι. δελφὺς δὲ ἡ μήτρα· ἀφ' οὗ ἀδελφὸς ὁ ἐκ τῆς αὐτῆς δηλονότι δελφύος. ψιλόν. τὸ φιν μακρόν ἐστιν ἢ βραχύ; μακρόν. πᾶν ἀρσενικὸν καὶ θηλυκὸν ἐπὶ τῷ φιν ὀξεῖαν πᾶσα ὀρθὴ καὶ αἰτιατική. ἰστέον δὲ ὅτι τὰ εἰς ιν δικατά-

μίτυς

ληκτα εἰ μὲν εἰσὶν ἁπλᾶ ὀξύνονται· εἰ δὲ σύνθετα βαρύνονται. οἷον εὐάκτιν ἄρριν ὁ μὴ ἔχων ῥῖνα. πῶς κλίνεται τοῦ δελφῖνος. ὁ κανών· τὰ εἰς ιν δικατάληκτα ἁπλᾶ καὶ ὀξύνονται καὶ μακρὸν ἔχουσι τὸ ι καὶ προσθέσει τοῦ ος κλίνονται. ἡ κλητικὴ ὦ δελφίν. ὁ κανὼν τὰ εἰς ιν δικατάληκτα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν.

Παράδειγμα.

Πόθεν τελχίν· παρὰ τὸ θέλγω τὸ ἀπατῶ κατὰ τροπὴν τοῦ δασέος εἰς ψιλὸν καὶ μεταθέσει τοῦ τόνου. τὸ τε ψιλὸν τὸ ε κατ' ἀρχὴν λέξεως.

Κανὼν κβ.

Πόθεν φόρκυν· παρὰ τὸ φέρειν τὰ σκάφη. τὸ φορ μικρὸν τὰ ἔχοντα τὸ ε. τὸ κυν ψιλόν. τὰ εἰς υν μὴ ὄντα δικατάλικτα. πῶς κλίνεται τοῦ φόρκυνος. ὁ κανὼν τὰ εἰς υν προσθέσει τοῦ ος κλίνονται φόρκυνος μόσυνος.

Παράδειγμα.

Πόθεν μόσυν· παρὰ τὸ μῶ τὸ συντιθῶ. σημαίνει δὲ τὴν ξυλίνην οἰκίαν. τὸ μο μικρόν. τὰ ὀνόματα ὡς ἐπὶ τὸ πλεῖστον βραχύτερα εἰσὶ τῶν ῥημάτων ἀφ' ὧν παράγονται.

Κανὼν κγ.

Πόθεν θέων· παρὰ τὸ θεός. τὸ δὲ θεὸς παρὰ τὸ θέω τὸ τρέχω. θεοὺς γὰρ οἱ ἕλληνες τὰ στοιχεῖα ἔλεγον ἃ θέουσιν αἰεί. τὸ θε ψιλόν. τὰ διὰ τοῦ εω ῥήματα δυνάμενα ἐπὶ δευτέρου καὶ τρίτου προσώπου. πῶς κλίνεται τοῦ θέωνος. ὁ κανὼν τῶν εἰς ων ἀρσενικῶν βαρυτόνων ὅσα μὲν εἰσὶ παρώνυμα, τὸ ω μέγα φυλάσσει ἐπὶ γενικῆς καὶ προσθέσει τοῦ ος κλίνεται· ὅσα δὲ εἰσὶ ῥηματικὰ ἢ κοινὰ τῶν γενῶν, τρέπουσι τὸ ω εἰς ο ἐπὶ γενικῆς καὶ προσθέσει τοῦ ος κλίνονται· οἷον φιλήμονος σώφρονος. τὰ δὲ ἔχοντα θηλυκὰ διὰ τοῦ αινα ὡς ἐπὶ τὸ πλεῖστον διὰ τοῦ ντ κλίνεται. λέων λέοντος ὅτι καὶ λέαινα. δράκων δράκοντος ὅτι καὶ δράκαινα. θεράπων θεράποντος ὅτι καὶ θεράπαινα. ὡς ἐπὶ τὸ πλεῖστον εἴρηται διὰ τὸ λάκων λάκωνος. τοῦτο γὰρ καίτοι θηλυκὸν ἔχον διὰ τοῦ αινα· ἡ λάκαινα γάρ· ὅμως οὐ διὰ τοῦ ντ κλίνεται. ἡ κλητικὴ ὦ θέων ὡς τὸ ὦ ἕλλην.

λάω βλέπω

παράδειγμα.

Πόθεν λέων· παρὰ τὸ ~~λάω τὸ βλέπω~~ λέγεται δὲ οὕτως ἐξαιρέτως διὰ τὸ καταπληκτικὸν ὁρᾶν τὸν λέοντα καὶ ὀξύ. τὸ λε ψιλὸν ~~κατὰ τροπὴν τοῦ α εἰς ε~~. πῶς κλίνεται τοῦ λέοντος. ὁ κανὼν τὰ δὲ ἔχοντα θηλυκὰ διὰ τοῦ αινα. ἡ κλητικὴ ὦ λέων ὡς ὦ Αἴαν. τὸ ον· μικρὸν ἀπὸ τῆς γενικῆς ἀφῆς γέγον

κανὼν κδ.

Πόθεν κοιτών· παρὰ τὸ κεῖσθαι τὸ κοι δίφθογγον. τὰ ἔχοντα τὸ ει. πῶς κλίνεται τοῦ κοιτῶνος. ὁ κανὼν τὰ εἰς ων ὀξύτονα περιεκτικὰ τὸ ω μέγα φυλάσσει ἐπὶ γενικῆς. καὶ προσθέσει τοῦ ος κλίνονται. ἡ κλητικὴ ὦ κοιτών. ὁ κανὼν τὰ εἰς ἀμετάβολον λήγοντα ὀξύτονα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν.

Rª ortho- & dechi

Rª. declinat.

παράδειγμα.

Πόθεν σαρπηδών· παρὰ τὸ ἅρπη ὃ σημαίνει τὴν δρεπάνην. τὸ σ πλεονάζει. τὰ εἰς δων ὀξύτονα ἀρσενικὰ καὶ θηλυκὰ διὰ τοῦ η τὴν παραλήγουσαν ἔχοντα, τὰ μὲν τῷ η παραλήγεται οἷον σαρπηδών ἀηδών χαλκηδών ἀλγηδών. τὰ δὲ τῷ ι οἷον μυρμιδών χελιδών ἀσπιδών καὶ σιδών ὄνομα πόλεως. τὸ ποσειδῶν δὲ οὐκ ἀντίκειται τῷ κανόνι διὰ διφθόγγου γραφόμενον οὐκ ὀξύτονον ὄν. πῶς κλίνεται τοῦ σαρπηδόνος.

Rª. orthograp.

κανὼν κε.

Πόθεν ξενοφῶν· παρὰ τὸ ξένος καὶ τὸ φῶς. τὸ ξε ψιλόν. τὰ διὰ τοῦ ενος ὀνόματα διὰ τοῦ ε ψιλοῦ γράφονται. οἷον ξένος. βλέμος εἶδος ἰχθύος. ἔνος ὁ χρόνος. πλὴν τοῦ αἶνος ὁ λόγος καὶ ὁ ἔπαινος. ἔστι τῷ φῶν περισπωμένην. πᾶσα συναίρεσις. τὸ γὰρ ἐντελὲς αὐτοῦ ξενοφάων. ὅθεν καὶ ἐπὶ τῆς γενικῆς τὸ ω μέγα ἔχει. πῶς κλίνεται τοῦ ξενοφῶντος. ὁ κανὼν τὰ εἰς ων περισπώμενα διὰ τοῦ ντ κλίνονται καὶ φυλάττουσι τὸ ω ἐπὶ γενικῆς ξενοφῶντος ἀγλαοφῶντος. πλὴν τοῦ ποσειδῶνος καὶ ταῶνος. ἀπὸ μὲν ω φυλάττει. διὰ δὲ τοῦ ντ οὐ κλίνονται. ~~ἡ κλητικὴ ὦ ξενοφῶν. ὁ κανὼν τὰ εἰς ων περισπώμενα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν. πλὴν τοῦ ὦ πόσειδον. τοῦτο γὰρ ἐξηκολούθησε τῷ ὦ ἀγάμεμνον ὦ ἄπολλον.~~

Rª. orthogra.

ξενοφάων

Rª ortho- & dechi

ταῶν

Rª declinat

Valeat. etiam si in παράδειγμα ποσειδῶν statim iterata sint



παράδειγμα.

Πόθεν ποσειδῶν· παρὰ τὸ τὴν πόσιν διδόναι. οὐδεὶς γὰρ δύναται πίνειν τοῦ τῆς θαλάττης ὕδατος. τὸ πο μικρόν. ἀπὸ τοῦ πόσις. τὸ δὲ πόσις ἀπὸ τοῦ πέποσαι παθητικοῦ παρακειμένου. οὗ τὸ θέμα πῶμι. τὰ γὰρ εἰς μι ἐπὶ τῶν πληθυντικῶν καὶ παθητικῶν συστέλλονται. τὸ σει δίφθογγον ἀπὸ τῆς ποσὶ δοτικῆς. τὰ γὰρ συντιθέμενα ἀπὸ ὀνομάτων γίνονται ὡς ἐπὶ τὸ πλεῖστον ἀπὸ τῆς δοτικῆς αὐτῶν γίνονται. οἷον δοριάλωτος. ὀρειβάσιος. καὶ ποιητικῶς μὲν λέγεται ποσειδάων καὶ ποσειδέων. κοινῶς δὲ ποσειδῶν. πῶς κλίνεται τοῦ ποσειδάονος ποιητικῶς. ὁ κανὼν τὰ εἰς ων καθαρὸν βαρύτονα. τὰ μὲν διὰ τοῦ ντ κλίνονται. τὰ πλεῖω δὲ προσθέσει μόνον τοῦ σ. ὧν τὰ μὲν μακρὰ παραληγόμενα διὰ τοῦ ο μικροῦ κλίνονται. οἷον ποσειδάονος μαχάονος ἰξίονος καὶ τὰ συγκριτικὰ βελτίονος ἀμείνονος. τὰ δὲ βραχέα διὰ τοῦ ω μεγάλου οἷον ὠρυτίωνος. καὶ κατὰ συναίρεσιν ποσειδῶνος. τὸ δω μέγα.

De Verbis in μι.

Regula sing. de declinatione

Rª. declina.

κανὼν κς.

Πόθεν θώραξ· παρὰ τὸ θῶ τὸ ἀπολαύω. τὸ ἀπολαυστικὸν μέρος τοῦ σώματος. τὸ θω μέγα. τὰ ἀπὸ ἐνεστώτων ἢ μελλόντων. τὸ ραξ μακρόν. τὰ εἰς αξ ὀνόματα εἰ μὲν ἀρσενικοῦ γένους εἰσὶν ἐκτείνουσι τὸ α. οἷον θώραξ ἅρπαξ. εἰ δὲ θηλυκοῦ συστέλλουσιν. οἷον αὖλαξ πίδαξ. πόσα σημαίνει θώραξ. δύο τὸν λαιμὸν ὃς καὶ λαυκανίας λέγεται ποιητικῶς ἀπὸ τοῦ ἀπολαύειν καὶ ἀπὸ τούτου ὁπλοῦν. πῶς κλίνεται τοῦ θώρακος. ὁ κανὼν τὰ εἰς αξ ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ κ κλίνεται θώρακος πίδακος αὔλακος εἰ μὴ ἔχουσι ῥῆμα ἀντὶ παρακειμένου εἰς ζω λῆγον. ταῦτα γὰρ διὰ τοῦ γ κλίνονται. οἷον ἅρπαξ ἅρπαγος ὅτι ἁρπάζω. ἡ κλητικὴ ὦ θώραξ. ὁ κανὼν τὰ εἰς διπλοῦν λήγοντα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν. ἡ δοτικὴ τῶν πληθυντικῶν τοῖς θώραξι.

Rª. qntitatis

Rª. declina.

Rª. declinati.

παράδειγμα.

Πόθεν ἅρπαξ· παρὰ τὸ ἁρπάζω κατὰ ἀποβολὴν τοῦ ω καὶ μεταθέσει τοῦ τόνου ἐπὶ τῷ ἀρ δασεῖαν. τὸ α ε ο λη

δ

Rª. orthog

γον εἰς ρ ἐπιφερομένου τοῦ μὴ τοῦ π δασύνεται. οἷον ἅρ-
μα ἑρμῆς ὅρμος ἅρπυια ἑρπετὸν ὅρπηξ. πῶς κλίνεται
τοῦ ἅρπαγος. ὁ κανὼν ὅσα ἔχουσι ῥῆμα ἀντὶ παρακειμέ-
νου εἰς ζω λῆγον διὰ τοῦ γ κλίνονται. οἷον ἅρπαξ ἅρπαγος
ὅτι ἁρπάζω. τέττιξ τέττιγος ὅτι τερετίζω. μάστιξ μά-
στιγος ὅτι μαστίζω.

Rª. declinatio

ὁ ποιητικὸς [illegible] καταλήξεως

¶ κανὼν. κζ.

ὅθεν μύρμηξ. παρὰ τὸ μερμηρίζω τὸ φροντίσω κατὰ
συγκοπὴν καὶ τροπὴν τοῦ ε εἰς υ ὁ τῆς τροφῆς ἑαυτοῦ δη-
λονότι φροντίζων. τὸ μυρ ψιλὸν κατὰ τροπὴν τοῦ ε εἰς υ.
τὸ μηξ. η. τὰ εἰωθότα δωρικῶς τρέπεσθαι εἰς α διὰ τοῦ
η γράφονται. οἷον μύρμηξ ὅτι μύρμαξ. σήμερον ὅτι σάμε-
ρον. ἡμῶν ὅτι ἁμῶν. πῶς κλίνεται τοῦ μύρμηκος. ὁ κανὼν
τῶν εἰς ηξ ἀρσενικῶν ὅσα μέν εἰσιν ἁπλᾶ βαρύνονται καὶ
διὰ τοῦ κ κλίνονται. οἷον μύρμηξ μύρμηκος. νάρθηξ νάρθη-
κος. ὅσα δὲ εἰσὶ σύνθετα καὶ ὀξύνονται διὰ τοῦ γ. οἷον βου-
πλὴξ βουπλῆγος.

κζ.

∴ ergo anno deliberer

η. pro α. dorice

Rª. orthogra.

Rª. accé. & decli

ferula

stimulus bou

¶ παράδειγμα.

ὅθεν βουπλήξ. παρὰ τὸ βοῦς καὶ τὸ πλήσσω. ὁ τὸν βοῦν
πλήττων. τὸ πληξ η. τὰ εἰς ηξ εἰ σύνθετα εἰσὶ παρὰ τὸ
πλήττω διὰ τοῦ η γράφονται. οἷον βουπλὴξ ἀπλὴξ οἰ-
στροπλήξ.

percutio

κξ.

Rª. orthogr.

¶ κανὼν. κη.

ὅθεν πέρδιξ. παρὰ τὸ περιστῶ ἀδεῖν. τὸ περ ψιλὸν ἀ-
πὸ τῆς περὶ προθέσεως. πᾶσα πρόθεσις βραχεῖα θέλει
παραλήγεσθαι. τὸ διξ. ι. τὰ εἰς ιξ μὴ εἰωθότα δωρικῶς
τρέπεσθαι εἰς α. μὴ δὲ ὄντα σύνθετα παρὰ τὸ πλήττω διὰ
τοῦ ι. γράφονται. οἷον πέρδιξ τέττιξ φοῖνιξ. τὸ διξ μακρὸν ἐ-
στιν ἢ βραχύ. μακρὸν φύσει. τὰ εἰς ξ λήγοντα ὀνόματα ὑπὲρ
μίαν συλλαβὴν ἐν τῶν διχρόνων πρὸ τοῦ ξ ἔχοντα. εἰ μὲν
ἀρσενικοῦ γένους εἰσὶ μακρὸν αὐτὸ ἔχουσι φύσει. οἷον θώραξ
ἅρπαξ πέρδιξ φοῖνιξ κῆρυξ δοίδυξ. εἰ δὲ θηλυκοῦ βραχύ. οἷον
αὖλαξ κύλιξ ἄντυξ. ὑπὲρ μίαν εἴρηται συλλαβήν. ἐπεὶ τὰ μο-

abunde & superflue

ιξ.

Praepositio in breui penultima

Rª. quantita.

Regula de quantitate syllabarum pulchra



νοσύλλαβα συστέλλονται ἀεί. οἷον φρύξ. πῶς κλίνεται τοῦ
πέρδικος. ὁ κανὼν τὰ εἰς ιξ διὰ τοῦ κ κλίνονται εἰ μὴ ἔχου-
σι ῥῆμα ἀντὶ παρακειμένου εἰς ζω λῆγον.

Rª. decli.

¶ παράδειγμα.

ὅθεν τέττιξ. παρὰ τὸ τερετίζω κατὰ συγκοπὴν οὗ τὸ θέ-
μα τερετίζω. τὸ τε ψιλόν. τὰ ἀπὸ τῆς τε συλλαβῆς ἀρ-
χόμενα διὰ τοῦ ε ψιλοῦ γράφονται πλὴν τοῦ ταίναρον ἀ-
κρωτήριον ἐν τῇ λακωνικῇ καὶ ταμία. πῶς κλίνεται τοῦ τέτ-
τιγος. ὁ κανὼν ὅσα ἔχουσι ῥῆμα ἀντὶ παρακειμένου εἰς ζω
λῆγον.

ιξ.

Rª. orthogr.

¶ παράδειγμα.

ὅθεν δοίδυξ. παρὰ τὸ δαδύξω κατὰ ἀποβολὴν τοῦ ω
καὶ τροπὴν τοῦ α εἰς ο καὶ πλεονασμὸν τοῦ ι. τούτου τὸ
θέμα δαδύσσω. δηλοῖ δὲ τὸ ταράσσω. δοίδυξ δέ ἐστι
τὸ κοχλιάριον. τὸ δυξ ψιλὸν ἀπὸ τοῦ δαδύσσω. τινὰ διὰ
τοῦ υσσω ἐνεργητικῶς γραφόμενα καὶ παθητικῶς διὰ τοῦ
υ ψιλοῦ γράφονται. ταῦτα ὀρύσσω δαδύσσω ὀδύσσομαι
τὸ ὀργίζομαι. καὶ ἄλλως τινὰ εἰς υξ ὀνόματα διὰ τοῦ υ
γράφονται. ταῦτα δοίδυξ κῆρυξ ἄντυξ ἄμπυξ στύξ πηγὴ ἐν
ᾅδου βέβρυξ. πλὴν τοῦ προῖξ. πῶς κλίνεται τοῦ δοίδυκος.
ὁ κανὼν ὅσα τῶν εἰς υξ φύσει μακρᾷ παραλήγονται καὶ ὅσα
διὰ δύο συμφώνων ἐκφέρονται, ὧν ἐν τῆς πρώτης συζυ-
γίας τῶν βαρυτόνων διὰ τοῦ κ κλίνονται. κήρυκος. δοίδυ-
κος. ἄμπυκος. βέβρυκος.

υξ.

ῥήματα

Rª. orthogr.

Rª. orthogra.

fons

Rª. declina.

τὸ

¶ παράδειγμα.

βέβρυξ ποίου μέρους λόγου ἐστὶν ὀνόματος ἐθνικοῦ. τὸ βε ψι-
λὸν τὸ ε κατάρχην λέξεως. τὸ βρυξ ψιλόν. τινὰ εἰς υξ ὀνό-
ματα.

υξ.

ἢ κατὰ τὸ μέσον

¶ κανὼν. λ.

ποιητικ

ὅθεν βῶξ. παρὰ τὸ βοάζω κατὰ ἀποβολὴν τοῦ ω καὶ κρά-
σει τοῦ ο καὶ α εἰς ω μέγα. ἔστι δὲ εἶδος ἰχθύος βοὴν ἀποτε-
λοῦντος. τὸ βωξ μέγα. τὸ ο καὶ α. καὶ ἄλλως. τινὰ εἰς ωξ
ὀνόματα διὰ τοῦ ω μεγάλου γράφονται. ταῦτα πτώξ ὁ
λαγωός. ῥώξ. βώξ. ἃ καὶ ἐπὶ γενικῆς φυλάσσει αὐτό. οἷον
πτωκός ῥωγός βωκός. διὰ δὲ τοῦ ο μικροῦ ἐν μὲν τοῖς θη-

ωξ.

Rª. orthogr.

ἢ τινὰ διὰ τοῦ ο μικροῦ. διὰ τοῦ ω μεγάλου

λυκοῖς φλόξ· ὃ κλίνεται φλογός· διότι ἀπὸ τοῦ φλέγω γίνεται. καὶ πρόξ ὃ κλίνεται προκός· ἔστι δὲ εἶδος ἐλάφου. ἐν δὲ τοῖς ἀρσενικοῖς καππάδοξ καππάδοκος ὃ καὶ καππαδόκης λέγεται μᾶλλον. πῶς κλίνεται τοῦ βωκός. ὁ κανὼν. τὰ εἰς ωξ ἁπλᾶ διὰ τοῦ κ κλίνονται. πλὴν τοῦ ῥώξ ῥωγός.

Παράδειγμα.

Πόθεν πτώξ. παρὰ τὸ πτοοῦμαι τὸ φοβοῦμαι. πτοώξ καὶ πτώξ διὸ καὶ περισπᾶται. σημαίνει δὲ τὸν λαγωόν.

Κανὼν λα.

Πόθεν λουτήρ. παρὰ τὸ λέλουται τρίτου προσώπου τοῦ παθητικοῦ παρακειμένου. οὗ τὸ θέμα λούω. τὸ τηρ. η. τὰ εἰς ηρ ἐπὶ παντὸς γένους διὰ τοῦ η γράφονται. οἷον λουτήρ. αἰθήρ. σωτήρ. μήτηρ. θυγάτηρ. κήρ ἡ μοῖρα θηλυκὸν καὶ ὀξυτονούμενον καὶ κῆρ ἡ ψυχὴ οὐδέτερον καὶ περισπώμενον. κέαρ γὰρ ἦν. καὶ κράσει γέγονε κῆρ. καὶ ἦρ τὸ ἔαρ. πλὴν τοῦ χεῖρ φθεῖρ. εἴρ ὄνομα ποταμοῦ. εἰνάτηρ ἡ σύννυμφος. σάπφειρ καὶ ἐλεάζειρ κύριον. πῶς κλίνεται τοῦ λουτῆρος. ὁ κανὼν τῶν εἰς ηρ ἀρσενικῶν βαρυτόνων ὅσα μὲν ἔχει τὸ τ ἐπ' εὐθείας τὸ η τηρεῖ ἐπὶ γενικῆς. καὶ προσθέσει τοῦ ος κλίνονται λουτῆρος ἐλατῆρος καμπτῆρος. πλὴν τοῦ ἀστὴρ ἀστέρος καὶ πατὴρ πατέρος καὶ γαστὴρ γαστέρος. ὅσα δὲ μὴ ἔχει τὸ τ διὰ τοῦ ε κλίνονται. καὶ προσθέσει τοῦ ος αἰθέρος δαέρος ἀνέρος ἀέρος. πλὴν τοῦ [illegible] ἐλευθῆρος. ἐλευθὴρ δὲ τόπος κατὰ τὴν ἀττικήν. ἡ κλητικὴ ὦ λουτήρ. ὁ κανὼν τὰ εἰς ηρ ὀξύτονα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν. πλὴν τοῦ ἄνερ πάτερ σῶτερ δᾶερ. ταῦτα γὰρ ἠκολούθησε τοῖς εἰς ηρ βαρυτόνοις τοῖς διὰ τοῦ ε κλινομένοις.

Παράδειγμα.

Πόθεν αἰθήρ. παρὰ τὸ αἴθειν. τὸ αι δίφθογγον. τὸ α καὶ ι εἰς τὴν αι δίφθογγον κιρνᾶται. καὶ ἄλλως. αἰθὴρ αἰθάλη αἰθρία ἡ εὐδία αἰθρηγενέτης αἴθριος δίφθογγον. ἐθίζω δὲ ψιλὸν καὶ τὰ ἐξ αὐτοῦ ἔθος ἐθάς ὁ συνήθης. ἐθμὸς ἔθιμα.

Κανὼν λβ.

Πόθεν πίηρ. παρὰ τὸ πῖον ὃ σημαίνει τὸ λιπαρόν. ἔστι δὲ ὄνομα κύριον. τὸ πι. ι. τὸ πῖον εἰ μὲν σημαίνει τὸ λιπαρὸν διὰ τοῦ ι γράφεται. εἰ δὲ τὸ ἕλκος διὰ τοῦ υ ψιλοῦ. τὸ πι μακρόν ἐστιν ἢ βραχύ. μακρὸν πῖον τὸ λιπαρόν. μακρὸν ἔχει τὸ ι καὶ ὅσα ἀπ' αὐτοῦ. οἷον πίηρ καὶ πιερία. πῶς κλίνεται τοῦ πίερος. ὁ κανὼν τῶν εἰς ηρ βαρυτόνων ὅσα μὲν μακρᾷ παραλήγονται διὰ τοῦ ε κλίνονται καὶ προσθέσει τοῦ ος ὅσα δὲ βραχείᾳ διὰ τοῦ η.

Παράδειγμα.

Πόθεν ἴβηρ ἐθνικόν ἐστι καὶ παραγωγὴν οὐκ ἔχει. τὸ ι. ι. οὕτω παρέδωκεν αὐτὸ ἡ συνήθεια. καὶ ἄλλως τὸ β πρὸ ἑαυτοῦ ἢ διὰ τοῦ η τὴν πρὸ ἑαυτοῦ ἔχει ἢ τὸ ι. οἷον ἴβηρ ἐθνικόν ἴβυκος κύριον. ἢ τὸ η οἷον ἠβαιὸν τὸ μικρόν. ἥβη ἡ ἀκμὴ τῆς ἡλικίας καὶ τὰ παρ' αὐτοῦ. ἡβῶ ἡβάσκω ἡβηδόν. ἢ τὴν διὰ τοῦ ε καὶ ι διφθόγγου. οἷον εἴβω τὸ στάζω. ἐπὶ τῷ ι τί πνεῦμα. ψιλήν. τὸ ι πρὸ τοῦ β ψιλοῦται. τὸ ι μακρόν ἐστιν ἢ βραχύ. βραχύ. ἴβηρ βραχύ ἴβυκος δὲ μακρόν. ἐπὶ τὸ ι τίνα τόνον ὀξεῖαν ἐπάνω βραχείας.

Κανὼν λγ.

Πόθεν μέστωρ. παρὰ τὸ στερεὸν ἔχειν τὸν νοῦν. τὸ με ψιλόν. τὸ ε κατ' ἀρχὴν λέξεως. τὸ στωρ μέγα. τὰ εἰς ωρ ἐπὶ παντὸς γένους διὰ τοῦ ω μεγάλου γράφονται. οἷον μέστωρ προμήτωρ ὕδωρ. πλὴν τοῦ ἄορ κάλορ ἦτορ ναβουχοδονόσορ. πῶς κλίνεται τοῦ μέστορος. ὁ κανὼν τὰ εἰς ωρ βαρύτονα συστολῇ τοῦ ω μεγάλου καὶ προσθέσει τοῦ ος κλίνονται. οἷον μέστωρ μέστορος ἕκτωρ ἕκτορος. πλὴν τῶν ἐχόντων τὸ λ ἢ τὸ μ. οἷον ἕλωρ ἑλῶρος κέλωρ κελῶρος τέκμωρ τεκμῶρος καὶ τῶν ῥωμαϊκῶν ἀξιωμάτων κοιαιστῶρος πραιτῶρος δικτατῶρος μανδατῶρος. ταῦτα γὰρ διὰ τοῦ ω μεγάλου κλίνονται. ῥωμαϊκῶν δὲ εἶπε διὰ τὸ αὐτοκράτορος σεβαστοκράτορος πράκτορος. ἀξιώματα μὲν εἰσὶν οὐ ῥωμαϊκὰ δέ.

Παράδειγμα.

Πόθεν κέλωρ. παρὰ τὸ κέλομαι τὸ προστάσσω. τὸ κε ψιλόν. τὰ διὰ τοῦ ελωρ ὀνόματα διὰ τοῦ ε ψιλοῦ γράφονται. οἷον κέλωρ ἕλωρ.

Κανὼν λδ.

ὤψ

Rª. orthogra.

Πόθεν κύκλωψ; παρὰ τὸ κύκλος καὶ τὸ ὤψ ὁ ὀφθαλμός, ὁ ἕνα ὀφθαλμὸν κυκλοτερῆ ἔχων. Τὸ κυ ψιλὸν ἐν τίσι τὸ υ κατ᾽ ἀρχὴν λέξεως καὶ κατὰ τὸ μέσον ἔχον ἐπαγόμενα δύο σύμφωνα διὰ τοῦ υ ψιλοῦ γράφονται· ἐν τούτοις ὕβρις, ὕθλος ἡ φλυαρία, σκύμνος, πύργος καὶ ἐν ἑτέροις. διὰ δὲ τῆς οι διφθόγγου, ἐν τούτοις οἶκτος, οἶστρος ζωΰφιόν τι ἀφ᾽ οὗ καὶ ἡ ἀκολασία οἶστρος καὶ ἐν ἑτέροις. Τὸ κλωψ μέγα· τὰ παρὰ τὴν ὄψιν ἢ τὴν ὦπα τὴν φωνὴν γινόμενα εἰς οψ ἢ ἀπ᾽ ἄλλης παραγωγῆς, πλὴν εἰ μὴ ἀπὸ τοῦ ὤπος τοῦ ὀφθαλμοῦ γίνονται, διὰ τοῦ ο μικροῦ γράφονται· οἷον αἰθίοψ, μέροψ, οἶνοψ, κέκροψ. εἰ πομεν εἰ μὴ ἀπὸ τοῦ ὤπος τοῦ ὀφθαλμοῦ γίνονται, ὅτι τὰ ἀπὸ τούτου γινόμενα διὰ τοῦ ω μεγάλου γράφονται· οἷον κύκλωψ, παραβλὼψ, μύωψ, οἷς ἠκολούθησε τὸ κέρκωψ, νυκτάλωψ, κώνωψ, μώλωψ καὶ ῥὼψ ἀφ᾽ οὗ καὶ ῥωπίον. Πῶς κλίνεται τοῦ κύκλωπος· ὁ κανὼν τὰ εἰς ψ λήγοντα διὰ τοῦ π κλίνονται ὡς ἐπὶ τὸ πλεῖστον καὶ φυλάττουσι τὸ ω τῆς εὐθείας ἐν τῇ γενικῇ εἰς ωψ λήγουσι· κύκλωπος, κώνωπος, μώλωπος, πέλοπος, δόλοπος. εἴπομεν ὡς ἐπὶ τὸ πλεῖστον διὰ τὸ ἄραψ ἄραβος, χάλυψ χάλυβος ἐθνικά· καὶ λίψ λιβὸς καὶ κίνυψ κίνυφος ὄνομα πόλεως.

Rª. orthogra

Rª. declinatio

Cinyps. phos. n. p. urbis

Παράδειγμα.

Πόθεν μώλωψ; παρὰ τὸ βοῦς βοὸς καὶ τοῦ λέπω τὸ λεπίζω γίνεται βοόλωψ καὶ κράσει τῶν δύο οο εἰς ω μέγα καὶ τροπῇ τοῦ β εἰς μ μώλωψ· κυρίως γὰρ μώλωπές εἰσιν αἱ ἐκ βοεῶν λώρων γινόμεναι πληγαί. Τὸ μω μέγα κατὰ κρᾶσιν τῶν δύο οο εἰς ω μέγα.

ὤψ

.: bominis loris

De foeminimis nominibus. –

Ἀρχὴ σὺν θεῷ τῶν θηλυκῶν κανόνων. κανὼν α.

Μοῦσα ποίου μέρους λόγου ἐστίν; ὀνόματος. ποίου γένους; θηλυκοῦ. ποίου εἴδους; παραγώγου. ποίου εἴδους τῶν παραγώγων; ῥηματικοῦ. ποίου σχήματος; ἁπλοῦ. Πόθεν μοῦσα; παρὰ τὸ μῶ τὸ ζητῶ· ζητητικὴ γάρ ἐστιν ἡ μοῦσα καὶ ἀπὸ ζητήσεως γίνεται· σημαίνει δὲ τὴν γνῶσιν. ἡ μοῦσα πόσα μέρη λόγου εἰσί; δύο, ἡ ἄρθρον, μοῦσα ὄνομα. Τὸ ἡ ποίου τῶν ἄρθρων; προτακτικοῦ ἢ ὑποτακτικοῦ; προτακτικοῦ διορισμοῦ. καὶ ἔστι προτακτικὸν μὲν ἡ χωρὶς τόνου, ὑποτακτικὸν δὲ ἡ μετὰ τόνου. Τὸ ἡ ἧτα· ἐν τὰ θηλυκὰ ἄρθρα τῶν θηλυκῶν ὀνομάτων πάντα διὰ τοῦ η γράφονται. Πόθεν ποιεῖς τὸ ἡ ἄρθρον; ἐκ τοῦ τὸς ἀρσενικοῦ Δωρικοῦ γίνεται θηλυκὸν τῇ καὶ ἀποβολῇ τοῦ τ ἡ· διὸ καὶ δασύνεται· ἀποβληθέντος γὰρ ποθὲν ψιλοῦ συμφώνου δασύνονται τὰ καταλειφθέντα καταρκτικὰ φωνήεντα· οἷον πηλίκος ἡλίκος, τόσος ὅσος. ἐπὶ τῷ ἡ δασεῖαν· πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται. ἐπὶ τῷ μοῦ περισπωμένην· πᾶσα φύσει μακρὰ. Τὸ σα βραχύ· πᾶν θηλυκὸν εἰς α λῆγον ὀξυνόμενον μὲν ἢ περισπώμενον ἐκτείνει τὸ α· προπαροξυνόμενον δὲ ἢ προπερισπώμενον συστέλλει αὐτό· εἰ δὲ ἀρσενικὸν ἔχει, τῷ τέλει τῆς γενικῆς τοῦ ἀρσενικοῦ ὁμόχρονει· οἷον θεῖος θείου θεία· ἡδύς ἡδέος ἡδεῖα. εἰ δὲ ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων γίνεται, μακρὸν αὐτὸ ἔχει· οἷον πρεσβεύω πρεσβεία. εἰ δὲ καθαρὸν ἔχει τὸ α καὶ τῇ αι διφθόγγῳ παραλήγεται, εἰ μὲν δισύλλαβον εἴη βραχὺ αὐτὸ ἔχει, οἷον μαῖα, γαῖα, γραῖα. εἰ δὲ ὑπὲρ δύο συλλαβὰς μακρὸν, οἷον σεληναία ποιητικῶς ἡ σελήνη. εἰ δὲ εἰς ρα λήγει, εἰ μὲν μονοφθόγγῳ παραλήγεται, μακρὸν αὐτὸ ἔχει· οἷον ~~χώρα~~ ~~ὥρα~~ εἰ δὲ διφθόγγῳ βραχύ· οἷον πεῖρα, μοῖρα. εἰ δὲ εἰς δα λήγει ἢ εἰς θα μακρὸν αὐτὸ ἔχει· οἷον λῆδα, κισσαίθα. τὰ δ᾽ ἄλλα πάντα βραχέα. Πῶς κλίνεται τῆς μούσης; ὁ κανὼν τῶν εἰς α θηλυκῶν, ὅσα μὲν καθαρὸν ἔχει τὸ α ἢ μετὰ τοῦ ρ, τηρεῖ αὐτὸ καὶ ἐπὶ γενικῆς· οἷον μαῖα μαίας, πυρκαϊὰ πυρκαϊᾶς, ἡμέρα ἡμέρας, φοβερὰ φοβερᾶς. ὅσα δὲ πρὸ τοῦ α ἄλλο σύμφωνον ἔχει, εἰ μὲν βραχὺ ἔχει τὸ α, τρέπει αὐτὸ εἰς η· οἷον μοῦσα μούσης, δίψα δίψης. εἰ δὲ μακρὸν, φυλάττει πάλιν αὐτό· οἷον λῆδα λήδας, κισσαίθα κισσαίθας. ἡ αἰτιατικὴ τὴν μοῦσαν ὡς τὸν κοχλίαν. ἡ κλητικὴ ὦ μοῦσα· ὁ κανὼν τὰ εἰς α καὶ εἰς η θηλυκὰ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν. ἡ εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυϊκῶν τὰ μούσα· ὁ κανὼν· πᾶσα δοτικὴ ἑνικῶν εἰς η λήγουσα. Τὸ τὰ καὶ τὸ σα μακρὸν ὁμοχρόνησε τῇ δοτικῇ τῶν ἑνικῶν ἀφ᾽ ἧς καὶ ἐγένετο. αἱ δὲ λοιπαὶ πτώσεις ὡς αἱ τοῦ κοχλίου





a
R. orthogra.
Regula singularis. orthog.
Reg. de ultima syllaba
De quantitate postremae syllabae in foemi. 2. declina
σεληναία
Regula declinatio
λῦσα. ας.
κισσαίθα. ας
Rª declinat
Rª. quantita

¶παράδειγμα.

¶πόθεν μαῖα. παρὰ τὸ μῶμαι τὸ ζητῶ ἣν ἐν τόκοις ζητουμένη. σημαίνει δὲ τὴν μάμμην. τὸ μαι δίφθογγον. τὰ διὰ τοῦ αια θηλυκὰ δισύλλαβα ἐκ μονοσυλλάβων ῥημάτων γινόμενα διὰ τῆς αι διφθόγγου γράφονται. οἷον μῶ τὸ ζητῶ ἄχρηστον ἐπὶ τοῦ ἐνεργητικοῦ μαῖα. γῶ τὸ χωρῶ γαῖα. ῥῶ τὸ φθείρω ῥαῖα καὶ γραῖα ἡ διεφθαρμένη ὑπὸ μακροῦ χρόνου. τὸ ῥέα ἐκ τοῦ ῥέω ψιλογραφεῖται. καὶ ἡ θέα ἀπὸ τοῦ θεῶμαι. καὶ ἡ νέα ἀπὸ τοῦ νέομαι τὸ πορεύομαι ἀφ' οὗ καὶ ὁ νέος.

Regula decli

¶κανὼν β.

¶πόθεν τιμή. παρὰ τὸ τιμῶ. πῶς κλίνεται τῆς τιμῆς. ὁ κανὼν. τὰ εἰς η λήγοντα θηλυκὰ προσθέσει τοῦ σ κλίνονται.

¶παράδειγμα.

¶πόθεν σοφή. παρὰ τὸ σοφός. τὸ δὲ σοφὸς παρὰ τὸ σέβω τὸ τιμῶ. τὸν γὰρ σοφὸν πάντες σέβονται. τὸ σο μικρὸν τὰ ἔχοντα τὸ ε.

¶κανὼν γ.

¶πόθεν σαπφώ. παρὰ τὸ σαφῶ τὸ σαφηνίζω. καὶ τὸ ἀφῶμαι τὸ ψηλαφῶ. ἔστι δὲ ὄνομα γυναικός. διὰ δὲ τὴν ἐπαλληλίαν τῶν δασέων ἐτράπη τὸ ἓν φ εἰς π. καὶ ἔστι τούτου ἡ πρώτη συλλαβὴ εἰς π λήγουσα. ὥσπερ καὶ τὸ ἄπφυς ὁ δηλοῖ τὸν πατέρα. ἀφ' οὗ φύεταί τις δηλονότι. τὸ φω μέγα. τὰ εἰς ω καὶ εἰς ως θηλυκὰ ὧν ἡ γενικὴ εἰς ους περατοῦται διὰ τοῦ ω μεγάλου γράφονται. οἷον σαπφὼ σαπφοῦς. αἰδὼς αἰδοῦς. ἐπὶ τὸ φω ὀξεῖαν πᾶσα ὀρθὴ καὶ αἰτιατική. καὶ ἄλλως. τὰ εἰς ω λήγοντα θηλυκὰ ὀξύνονται. οἷον κλωθώ. λητώ. σαπφώ. ἐρατώ. πῶς κλίνεται τῆς σαπφόος. ὁ κανὼν οἱ ἴωνες καὶ οἱ ποιηταὶ τὰς εἰς ος λήγουσας γενικὰς τὰς ἀπὸ τῶν εἰς ω ἢ εἰς ως εὐθειῶν γινομένας διὰ τοῦ οος προφέρουσι. σαπφὼ σαπφόος. λητὼ λητόος. αἰδὼς αἰδόος. ἠὼς ἠόος. τὸ φο μικρὸν ἡνίκα τραπῇ τὸ ω τῆς εὐθείας ἐν τῇ γενικῇ εἰς δύο οο μικρὰ διαλύεται. τὸ συνῃρημένον σαπφοῦς. τὰ δύο οο ἡ δοτικὴ τῇ σαπφοῖ

ἄπφυς. ἢ ὁ πατὴρ ἀφ' οὗ φύεται τις
nota pro Theocrito in adoniazusis
καλὸς ἄπφυς



καὶ σαπφοῖ. τὸ οι καὶ ι εἰς τὴν οι δίφθογγον κιρνᾶται. ἐπὶ τῷ φοι περισπωμένην. πᾶσα συναίρεσις. ἡ αἰτιατικὴ τὴν σαπφόα τὸ συνῃρημένον σαπφώ. τὸ οα εἰς ω μέγα κιρνᾶται ἐπὶ τῆς αἰτιατικῆς τῶν ἑνικῶν. ἐπὶ δὲ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν εἰς τὴν ου δίφθογγον. οἷον βόας βοῦς. ἐπὶ τῷ φω ὀξεῖαν. τὸ μέντοι σαπφόα καὶ λητόα συναιρεθέντα εἰς τὴν σαπφὼ καὶ λητώ. ὅμως οὐ περιεσπάσθη ἐπειδὴ πᾶσα πτῶσις ὁμοφωνήσασα τῇ ἑτέρᾳ πτώσει καὶ τὸν τόνον αὐτῆς ἔχει ὁμοίως καὶ τὸν χρόνον. καὶ ποία πτῶσις ὡμοφώνησε τῇ εὐθείᾳ τῶν ἑνικῶν. ἡ κλητικὴ ὦ σαπφοῖ. ὁ κανὼν τὰ εἰς ω καὶ εἰς ως θηλυκὰ ὧν ἡ γενικὴ εἰς ους περατοῦται εἰς οι ποιεῖ τὴν κλητικήν. ἐπὶ τῷ φοι περισπωμένην. πᾶσα πτῶσις ὁμοφωνήσασα. καὶ ποία πτῶσις ὡμοφώνησε τῇ δοτικῇ τῶν ἑνικῶν. ἡ εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυικῶν τὰ σαπφώ. ὁ κανὼν καθόλου αἱ τῶν εἰς ω θηλυκῶν εὐθεῖαι καὶ αἰτιατικαὶ τῶν δυικῶν ὁμοφωνοῦσι καὶ ὁμοτονοῦσι τῇ εὐθείᾳ καὶ αἰτιατικῇ τῶν ἑνικῶν. ἡ εὐθεῖα τῶν πληθυντικῶν αἱ σαπφοί. ὁ κανὼν ὡς οἱ πλόοι. διὰ τί μὴ περισπᾶται ὡς ὁμοφωνήσασα τῇ δοτικῇ καὶ κλητικῇ τῶν ἑνικῶν. διότι οὐδεμία εὐθεῖα ἡ αἰτιατικὴ ἀσυναίρετος περισπᾶσθαι δύναται.

Regula singularis declinationis & quantitatis & accentus

Ra declina

Regula

Nulla nomina & accentus incontracta circumflectuntur

¶παράδειγμα.

¶λητὼ δὲ λέγεται κατὰ πλάτωνα ἀπὸ τῆς πρᾳότητος κατὰ τὸ ἐθελήμονα εἶναι ὧν ἄν τις δέηται. ἴσως δὲ φησὶν ὡς οἱ ξένοι καλοῦσι. πολλοὶ γὰρ ληθὼ καλοῦσιν. ἔοικεν οὖν πρὸς τὸ μὴ τραχὺ τοῦ ἤθους ἀλλ' ἥμερόν τε καὶ λεῖον ληθὼ κεκλῆσθαι ὑπὸ τῶν τοῦτο καλούντων. τὸ λη. ἢ ἀπὸ τοῦ θέλω θελησὼ ἢ ἀπὸ τοῦ ἤθους.

volo anomalo verbo

¶κανὼν δ.

¶πόθεν τρυγών. παρὰ τὸ τρύζω. τὸ τρυ ψιλὸν ἐκ τοῦ τρύζω. τὰ διὰ τοῦ υζω ῥήματα διὰ τοῦ υ ψιλοῦ γράφονται. ταῦτα κλύζω ἀφ' οὗ κλύδων. τρύζω. λύζω ἀφ' οὗ λυγμός. μυζῶ περισπώμενον ἐπὶ τῶν ἐπὶ γάλακτι τρεφομένων ὅταν τοὺς μαστοὺς ἕλκωσι τῶν μητέρων. γογγύζω. βαΰζω τὸ σκυλακίζω. ἰύζω. ἐρπύζω. ὀλολύζω. τίνα δὲ διὰ τῆς οι καὶ ι διφ-

R. orthogra

singultio

murmuro

*Reg. quantita.* φθόγγου. ταῦτα ἀθροίζω καὶ ῥοιζῶ περισπώμενα. τὸ ἠχῶ. τὸ τρυ μακρόν ἐστιν ἢ βραχύ; βραχύ. οὐδέποτε πρὸ τῶν διπλῶν εὑρίσκεται δίχρονον ἐκτεταμένον. πῶς κλίνεται; τῆς τρυγόνος. ὁ κανών. τὰ εἰς ων ὀξύτονα εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ τρέπει τὸ ω εἰς ο ἐπὶ γενικῆς, καὶ προσθέσει τοῦ ος κλίνονται· οἷον τρυγὼν τρυγόνος. λαγὼν λαγόνος. παφλαγὼν παφλαγόνος. πλὴν τοῦ ἀγὼν ἀγῶνος. καὶ ἄλλως. τῶν εἰς ων θηλυκῶν, τὰ μὲν ὀξύτονα διὰ τοῦ ο μικροῦ κλίνονται· χελιδὼν χελιδόνος. ἀηδὼν ἀηδόνος. τρυγὼν τρυγόνος. τὰ δὲ βαρύτονα καὶ τὰ ἐπὶ πόλεων διὰ τοῦ ω μεγάλου· οἷον τρήρων τρήρωνος. μήκων μήκωνος. σιδὼν σιδῶνος. ἡ κλητικὴ ὦ τρυγών. ὁ κανών. τὰ εἰς ων ὀξύτονα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν.

*λ πλὴν τῆς πρᾶξις* — *Rª. declinatio.* — *Ἀγὼν. ἀγῶνος* — *Rª. declinatio* — *σιδὼν. σιδῶνος* — *Rª declinatio.*

Παράδειγμα. *timeo*

Πόθεν τρήρων; παρὰ τὸ τρῶ τὸ δειλιῶ, ὅπερ Ὅμηρος ἐπίθετον τῶν περιστερῶν ποιεῖ ὡς δειλῶν. τὸ τρη. η. ἀπὸ τοῦ τρέω τρεέρων καὶ κράσει τῶν δύο εε εἰς η τρήρων. ἡ κλητικὴ ὦ τρήρων. ~~ὁ κανὼν τὰ εἰς [illegible] ἀμετάβολον λήγοντα~~ *ὡς ὁ θέων* *ων*

*Homer)*

*[illegible]* Κανὼν ε. *fistula tibia*

Πόθεν αὖλαξ; παρὰ τὸ αὐλός. αὖλαξ δέ ἐστιν ἡ τομὴ τοῦ ἀρότρου. ἐπὶ τῷ αυ τί πνεῦμα; ψιλήν. ἡ αυ δίφθογγος ψιλοῦται· αὔξω, αὐδῶ, αὐτός, αὔριον. τὸ αὐτὴ βαρύτονον, ὃ ἀπὸ τοῦ οὗτος, δασύνεται. πῶς κλίνεται; τῆς αὔλακος. ὁ κανών. τὰ εἰς ξ λήγοντα θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ κ κλίνονται· ~~[illegible]~~ πίδακος, αὔλακος. ὑπὲρ μίαν εἴρηται συλλαβὴν διὰ τὸ αἴξ, ὃ κλίνεται αἰγὸς διὰ τοῦ γ. καὶ πλὴν τῶν εἰς υξ διὰ τὸ πτύξ πτυγός, ἄμπυξ ἄμπυγος.

*Rª. orthog.* — *αὐλός* — *αὐλή* — *Rª declinatio* — *ι. διπλακος* — *αἴξ. αἰγός* — *λ πλὴν τῶν εἰς υξ.* — *i. summa circulatur a [illegible]* — *αξ*

Παράδειγμα. *salio*

Πόθεν πίδαξ; παρὰ τὸ πηδῶ τροπῇ τοῦ η εἰς ι. ἢ παρὰ τὸ πίνω. σημαίνει δὲ τὴν πηγήν. *fontes*

Κανὼν ς. *stringo suffocator*

Πόθεν σφίγξ; παρὰ τὸ σφίγγω. ἡ ἐσφιγμένα καὶ δυσνόητα λέγουσα ῥήματα. ἦν δὲ ζῶόν τι τερατῶδες ἀνθρωπίνῃ φωνῇ χρώμενον. σφίγξ ποίου μέρους λόγου ἐστίν; ὀνόματος κυρίου. τὸ σφίγξ ι. σφίγξ ι. ὁ σφὴξ δὲ ὃ κλίνεται σφηκός, ἢ μη. γράφεται ι. γ. γ. οὐδέποτε πρὸ τοῦ ξ ἢ τοῦ γ ἢ τοῦ κ ἢ τοῦ χ τὸ ν

*difficilia intellectu* — *monstrosus* — *summa* — *ιγξ*

*ν. non potest esse ante. ξ. γ. κ. χ. regula orthogr. nota*

θέλει εἶναι· ἀλλ' εἰ καὶ συλλαβὴ εἰς ν λήγουσα συντεθῇ μεθ' ἑτέρας συλλαβῆς ἀπό τινος τούτων ἀρχομένης, τρέπει τὸ ν εἰς γ. οἷον ἐγγύη, ἐγκέφαλος, συγξενίζω, συγχέω. πῶς κλίνεται; τῆς σφιγγός. ὁ κανών· πᾶν ὄνομα εἰς ξ λῆγον, εἰ μὲν ἔχει πρὸ τοῦ ξ τὸ γ, διὰ τοῦ γ κλίνεται· σάλπιγξ σάλπιγγος, σφίγξ σφιγγός, φάλαγξ φάλαγγος. εἰ δὲ ἕτερον σύμφωνον, διὰ τοῦ κ· οἷον σάρξ σαρκός. ἡ κλητικὴ ὦ σφίγξ. ὁ κανών· τὰ εἰς διπλοῦν λήγοντα.

*fidejussio* — *Regu. ortho.* — *Rª. orthogra.*

Παράδειγμα. *buccina*

Πόθεν σάλπιγξ; παρὰ τὸ σαλπίζω. τὸ σαλ μακρόν, τὸ λ καὶ τὸ πι, ἐκτείνει αὐτό. *ιγξ.*

Κανὼν ζ.

Πόθεν μήτηρ; παρὰ τὸ μῶσθαι τὸ ζητεῖν, ἡ ὑπὸ τῶν τέκνων ζητουμένη. τὸ μη. η. ἐκ τοῦ μῶ μήσω μέλλοντος· τὰ μονοσύλλαβα διὰ τοῦ η ἔχουσι τοὺς μέλλοντας. τὸ τηρ. η. τὰ εἰς ηρ ἐπὶ παντὸς γένους. πῶς κλίνεται; τῆς μητέρος. ὁ κανών· τὰ εἰς ηρ θηλυκὰ μονογενῆ διὰ τοῦ ε κλίνονται· μητέρος, θυγατέρος. καὶ κατὰ συγκοπὴν μητρός. ὁ κανών· αἱ διὰ τοῦ ερος γενικαὶ παροξύτονοι συγκοπὴν ὑπομένουσιν, εἰ ἔχουσιν ὀξύτονον ἐνθάδε μιμήσασθαι· οἷον πατέρος πατρός καὶ μητέρος μητρός· ἔστι γὰρ ὀξύτονος ἐνθάδε ὁ ἰατρός, ἣν μιμοῦνται κατὰ τὸ τέλος ὁμοφωνοῦσαι αὐτῇ. καὶ ἀνέρος ἀνδρός προσλήψει τοῦ δ, ὅτι ἁδρός. ἡ δοτικὴ τῇ μητέρι καὶ κατὰ συγκοπὴν μητρί. ἡ αἰτιατικὴ τὴν μητέρα καὶ κατὰ συγκοπὴν οὐκ ἔχει. διατί; ἵνα μὴ συνεμπέσῃ τῇ τῆς μήτρας ἐνθάδε. ἡ κλητικὴ ὦ μῆτερ. ὁ κανών· τὰ εἰς α μετάβολον. ἡ δοτικὴ τῶν πληθυντικῶν ταῖς μητράσιν. ὁ κανών· ἔδει μὲν ἀπὸ τῆς μητέρι δοτικῆς τῶν ἑνικῶν μητέρσιν εἶναι τὴν δοτικὴν τῶν πληθυντικῶν· ἀλλὰ διὰ τὴν ἐνθάδε κακοφωνίαν ὑπερθέσει γέγονε τοῦ ρ καὶ τροπῇ τοῦ ε εἰς α, ὡς καὶ ἐν τῷ θυγατράσι καὶ ἀνδράσι καὶ ἐπὶ τῶν ὁμοίων. τὸ ρα βραχύ, ὅτι κατὰ τὴν παραλήγουσαν.

*ηρ.* — *filiis* — *De verbis monosyllabis* — *Rª. declinat.* — *patitur* — *imitari* — *Regula singularis decli.* — *μητρα. quia matre non est* — *ὑπερθέσεως* — *λ πατράσι ιν* — *λ [illegible]*

Παράδειγμα. *impetu ferri*

Πόθεν θυγάτηρ; παρὰ τὸ θύειν κατὰ γαστρὸς ἤγουν σφόδρα ὁρμᾶν κατ' ἀντίφρασιν· αἱ διαρθρώσεις γὰρ τῶν θηλέ

*ηρ. ∴ nutrire* — *foeminae* — ~~*[illegible]*~~

*∴ vide in. ἄγαν*

*Hoc contra technicum est manifeste sed doctius se gessit hic Moschopulus quam Technicus*

ωμεν τὴν μήτρα καὶ ἀκίνητον εἶναι βραδεῖαι. τὸ θυ βραχύ. τὰ ἀ-
πὸ ῥημάτων γινόμενα ὀνόματα διὰ μακροῦ ἐκφερομένων
ὡς ἐπὶ τὸ πλεῖστον συστέλλονται. τὸ γα βραχύ. διότι ἡ γα
στὴρ ἀφῆς γέγονε θέσει εἶχεν αὐτὸ μακρὸν ἐκτεινόμενον ὑπὸ
τοῦ σ. ἐκβληθέντος οὖν τοῦ ἑνὸς συμφώνου κατελείφθη
φύσει βραχύ. πῶς κλίνεται τῆς θυγατέρος ὡς τῆς μητέ
ρος. καταβιβάζει δὲ καὶ ἐνταῦθα τὸν τόνον ἀκολουθήσασα
τοῖς ὀξυτονουμένοις ἐν τῇ εὐθείᾳ. τῷ πατέρος ἀνέρος
γαστέρος καὶ τοῖς ἄλλοις. ἡ κλητικὴ ὦ θύγατερ ὡς τὸ ὦ
μῆτερ. ὁ τόνος ἐπὶ τῆς προπαραληγούσης. αἱ εἰς ερ κλη
τικαὶ ἀναβιβάζουσι τὸν τόνον. αἱ μὲν δισύλλαβοι ἐπὶ τῆς
παραληγούσης ἐξ ἀνάγκης. αἱ δὲ τρισύλλαβοι ἐπὶ τῆς προ
παραληγούσης. οἷον δῆμητερ θύγατερ. καὶ καθόλου δὲ
τὰ εἰς ρ λήγοντα βραχυκατάληκτα οὕτω φιλοῦσιν ἔχειν
τὸν τόνον πλὴν τῆς ὑπὲρ προθέσεως καὶ τοῦ ἀτὰρ αὐ-
τὰρ συνδέσμου.

Κανὼν η.

Πόθεν λαμπάς. παρὰ τὸ λάμπω τὸ φαίνω. ἐν γραφαῖς ἡ μ.
μ. οὐδέποτε πρὸ τοῦ β ἢ π ἢ μ ἢ φ ἢ ψ τὸν θέλει εἶναι ἀλλ' εἰ
καὶ συλλαβὴ εἰς ν λήγουσα συντεθῇ μεθ' ἑτέρας συλλαβῆς
ἀπό τινος τούτων ἀρχομένης τρέπει τὸ ν εἰς μ. οἷον σύμ
βιος σύνεμπορος συμμορία. συμφωνῶ σύμψηφος. τὸ πας
μακρὸν ἐστὶν ἢ βραχύ. βραχύ τὰ εἰς ας θηλυκὰ συστέλλει τὸ
α. οἷον λαμπὰς τριὰς τετρὰς. καὶ ἄλλως. τὰ εἰς ας ὀξύ
τονα εἰ μὲν ὀνόματα εἶεν συστέλλει τὸ α. οἷον ἀρκὰς λαμ-
πάς. εἰ δὲ μετοχαὶ ἐκτείνουσιν αὐτό. οἷον ἱστάς. πῶς κλί-
νεται τῆς λαμπάδος. ὁ κανὼν τὰ εἰς ας θηλυκὰ διὰ
τοῦ δος κλίνονται. καὶ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν.

Παράδειγμα.

Πόθεν τριάς. παρὰ τὸ τρία ὡς παρὰ τὸ μύρια μυριάς.
καὶ χίλια χιλιάς. τὸ τρι. ι. τρὶς ἐπίρρημα καὶ τρία καὶ τρι-
άς. ι. τρεῖς δὲ ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ διφθόγγον. τὸ τρι
μακρὸν ἐστὶν ἢ βραχύ. βραχύ τρὶς ἐπίρρημα μακρόν. τρία
δὲ καὶ τριὰς βραχύ.

Κανὼν θ.

Πόθεν φιλότης. παρὰ τὸ φίλος ὡς παρὰ τὸ κακὸς κακότης
καὶ σφοδρὸς σφοδρότης. τὸ φι. ι. ἐκ τοῦ φίλος. τίνα διὰ τοῦ
ιλος ὀνόματα διὰ τοῦ ι γράφονται. καὶ τίνα διὰ τοῦ η. καὶ τί
να διὰ τῆς ει διφθόγγου. διὰ μὲν τοῦ ι ταῦτα ζωΐ-
λος. τροφίλος. ποικίλος. πομπίλος. ναυτίλος. φίλος. ἶλος
κύριον. ἐξ οὗ καὶ ἴλιος πόλις καὶ ἕτερα. διὰ δὲ τοῦ η ταῦτα
ζῆλος ἧλος τὸ καρφίον. δῆλος νῆσος. καὶ δῆλος ὁ φανε-
ρός. βῆλος κύριον. μῆλος. νῆσος. καὶ ἕτερα. διὰ δὲ τῆς ε καὶ
ι. διφθόγγου ταῦτα χεῖλος νεῖλος ὄνομα ποταμοῦ καὶ ὄνο
μα κύριον καὶ ἕτερα. τὸ λο μικρόν. τὰ διὰ τοῦ οτης θηλυκὰ
ἀπὸ ὀνομάτων εἰς ος ληγόντων γινόμενα διὰ τοῦ ο μι-
κροῦ γράφονται. οἷον ὅσιος ὁσιότης ἅγιος ἁγιότης φίλος
φιλότης. κακὸς κακότης. πῶς κλίνεται τῆς φιλότητος
ὁ κανὼν τὰ εἰς της θηλυκὰ ἰαμβοκατάληκτα ἐκβολῇ τοῦ
σ καὶ προσθέσει τοῦ τος κλίνονται. φιλότης φιλότητος
ἁγιότης ἁγιότητος. ἡ κλητικὴ ὦ φιλότης ὡς ~~τὸ~~ ὦ λά-
χης.

παράδειγμα.

Πόθεν κακότης. παρὰ τὸ κακός. τὸ δὲ κακός. παρὰ τὸ
χάζομαι ποιητικῶς τὸ ὑποχωρῶ.

Κανὼν ι.

Πόθεν μῆνις. παρὰ τὸ μένειν. ἢ ἔμμονος ὀργή. καὶ ὁ μὴ ἀφε
θεὶς χόλος. τὸ μη. η. κατὰ τροπὴν τοῦ ε εἰς η. πῶς κλίνεται
τῆς μήνιδος. ὁ κανὼν τῶν θηλυκῶν ὅσα εἰς νις λήγει καὶ
μακρᾷ παραλήγεται ἐκβολῇ τοῦ σ καὶ προσθέσει τοῦ δος
κλίνονται μῆνις μήνιδος νεᾶνις νεάνιδος ἧνις ἥνιδος ἡ
ἐνιαυσιαία βοῦς. ἡ κλητικὴ ὦ μῆνι. ὁ κανὼν τὰ εἰς ις ἀπο
βολῇ τοῦ σ, ποιεῖ τὴν κλητικήν

Παράδειγμα.

Πόθεν νεᾶνις. παρὰ τὸ νέος γίνεται νεάν. ὡς παρὰ τὸ ἄλ
κιμος ἀλκμάν. καὶ ἀπὸ τούτου νεᾶνις. τὸ α μακρόν. ἀπὸ
τοῦ νεὰν πᾶν ἀρσενικὸν καὶ θηλυκόν.

Κανὼν ια.

Πόθεν πίτυς. παρὰ τὸ πίπτω. κατὰ ἀποβολὴν τοῦ ω. ἔ
στι δὲ δένδρον ἄκαρπον. τὰ πι. ι. τὰ ἀμφιβαλλόμενα. καὶ

*Rª orthogra.*

ἄλλως ἀπὸ τοῦ πίπτω. τὰ εἰς πτω λήγοντα ῥήματα τῷ ι παραλήγεται· ταῦτα ῥίπτω πίπτω ἴπτω· τὸ βλάπτω, τὰ διὰ τῆς ε καὶ ι διφθόγγου· φιλαλεῖπτω καὶ ἕτερα. τὸ τυς ψιλόν· τὰ εἰς υς ἐπὶ εὐθείας μακρόν ἐστιν ἢ βραχύ· βραχύ· τὰ εἰς υς μὴ ὄντα κατὰ κρᾶσιν συστέλλει τὸ υ πλὴν τῶν μονοσυλλάβων. πῶς κλίνεται; τῆς πίτυος. ὁ κανών· τὰ εἰς υς βαρύτονα διὰ καθαροῦ τοῦ ος κλίνονται· πίτυς πίτυος· χέλυς χέλυος· ἔγχελυς ἐγχέλυος. τὰ δὲ ὀξύτονα καὶ φυλάττουσι τὸ υ ἐπὶ γενικῆς καὶ διὰ τοῦ δος κλίνονται· οἷον χλαμὺς χλαμύδος· κροκὺς κροκύδος· πηλαμὺς πηλαμύδος.

*Rª quantitatis*

*Rª declinationis*

Παράδειγμα.

πόθεν χλαμύς· παρὰ τὸ χλιαίνω τὸ θερμαίνω· τροπῇ τοῦ ν εἰς μ· φυλάττει γὰρ τὰ ἱμάτια τὴν θερμότητα. *.υς.*

Κανὼν ιβ.

πόθεν αἰδώς· παρὰ τὸ αἰδοῦμαι τὸ ἐντρέπομαι. τὸ αι δίφθογγον· αἰδοῦμαι τὸ ἐντρέπομαι διὰ διφθόγγου. ἔδω δὲ τὸ ἐσθίω ψιλόν, ἀφ' οὗ ὀδούς. τὸ δως μέγα. τὰ εἰς ως καὶ εἰς ως θηλυκὰ ἐπὶ τὸ δως ὀξεῖαν. πᾶσα ὀρθὴ καὶ αἰτιατική. ἰστέον ὅτι τῶν εἰς ως θηλυκῶν δισυλλάβων τὰ μὲν ὀξύνονται οἷον αἰδὼς ἠώς· τὰ δὲ βαρύνονται οἷον ἡ ἕως ἡ κέως. ἡ αἰτιατικὴ τὴν αἰδόα καὶ αἰδῶ· ἐπὶ τῶν δύο περισπωμένην· πᾶσα συναίρεσις. διατί οὐκ ὀξύνεται ὡς τὴν Σαπφώ; διότι οὐχ ὁμοφωνήσει τῇ εὐθείᾳ ὡς ἐκείνη. *.ως.*

*Rª accentus*

*Regula singula*

Παράδειγμα.

πόθεν ἠώς· παρὰ τὸ αὔω τὸ λάμπω ἐκβολῇ τοῦ υ καὶ τροπῇ τοῦ α εἰς η· σημαίνει δὲ τὴν ἡμέραν. ἐπὶ τῷ η ψιλήν· ἡ αυ δίφθογγος ψιλοῦται. ἕως δὲ ὁ δηλοῖ τὸ αὐτό, γίνεται παρὰ τὸ εὔω τὸ φωτίζω καὶ φλογίζω κατὰ ἀποβολὴν τοῦ υ· διὸ καὶ δασύνεται· ἡ γὰρ ευ δίφθογγος ψιλοῦται· οἷον εὖ δῖος· εὖρος τὸ πλάτος· εὖ ἐπίρρημα ἀντὶ τοῦ καλῶς· πλὴν τοῦ εὖ ποιητικῶς ἐπὶ τῆς γενικῆς τῆς πρωτοτύπου ἀντωνυμίας τοῦ τρίτου προσώπου· εὕδω τὸ κοιμῶμαι· εὕρω καὶ εὕω τὸ φωτίζω καὶ φλογίζω. ἡ ἕως πῶς κλίνεται; τῆς ἕω. ὁ κανών· τῶν εἰς ως θηλυκῶν ὅσα βαρύνονται *.ως.*

*Rª orthogra.*

*Rª orthograph.*

*Rª declinationis*



κατὰ ἀποβολὴν τοῦ σ κλίνονται· ἡ ἕως τῆς ἕω· ἡ κέως τῆς κέω· ἡ ἅλως τῆς ἅλω, ὁ καὶ ἅλωνος κλίνεται κοινῶς. τὸ ω μέγα ἀπὸ τῆς εὐθείας· φυλάσσεται τὸ ω ἐν τῇ γενικῇ καὶ ταῖς ἄλλαις πτώσεσιν. ἡ αἰτιατικὴ τὴν ἕω. ὁ κανών· ἡ μὲν ἀναλογία ἀπῄτει μετὰ τοῦ ν γράφεσθαι· ἀλλ' ἐπεκράτησε χωρὶς τοῦ ν διὰ καλλιφωνίαν. ἡ κλητικὴ ὦ ἕως. ὁ κανών· οἱ Ἀττικοὶ τὰς αὐτὰς ἔχουσιν ὀρθὰς καὶ κλητικάς.

*ἅλω· ἅλωνος*

*ἕω. Accusa.*

Ἀρχὴ σὺν θεῷ τῶν οὐδετέρων κανόνων· κανὼν α.

Βῆμα ποίου μέρους λόγου ἐστίν; ὀνόματος. ποίου γένους; οὐδετέρου. πόθεν γίνεται; παρὰ τὸ βῶ ἄχρηστον τὸ βαίνω. τὸ βη· ἡ ἐκ τοῦ βῶ βήσω μέλλοντος. τὰ μονοσύλλαβα διὰ τοῦ η ἔχουσι τοὺς μέλλοντας. τὸ μα μακρόν ἐστιν ἢ βραχύ; βραχύ· τὰ εἰς α λήγοντα οὐδέτερα ἀπαθῆ συστέλλει τὸ α καὶ τῷ μ παραλήγεται καὶ διὰ τοῦ τος κλίνεται. ἀπαθῆ εἶπε διὰ τὸ σκέπα καὶ τὰ ὅμοια· τοῦτο γὰρ οὔτε τῷ μ παραλήγεται οὐδὲ κλίνεται, ἐπεὶ ἀποκοπὴν ἔπαθεν. ἡ αἰτιατικὴ τὸ βῆμα. ὁ κανών· ἐπὶ τῶν οὐδετέρων ἡ αὐτή ἐστιν ὀρθὴ καὶ αἰτιατικὴ καὶ κλητική. πόθεν ἔχομεν διαγινώσκειν ἐν τῇ τοῦ λόγου συντάξει εἴτε εὐθεῖά ἐστι τὸ οὐδέτερον εἴτε αἰτιατική; ὅτε τὸ ῥῆμα μὴ μεταβατικῶς λέγεται πρὸς τὸ οὐδέτερον, ἀλλ' αὐτὸ παριστῶν ἐνεργοῦν ἢ πάσχον, τότε τὸ οὐδέτερον εὐθεῖά ἐστιν· οἷον τὸ παιδίον γράφει. ὅτε δὲ τὸ ῥῆμα μεταβατικῶς ἀπ' ἄλλου λέγεται πρὸς αὐτό, αἰτιατική· οἷον ὁ διδάσκαλος τὸ παιδίον διδάσκει. καὶ ἔτι ἀντὶ τοῦ προκειμένου οὐδετέρου ἀρσενικὸν λάμβανε, ἐν ᾧ οὐ συμπίπτουσιν αἱ τοιαῦται πτώσεις, καὶ σκόπει ποία πτῶσις αὐτοῦ τῷ προκειμένῳ ἁρμόζει λόγῳ· καὶ ἀπὸ τούτου διακρινεῖς ἀπλανῶς τὸ οὐδέτερον. ἡ εὐθεῖα τῶν πληθυντικῶν τὰ βήματα. ὁ κανών· πᾶσα εὐθεῖα καὶ αἰτιατικὴ πληθυντικῶν τῶν οὐδετέρων εἰς α λήγει· εἰ δέ που εὑρεθεῖεν εἰς η λήγουσα, κατὰ συναίρεσίν ἐστιν· οἷον τὰ τείχεα καὶ τείχη. τὸ τα βραχύ· τὰ δίχρονα καταληκτικὰ οὐδέτερα ἐπὶ παντὸς ἀριθμοῦ καὶ ἐπὶ πάσης πτώσεως συνεσταλμένον ἔχει τὸ δίχρονον.

*Regula quanti. & declinat.*

*Regula de neutris tres casus similes hi*

*Neutra in α desinere in pl.*

*Regula de syll. quantitate.*

Verba εἰς μι in plura & passivis corripiuntur.

ο. η. in ω.

Παράδειγμα.

Πόθεν δῶμα. ὃ μὲν σημαίνει τὸ διδόμενον ἀπὸ τοῦ δέδομαι παθητικοῦ παρακειμένου. οὗ τὸ θέμα δίδωμι καὶ γράφεται διὰ τοῦ ο μικροῦ. τὰ γὰρ εἰς μι ἐπὶ τῶν πληθυντικῶν καὶ παθητικῶν συστέλλονται. εἰ δὲ τὸ οἴκημα ἀπὸ τοῦ δεδόμημαι οὗ τὸ θέμα δομέω δομῶ καὶ γράφεται διὰ τοῦ ω μεγάλου. ἀπὸ γὰρ τοῦ δεδόμημαι γίνεται δόμημα. καὶ ἐκβολῇ τοῦ μ καὶ κράσει τοῦ ο καὶ η εἰς ω μέγα δῶμα.

Κανὼν β.

Μέλι ποίου μέρους λόγου ἐστίν; ὀνόματος. ποίου γένους; οὐδετέρου. τὸ με ψιλόν. τὰ ἀπὸ τῆς με συλλαβῆς ἀρχόμενα ~~διὰ τοῦ ε ψιλοῦ γράφονται~~. τὸ λι. ι. τινὰ εἰς ι λήγοντα οὐδέτερα διὰ τοῦ ι γράφονται. ταῦτα μέλι κίκι. εἶδος ἐλαίου. σίνηπι. στίμμι. κόμμι. πέπερι. κινάβαρι. πῶς κλίνεται τοῦ μέλιτος. ὁ κανὼν τὰ εἰς ι λήγοντα οὐδέτερα μονογενῆ ἑλληνικὰ διὰ τοῦ τος κλίνονται. εἰ δὲ μὴ ἑλληνικὰ εἶεν διὰ καθαροῦ τοῦ ος. οἷον σινήπιος πεπέριος.

κιννάβαρι

Rª. declinatio.

σινήπιος

πεπέριος

Παράδειγμα.

Σίνηπι τὸ σι. ι. καὶ τὸ νη. η. οὕτω παρέδωκεν αὐτὰ ἡ συνήθεια. πῶς κλίνεται τοῦ σινήπιος κοινῶς. ὁ κανὼν τὰ εἰς ι λήγοντα οὐδέτερα καὶ ἰωνικῶς σινήπιος. ὁ κανὼν οἱ ἴωνες καὶ οἱ ποιηταί. καὶ ἀττικῶς σινήπεως. ὁ κανὼν ἀττικοὶ δὲ τῆς γενικῆς ταύτης.

Κανὼν γ.

Πόθεν πῶυ. παρὰ τὸ πῶ τὸ κτῶμαι. σημαίνει δὲ τὸ ποίμνιον. τὸ πω μέγα. τὰ ἀπὸ ἐνεστώτων ἢ μελλόντων. τὸ υ ψιλόν. ~~τὰ~~ εἰς υ λήγοντα οὐδέτερα διὰ τοῦ υ ψιλοῦ γράφονται ~~οἷον~~ ἄστυ γόνυ πῶυ δόρυ νάπυ. πῶς κλίνεται τοῦ πώεος. ὁ κανὼν τὰ εἰς υ ψιλὸν λήγοντα οὐδέτερα εἰ μὲν μακρᾷ παραλήγεται διὰ τοῦ ε κλίνεται. πώεος ἄστεος. εἰ δὲ βραχείᾳ διὰ τοῦ υ. γόνυ γόνυος δόρυ δόρυος. ἃ καὶ κατὰ μετάθεσιν γουνὸς λέγεται καὶ δουρός. καὶ ἐκβολῇ τοῦ υ δορρὸς καὶ δορί.

Regula singul. declinatio.

γουνὸς

δουρὸς

δορὸς

δορί

τὰ δὲ διὰ τοῦ ω μεγάλου· τινὰ διὰ τοῦ ο μικροῦ

Παράδειγμα.

Γόνυ τὸ γο μικρόν. τὰ ἀπὸ τῆς γο συλλαβῆς ἀρχόμενα διὰ τοῦ ο μικροῦ γράφονται. ταῦτα γόος ὁ θρῆνος. γόης ὁ μάγος. γόνυ Γολιάθ. τινὰ διὰ τοῦ ω μεγάλου. ταῦτα γωνία καὶ γωρυτὸς ἡ θήκη τοῦ τόξου.

Rª. orthogr.

γωρυτὸς · i pharetra

Κανὼν δ.

Πόθεν ξύλον. παρὰ τὸ ξύω τὸ ἐπιτηδείως ἔχειν τὸ ξύεσθαι. τὸ ξυ ψιλὸν ἐκ τοῦ ξύω. καὶ ἄλλως τινὰ διὰ τοῦ υλον οὐδέτερα διὰ τοῦ υ ψιλοῦ γράφονται ταῦτα σκῦλον τὸ λάφυρον. φῦλον τὸ γένος διὰ ἑνὸς λ. φύλλον δὲ τὸ τῶν δένδρων διὰ δύο καὶ ἕτερα. διὰ δὲ τῆς οι διφθόγγου κοῖλον. ὃ λέγεται ἐπὶ τῶν κόλπους ἐχόντων ᾧ ἐναντίον τὸ ναστόν. τὸ ξυ μακρόν ἐστιν ἢ βραχύ. βραχύ. τὰ διὰ τοῦ υλον οὐδέτερα ἐκτείνει τὸ υ. οἷον σκῦλον φῦλον τὸ γένος πλὴν τοῦ ξύλον. τὸ λον μικρόν. τὰ εἰς ος ἀρσενικὰ καὶ θηλυκά. πῶς κλίνεται τοῦ ξύλου. ὁ κανὼν ὁμοίως. ἡ δοτικὴ τῶν πληθυντικῶν τοῖς ξύλοις. ὁ κανὼν πᾶσα δοτικὴ ἑνικῶν εἰς ω μέγα λήγουσα δηλονότι μετὰ τοῦ ἀνεκφωνήτου ι τρέπουσα τὸ ω μέγα εἰς ο μικρὸν καὶ ἐκφωνοῦσα τὸ ι καὶ προσλαμβάνουσα τὸ σ τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ.

Rª. orthogra.

φῦλον

φύλλον

De ἀντι syll.

De Dativo plurali Rª

Παράδειγμα.

Πόθεν ἄροτρον. παρὰ τὸ ἀρῶ τὸ ἀροτριῶ. τὸ α μακρόν ἐστιν ἢ βραχύ. βραχὺ κατὰ παράδοσιν. ἐπὶ τῷ α τί πνεῦμα. ψιλήν. τὸ α πρὸ τοῦ ρ ψιλοῦται εἰ μὴ τὸ ν ἐπάγοιτο ἢ τὸ π. οἷον ἄραψ ἀρὰ ἄροτρον. πλὴν τοῦ ἀραιόν. τὸ ρο μικρὸν ἀπὸ τοῦ ἀρῶ ἀρόσω. ἡ γὰρ τρίτη συζυγία τῶν περισπωμένων ἐπὶ τοῦ μέλλοντος θέλει ἔχειν τὸ ω τὸ μέγα ἢ τὸ ο τὸ μικρόν. καὶ πάντοτε μὲν τὸ ω τὸ μέγα. οἷον χρυσῶ χρυσώσω ὑψῶ ὑψώσω στεφανῶ στεφανώσω. πλὴν τοῦ ἀρῶ ἀρόσω τὸ ἀροτριῶ ὀμῶ ὀμόσω. τὸ διορκῶ ~~[illegible]~~ πιστοῦμαι. ὀρῶ ὀμόσω τὸ μέμφομαι. ὃ γράφεται ὀμόσομαι. ἔστι δὲ ποιητικόν. βῶ βώσω τὸ τρέφω καὶ ἐνῶ ἐνόσω τὸ κινῶ. ἐξ οὗ καὶ ἐνοσίχθων ὁ Ποσειδῶν. ἐνῶ δὲ ἐνώσω τὸ μιγνύω μέγα.

Rª. orthogra.

traditio macra tio

De Futuro verbor. cõjugationis 3. περισπωμένων. multitate

ἐνόσω

ἐνώσω

Κανὼν ε.

Enosichthō

κατὰ παράδοσιν

Rª. orthogr.

πόθεν δέλεαρ· παρὰ τὸ δελεάζω ἀφ' οὗ δόλος καὶ δόλιος. τὸ δε ε ψιλόν· τὰ ἀπὸ τῆς δε συλλαβῆς ἀρχόμενα. τὸ λε ψιλόν· τὰ εἰς αρ οὐδέτερα διὰ τοῦ ε τὴν παραλήγουσαν ἔχοντα διὰ τοῦ ε ψιλοῦ θέλουσιν αὐτὴν ἔχειν· οἷον στέαρ φρέαρ ἔαρ δέλεαρ. τὸ αρ βραχύ. τὰ εἰς αρ οὐδέτερα συστέλλει τὸ α· οἷον ἧπαρ δέλεαρ· καὶ οἱ εἰς αρ σύνδεσμοι· οἷον ἀτὰρ αὐτὰρ γάρ. πῶς κλίνεται τοῦ δελέατος. ὁ κανών· τὰ εἰς ρ λήγοντα οὐδέτερα φυλάττει τὸ ρ ἐπὶ γενικῆς καὶ προσθέσει τοῦ ος κλίνονται· οἷον ἔαρ ἔαρος κέαρ κέαρος· ἕλωρ ἕλωρος. ὅσα δὲ μὴ φυλάττει τὸ ρ ἑτερόκλιτα εἰσίν· οἷον φρέαρ φρέατος· δέλεαρ δελέατος· ἧπαρ ἥπατος ὕδωρ ὕδατος. ἅτινα ἀπὸ ἑτέρων εὐθειῶν γίνονται ἀχρήστων· καὶ διὰ τοῦτο παρασεσιωπημένων τῆς φρέας δέλεας ἧπας ὕδας.

Rª. quantitatis

Rª. declinatio

φρέατος δελέατος

Παράδειγμα.

πόθεν ἧπαρ· παρὰ τὸ ἥδομαι τὸ εὐφραίνομαι. ἐπὶ τοῦ ἥπατος γὰρ τὸ ἐπιθυμητικὸν ὀχεῖται. ἐπὶ τῷ η δασεῖαν ἀπὸ τοῦ ἥδομαι.

Κανὼν ς.

ὕδωρ τὸ υ ψιλὸν κατὰ παράδοσιν. ἐπὶ τῷ υ δασεῖαν· τὸ υ πάσης λέξεως ἀρχὸν δασύνεται πλὴν τοῦ ὕμμιν καὶ ὔμμες αἰολικῶς. οἱ γὰρ αἰολεῖς ἀγνοοῦσι τὴν δασεῖαν. τὸ υ μακρόν ἐστιν ἢ βραχύ· κοινῶς μὲν βραχύ· ποιητικῶς δὲ μακρόν. πῶς κλίνεται τοῦ ὕδατος. ὁ κανών· τὰ εἰς ρ λήγοντα οὐδέτερα. τὸ δα βραχύ· τὰ εἰς ~~ρ λήγοντα~~ οὐδέτερα συστέλλει τὸ α πρὸς ἀντιδιαστολὴν τῶν εἰς ας ἀρσενικῶν βαρυτόνων.

Aeolis ignorat aspir.

Παράδειγμα.

πόθεν ἕλκος· παρὰ τὸ ἕλκω κατὰ ἀποβολὴν τοῦ κ. σημαίνει δὲ τὸ ἕλκυσμα καὶ σπάραγμα. ἐπὶ τῷ ε δασεῖαν· τὸ ε πρὸ τοῦ λ ὂν ὑποτάσσεται τὸ κ δασύνεται. ἕλκω ἕλκος ἑλκυσμός.

Rª. orthograph.

Κανὼν ζ.

πόθεν κρέας· παρὰ τὸ κείρω τὸ κόπτω. σὰρξ γὰρ λέγεται ὅτε εἰς σύστασιν τοῦ ζῴου ἐστίν. ὅτε δὲ τμηθῇ ἡ σὰρξ καὶ μελισθῇ λέγεται κρέας. τὸ κρε ψιλόν· ~~τὰ~~ εἰς ας οὐδέτερα διὰ τοῦ ε τὴν παραλήγουσαν ἔχοντα διὰ τοῦ ε ψιλοῦ θέλουσιν αὐτὴν ἔ-

Rª quantitatis

Rª. quantita.

Rª. orthographiae

κατὰ παράδοσιν

χειν· οἷον δέπας τὸ ποτήριον· δέμας τὸ τοῦ τεθνηκότος κυρίως σῶμα· σέλας ἡ λαμπηδών· βρέτας τὸ εἴδωλον· κέρας λέπας τὸ ἀκρωτήριον κρέας. τὸ ας μακρόν ἐστιν ἢ βραχύ. βραχύ· τὰ εἰς ας οὐδέτερα. τὸ συνῃρημένον κρῆς ποιητικῶς. τὸ ε καὶ α εἰς η κιρνᾶται. πῶς κλίνεται τοῦ κρέατος κοινῶς. ὁ κανών· τὰ εἰς ας οὐδέτερα ὅσα κλίνονται ἡ μὲν κοινὴ διάλεκτος διὰ τοῦ τος κλίνει· κρέατος γήρατος· ἡ δὲ τῶν ἰώνων τοῦ κοινοῦ τὸ τ ἀποβάλλει· καὶ κλίνει διὰ καθαροῦ τοῦ ος κρέαος γήραος. ἡ δὲ τῶν ἀττικῶν κιρνῶσα τοῦ ἰωνικοῦ τὸ α καὶ ο εἰς ω μέγα κρέως γήρως. κλίνονται δὲ ὅσα καθαρὸν ἔχουσι τὸ ας ἢ τὸ ρ πρὸ τοῦ ας. εἰ δέ που εὑρεθῇ εἰς ας οὐδέτερον ἕτερον σύμφωνον πρὸ τοῦ ας ἔχον εἶτα κλινόμενον (σπανίως δὲ τοῦτο γίνεται) τὴν κοινὴν μόνην κλίσιν κλίνεται· οἷον ἐρυσίπελας ἐρυσιπέλατος· ἄλας ἄλατος. ἡ δοτικὴ τῷ κρέατι κοινῶς καὶ κρέαϊ ἰωνικῶς καὶ κατὰ συναίρεσιν κρέᾳ. τὸ α καὶ ι εἰς α δίφθογγον καταχρηστικῶς συναιρεῖται. ἡ γενικὴ τῶν πληθυντικῶν τῶν κρεάτων καὶ κρεάων καὶ κρεῶν καὶ πλεονασμῷ τοῦ ι ποιητικῶς κρειῶν. ὡς ἔρομαι τὸ ἐρωτῶ εἴρομαι.

δέμ. cadaver

κρῆς

Rª. declinati.

ἐρυσίπελ. Sacer ignis

Παράδειγμα

πόθεν γῆρας· παρὰ τὸ γέρας ἡ τιμή. τὸ γῆ η· κατὰ τροπὴν τοῦ ε εἰς η.

Κανὼν η.

πόθεν τεῖχος· παρὰ τὸ τεύχω τὸ κατασκευάζω. ἔστι δὲ καὶ ὁ τοῖχος ἀρσενικῶς· καὶ τοῦτο ἀπὸ τοῦ τεύχω διὰ τοῦ ο καὶ ι· καὶ λέγεται ἐπὶ τῶν οἰκημάτων. τεῖχος δὲ οὐδετέρως ἐπὶ τῶν πόλεων. τὸ χος μικρόν. τὰ εἰς ος οὐδέτερα εἰς ους ἔχει τὴν γενικὴν καὶ διὰ τοῦ ο μικροῦ γράφεται· τεῖχος τείχους· βέλος βέλους. πῶς κλίνεται τοῦ τείχεος ἰωνικῶς. ὁ κανών· οἱ ἴωνες καὶ οἱ ποιηταὶ τὰς εἰς ους ληγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς ος εὐθειῶν οὐδετέρων γινομένας διὰ τοῦ εος προφέρουσι. τὸ συνῃρημένον τείχους. τὸ ε καὶ ο εἰς τὴν ου δίφθογγον κιρνᾶται.

τοῖχος ὁ

τεῖχος τὸ

Rª declinatio.

Rª. declinati

Παράδειγμα.

πόθεν βέλος· παρὰ τὸ βάλλω τὸ πέμπω. βάλλεται δὲ ὅσα μακρόθεν ἀφίεται. τὸ βε ψιλόν· τὰ διὰ τοῦ ελος ὀνόματα

Rª. orthogra.

ε ιι

τα διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον τέλος βέλος ἕλος ὀλι-
μμώδης τόπος καὶ καλαμώδης.

¶ κανὼν θ.

¶ πόθεν φῶς· παρὰ τὸ φάω τὸ λάμπω· φάος καὶ κατὰ κρᾶ-
σιν φῶς. πόσα σημαίνει φῶς· δύο· οὐδετέρως μὲν τὸ λάμ-
πον· ὃ καὶ περισπᾶται, ἀρσενικῶς δὲ τὸν ἄνθρωπον· ὃ καὶ ὀ-
ξύνεται. κλίνονται δὲ ὁμοίως ἀμφότερα. πῶς κλίνεται τοῦ
φωτός· ὁ κανών· δύο ὀνόματα ἐστὶν ἅ ἐστιν οὐδέτερα φῶς καὶ
ὦς· κλίνονται ~~δὲ ὁμοίως ἀμφότερα~~ διὰ τοῦ τος. ἡ γε-
νικὴ τῶν πληθυντικῶν τῶν φώτων ὁ τόνος ἐπὶ τίνος· ἐπὶ
τῆς παραληγούσης· ἐπὶ τῶν οὐδετέρων ἀεὶ βαρύνεται ἡ εὐ-
θεῖα τῶν πληθυντικῶν καὶ ἡ γενικὴ αὐτῶν βαρύνεται· ξύλα ξύ-
λων· ζῶα ζώων· φῶτα φώτων· φωτῶν δὲ τῶν ἀνδρῶν πε-
ρισπᾶται· αἱ γὰρ εἰς α λήγουσαι δισύλλαβοι εὐθεῖαι τῶν πλη-
θυντικῶν περισπῶσι τὰς γενικὰς αὐτῶν.

¶ παράδειγμα.

¶ πόθεν ὦς· παρὰ τὸ αὔω τὸ φωνῶ· τὸ ὑποκείμενον ταῖς φω-
ναῖς· ἀπὸ τούτου μὲν οὖν κατὰ μετάθεσιν οὖας· ἔστι δὲ
ποιητικόν· ἀπὸ δὲ τοῦ οὖας κατὰ μὲν συγκοπὴν οὖς· ἐκβο-
λῇ δὲ τοῦ υ καὶ κράσει τοῦ ο καὶ α εἰς ω μέγα ὦς· καὶ κλίνεται
ὠτός· ἔστι δὲ κατὰ παραγωγὴν τὸ ὠτίον.

¶ Ῥῆμα ὁριστικὸν ἐνεργητικὸν ἁπλοῦν πρωτότυπον συζυγί-
ας πρώτης τῶν βαρυτόνων.

Τ ύπτω ποίου μέρους λόγου ἐστί· ῥήματος. ποίας ἐγκλί-
σεως· ὁριστικῆς. ὁριστικὴ πόθεν γίνεται· ἀπὸ τοῦ ὁρίζο-
μαι τὸ ἀποφαίνομαι. τὸ ο μικρόν. τὰ ἀπὸ τοῦ ο ἀρχόμενα ῥή-
ματα διὰ τοῦ ο μικροῦ γράφονται. πλὴν τοῦ ὠδίνω ὠρύομαι ὤ-
θω καὶ ὠθῶ· ὃ μετὰ τῆς ἀπὸ προθέσεως γράφεται παθητικῶς
ἀπωθοῦμαι· ὠφελῶ ὠχριῶ ὠρακιῶ τὸ λειποψυχῶ· ὠστίζεται
πλῆθος ἐπί τι σπεῦδον καὶ ὑπ' ἀλλήλων ὠθούμενον· ὠνοῦμαι
τὸ ἀγοράζω· ὡραΐζω· ἐπὶ τῷ ο δασεῖαν. τὸ ο πρὸ τοῦ ρ ψι-
λοῦται· ὀρεὺς ὁ ἡμίονος· ὀρέγω τὸ ἐκτείνω· ὀρέγομαι τὸ ἐπι-
θυμῶ· ὀρέστης ὄνομα κύριον καὶ ὄρος οὐδετέρως. ὅρος δὲ
ἀρσενικῶς δασύνεται ἀφ' οὗ ὁρίζομαι καὶ ὁρισμὸς καὶ
ὁριστικόν. τὸ ρι ι. τίνα διὰ τοῦ ιζ ῥήματα καὶ ἐνεργητικῶς

γραφόμενα καὶ παθητικῶς διὰ τοῦ ι γράφονται. ταῦτα·
ἀγωνίζομαι βαδίζω δογματίζω· τὸ δανείζω μόνον δίφ-
θογγον· καὶ τὸ χρήζω διὰ τοῦ η. τύπτω ποίας διαθέσεως·
ἐνεργητικῆς. ἐνεργητικὴ πόθεν γίνεται· ἀπὸ τοῦ ἐνεργῶ. τὸ δὲ ἐνερ-
γῶ ἀπὸ τῆς ἐν προθέσεως καὶ τοῦ ἔργον. τὸ δὲ ἔργον ἀπὸ τοῦ ῥέ-
ζω τὸ πράττω. τὸ υ γη. ἢ ἀπὸ τοῦ ἐνεργῶ. ἡ πρώτη συζυ-
γία τῶν περισπωμένων ἐπὶ τοῦ μέλλοντος θέλει ἔχειν τὸ
η ἤτοι ε ψιλόν· καὶ ὡς ἐπὶ τὸ πλεῖστον μὲν τὸ η· οἷον νοῶ νοή-
σω· ποιῶ ποιήσω· χωρῶ χωρήσω· σπανίως δὲ καὶ τὸ ε· οἷον
τελῶ τελέσω· φορῶ φορέσω· ἐπαινῶ ἐπαινέσω· καλῶ καλέ-
σω. ποίου εἴδους· πρωτοτύπου. πρωτότυπον πόθεν γίνε-
ται· ἀπὸ τοῦ πρῶτος καὶ τοῦ τύπος. πρῶτος ποίου εἴ-
δους· τῶν παραγώγων ὑπερθετικοῦ· γίνεται δὲ ἀπὸ τῆς
πρὸ προθέσεως· πρότερος μὲν συγκριτικόν· πρότατος
δὲ ὑπερθετικόν· καὶ ἐκβολῇ τοῦ τ καὶ κράσει τοῦ ο καὶ α εἰς ω
μέγα πρῶτος· ἀφ' οὗ ἕτερον ὑπερθετικὸν πρώτιστος· ὅπερ
ἐν οὐδενὶ ἑτέρῳ συμβαίνει. τύπος δὲ γίνεται ἀπὸ τοῦ τύ-
πω. διὸ καὶ διὰ τοῦ υ ψιλοῦ γράφεται. ἁπλοῦν πόθεν γί-
νεται· ἀπὸ τοῦ α τοῦ σημαίνοντος τὸ ἓν καὶ τοῦ πέλω τὸ
ὑπάρχω· ὃ παρὰ μὲν τοῖς ποιηταῖς ἐν χρήσει· παρὰ δὲ
τοῖς κοινοῖς ἄχρηστον. ἀπὸ τούτου διπλόος καὶ διπλοῦς
καὶ διπλόη καὶ τριπλόος καὶ τριπλοῦς· καὶ τὰ τῆς ἀκο-
λουθίας ταύτης. ἐπὶ τῷ α δασεῖαν τὸ α πρὸ τοῦ π ψι-
λοῦται. πλὴν τοῦ ἅπαξ ἁπλοῦς ἅπας ἁπαλὸς ἁπλόος
καὶ ἁπλόη. αἱ τύπτω ποίου ἀριθμοῦ· ἑνικοῦ. ποίου προσώπου·
πρώτου. ποίου χρόνου· ἐνεστῶτος. ποίας συζυγίας· πρώ-
της τῶν βαρυτόνων. πόθεν βαρύτονος· ἀπὸ τοῦ βαρὺς καὶ
τοῦ τόνος. βαρὺς δὲ γίνεται ἀπὸ τοῦ βία αἴρεσθαι. πό-
σαι συζυγίαι τῶν βαρυτόνων ῥημάτων· ἕξ. ἡ πρώτη διὰ 1
τίνος ἐκφέρεται· διὰ τοῦ β ἢ π ἢ φ ἢ πτ· οἷον λείβω τέρπω
γράφω ~~τύπτω~~. ἡ δευτέρα διὰ τίνος· διὰ τοῦ γ ἢ κ ἢ χ ἢ 2
κτ· οἷον λέγω πλέκω τρέχω τίκτω. ἡ τρίτη διὰ τίνος· 3
διὰ τοῦ δ ἢ θ ἢ τ· οἷον ᾄδω πλήθω ἀνύτω. ἡ τετάρτη 4
διὰ τοῦ ζ ἢ δύο σσ· οἷον φράζω ὀρύσσω. ἡ πέμπτη διὰ 5

Coniugationes p(er)ispomenoru(m)

βοᾷς βοᾷ

Coniugationes verboru(m) in μι

6 τῶν τεσσάρων ἀμεταβόλων· λ· μ· ν· ρ· οἷον ψάλλω μένω κρίνω
σπείρω. ἡ ἕκτη διὰ καθαροῦ τοῦ ω· οἷον ἱππεύω πλέω βασι
λεύω. πόσαι συζυγίαι τῶν περισπωμένων; τρεῖς. καὶ τῆς
μὲν πρώτης τὸ ἐν τέλει ε τῷ ε ψιλῷ παραλήγεται ἐπὶ τοῦ
ὁριστικοῦ ἐνεργητικοῦ ἐνεστῶτος πρώτου προσώπου. τῆς
δὲ δευτέρας τῷ βραχεῖ α. τῆς δὲ τρίτης τῷ ο μικρῷ. καὶ
ἡ μὲν πρώτη ἐπὶ δευτέρου καὶ τρίτου προσώπου διὰ
τῆς ει διφθόγγου ἐκφέρεται τῆς ε καὶ ι. οἷον ποιέω ποιῶ
ποιέεις ποιεῖς ποιέει ποιεῖ. νοέω νοῶ νοέεις νοεῖς νοέει νοεῖ. ἡ δὲ
δευτέρα διὰ τῆς α καὶ ι διφθόγγου προσγραφομένου μὲν
τοῦ ι οὐ συνεκφωνουμένου δέ· οἷον βοάω βοῶ βοάεις βοᾷς
βοάει βοᾷ. ἡ δὲ τρίτη διὰ τῆς ο καὶ ι διφθόγγου. οἷον χρυ
σόω χρυσῶ χρυσόεις χρυσοῖς χρυσόει χρυσοῖ. πόσαι συ
ζυγίαι τῶν εἰς μι; τέσσαρες. ὧν ἡ μὲν πρώτη ἀπὸ τῆς
πρώτης τῶν περισπωμένων γίνεται. καὶ ἐπὶ τοῦ παθη
τικοῦ τὸ ε ψιλὸν ἔχει. δεῖγμα ποίας ἐστὶ συζυγίας καὶ ὅ
θεν ἐγένετο. οἷον τιθέω τιθῶ τίθημι τίθεμαι. ἡ δὲ δευτέ
ρα ἀπὸ τῆς δευτέρας τῶν περισπωμένων γίνεται. καὶ
ἐπὶ τοῦ παθητικοῦ τὸ βραχὺ α ἔχει. οἷον ἱστάω ἱστῶ ἵστημι
ἵσταμαι. ἡ δὲ τρίτη ἀπὸ τῆς τρίτης τῶν περισπωμένων
γίνεται. καὶ ἐπὶ τοῦ παθητικοῦ τὸ ο μικρὸν ἔχει. οἷον διδόω
διδῶ δίδωμι δίδομαι. ἡ δὲ τετάρτη ἀπὸ τῆς ἕκτης τῶν
βαρυτόνων. οἷον ζευγνύω ζεύγνυμι ζεύγνυμαι.

ἐνεργητικὸς ἐνεστώς.

Τύπτω ὁ κανών. οὐκ ἔχει αἱ ἀρχαὶ καὶ τὰ θέματα κανόνας; οὐκ
ἔχουσι. τὸ τυ ψιλόν. τίνα εἰσὶ πτω λήγοντα ῥήματα τῷ υ
ψιλῷ παραλήγεται. ταῦτα κρύπτω δρύπτω τὸ ξέω τύ
πτω καὶ ἕτερα. τὸ τυ μακρὸν θέσει τὸ π καὶ τὸ τ. ἐπὶ τῷ
τυ ὀξεῖαν ἐπάνω θέσει μακρᾶς. ὁ τόνος ἐπὶ τῆς παραλη
γούσης. πᾶν ῥῆμα εἰς ω λῆγον βαρύνεται. οἷον λέγω γράφω
τύπτω. καὶ ὅσα δὲ περιεσπάσθησαν ἀπὸ βαρυτόνων συ
νῃρέθησαν. τὸ πτω μέγα. πᾶν ῥῆμα εἰς ω λῆγον διὰ τοῦ ω
μεγάλου γράφεται. εἰ δὲ εἰς ον διὰ τοῦ ο μικροῦ εἰ μὴ ἀπὸ
συναιρέσεως εἴη ὡς τὸ ἐβόων ἐγέλων. τὸ δεύτερον τύπτεις.

Rª. orthogr.

ἡ ἐν τέλει (?) αὐτό

Rª. orthograph

Regula ortho-

ἡ ἐν δευτέρᾳ καὶ τρίτῃ (?)

Inclino in flex(ione) (?)



mutatione

ὁ κανών. πᾶν ῥῆμα εἰς ω λῆγον ἀμοιβῇ τοῦ ω εἰς ει τὸ δεύ
τερον ποιεῖ. τὸ πτεις δίφθογγον. πᾶν ῥῆμα εἰς ω λῆγον ἔχει
τὸ δεύτερον διὰ διφθόγγου. ὁμοίως καὶ τὸ τρίτον. τὸ τρί
τον τύπτει. ὁ κανὼν πᾶν δεύτερον πρόσωπον εἰς ς λῆγον ἀ
ποβολῇ τοῦ ς τὸ τρίτον ποιεῖ. πλὴν τῶν εἰς μι καὶ τῶν ποι
ητικῶν. ἐκεῖνα γὰρ οὐ μόνον οὐκ ἀποβάλλουσι τὸ ς. ἀλλὰ καὶ
τὸ ι προσλαμβάνουσιν. οἷον τίθης τίθησι. λάβῃς λάβῃσι. τῶν
δυϊκῶν τὸ πρῶτον οὐ ποιεῖ. ἡνίκα τὸ πρῶτον πρόσωπον
τῶν πληθυντικῶν τὸ μ ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔ
χει ἀπολλύει (?) τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν. τὸ δεύ
τερον τύπτετον. ὁ κανὼν ἐκ τοῦ δευτέρου τῶν πληθυντικῶν
τροπῇ τῆς τε εἰς τον. τὸ πτε ψιλὸν ἀπὸ τοῦ πληθυντικοῦ
ὅτε τὰ εἰς μεν πληθυντικὰ τὸ ο μικρὸν ἔχουσιν ἐπὶ τῆς
παραληγούσης εἰς ε τρέπουσιν αὐτὸ ἐπὶ τοῦ δευτέρου
προσώπου. καὶ ἄλλως. τὰ διὰ τοῦ ετον καὶ ετην δεύτε
ρα καὶ τρίτα πρόσωπα τῶν δυϊκῶν διὰ τοῦ ε ψιλοῦ γρά
φονται. τὸ τον μικρόν. τὰ εἰς τον καὶ εἰς θον δεύτερα καὶ τρί
τα πρόσωπα τῶν δυϊκῶν διὰ τοῦ ο μικροῦ γράφονται.
τὸ τρίτον τύπτετον. ὁ κανὼν ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ.
πότε ὁμοφωνοῦσι τὰ δεύτερα καὶ τρίτα πρόσωπα τῶν
δυϊκῶν καὶ πότε διαλλάττουσιν. ὅτε μὲν εἰς ι ἢ εἰς ται λή
γει τὸ τρίτον τῶν πληθυντικῶν τότε ὁμοφωνοῦσι τὰ δεύ
τερα καὶ τρίτα πρόσωπα τῶν δυϊκῶν. ὅτε δὲ μὴ οὔ
τως ἔχει διαλλάττουσι. τῶν πληθυντικῶν τὸ πρῶτον
τύπτομεν. ὁ κανὼν τῶν ἐνεστώτων καὶ μελλόντων ἡ τελευ
ταία συλλαβὴ ~~τῆς γενικῆς τῶν μετοχῶν~~ ἀποβάλλουσα
τὴν τος πρότε τοῦ ν (?) λαμβάνουσα τὴν μεν τὸ πρῶτον πρό
σωπον τῶν πληθυντικῶν ποιεῖ. τὸ το μικρὸν ἐκ τῆς γενι
κῆς τῶν μετοχῶν, αἱ μετοχαὶ συστέλλονται ἐπὶ τῆς γενι
κῆς ἐὰν μὴ κατὰ πάθος ὦσι. τὸ μὲν ψιλὸν τὰ εἰς μεν καὶ
εἰς τε πρῶτα καὶ δεύτερα πρόσωπα τῶν πληθυντικῶν διὰ
τοῦ ε ψιλοῦ γράφονται. τὸ δεύτερον τύπτετε. ὁ κανὼν τὰ εἰς μεν
τροπῇ τῆς μεν εἰς τε ~~καὶ εἰ τὸ ο μικρὸν ἔχει ἐπὶ τῆς παραλη
γούσης τρέποντα αὐτὸ εἰς ε~~ τὸ δεύτερον ποιεῖ. ἰστέον ὅτι
τὰ εἰς μεν πληθυντικά, εἰ τὸ ο μικρὸν ἔχουσιν ἐπὶ τῆς παρα

ε ιιιι

Ita etiam format hanc primam personam plura
lem Technic(us). Sed inepta est formatio & iure
reprehensa a Theodoro prodromo.

Regula

De prima persona duali

Regula nota

Rª. orthog

Regula

ἡ γενικὴ τῶν μετοχῶν τὴν

In alia manu scrip. αἱ μετοχαὶ συστέλλονται ad. τὸ μεν. (?)

πλ. συνά (?)

Deest. καὶ πᾶν πρῶτον πρόσωπον ἑνικῶν ἔχον ἐπὶ τέλους τὸ ν κλιτικὸν τὸ ο μικρὸν παραλῆγον τρέπει αὐτὸ εἰς ε ἐπὶ τοῦ τρίτου τῶν ἑνικῶν καὶ ἐπὶ τοῦ δευτέρου τῶν πληθυντικῶν / ἐφ' ὧν δὲ προσώπων τρέπει ἐν τοῖς ὁριστικοῖς τὸ ο μικρὸν εἰς ε ἐπὶ τούτων τρέπει ἐν τοῖς ὑποτακτικοῖς τὸ ω μέγα εἰς η

λήγουσι, εἰς ε τρέπουσιν αὐτὸ ἐπὶ τοῦ δευτέρου προσώπου· τὸ τρίτον τύπτουσιν. ὁ κανὼν τῶν ἐνεστώτων καὶ μελλόντων ὁμόφωνόν ἐστι τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν τῇ δοτικῇ τῶν πληθυντικῶν τῶν ἰδίων μετοχῶν. ὁ δὲ λόγος δηλαδὴ καὶ ἐπὶ τῶν εἰς μι. τὸ σιν. ι. τὰ εἰς ι. λήγοντα τρίτα πρόσωπα τῶν πληθυντικῶν διὰ τοῦ ι γράφονται.

*ut exempli gratia τυφθήσομαι &* — *εἰς μι* — *ὀξύνονται [?]*

## Παρατατικός.

*Regula*

Τύπτω καὶ ἡ μετοχὴ ὁ τύπτων τοῦ τύπτοντος. καὶ ὁ παρατατικὸς ἔτυπτον. ὁ κανὼν ἡ γενικὴ τῆς μετοχῆς τοῦ ἐνεστῶτος ἀποβάλλουσα τὴν ἐσχάτην συλλαβὴν καὶ τὴν ἄρχουσαν αὔξουσα χρονικῶς ἢ συλλαβικῶς τὸν παρατατικὸν ποιεῖ. πότε αὔξεται χρονικῶς καὶ πότε συλλαβικῶς. ὅτε μὲν ἀπὸ βραχέος φωνήεντος ἄρχεται τὸ θέμα, χρονικῶς αὔξεται· ὅτε δὲ ἀπὸ συμφώνου, συλλαβικῶς. τὸ ε ψιλόν. αἱ κατὰ τὰς ἀρχὰς τῶν παρῳχημένων προστιθέμεναι συλλαβαὶ βραχεῖαι θέλουσιν εἶναι ἐπὶ τῷ ε ψιλῷ. τὸ ε κατὰ τοὺς παρῳχημένους προερχόμενον καὶ ἀποπῖπτον ψιλοῦται. εἰ δὲ προέρχεται μέν, οὐκ ἀποπίπτει δὲ ὥσπερ ἐπὶ τοῦ παρακειμένου τῶν εἰς μι, ἐνίοτε συμβαίνει τὸ πνεῦμα τοῦ ἐνεστῶτος ἔχειν. οἷον ἵστημι στήσω ἕστακα. ποῦ προέρχεται καὶ ποῦ ἀποπίπτει. προέρχεται μὲν ἐν τοῖς ὁριστικοῖς ἐνεργητικοῖς καὶ παθητικοῖς. ἀποπίπτει δὲ ἐπὶ τῶν ἄλλων ἐγκλίσεων. τὸ ον μικρόν. πᾶν ῥῆμα εἰς ω λῆγον. καὶ ἄλλως ἐκ τῆς γενικῆς τοῦ τύπτοντος αἱ μετοχαὶ συστέλλουσι. τὸ δεύτερον ἔτυπτες. ὁ κανὼν τὰ εἰς ον ῥήματα τροπῇ τοῦ ον εἰς ες τὸ δεύτερον ποιεῖ. τὸ ες ψιλόν. πᾶς παρατατικὸς ὁριστικὸς ἐνεργητικὸς εἰς ν λήγων ἐν πρώτῳ προσώπῳ τὰ ἴσα φωνήεντα τηρεῖ ἐν τῷ δευτέρῳ καὶ τῷ τρίτῳ, ἔν τε τῇ ληγούσῃ καὶ τῇ παραληγούσῃ. τὸ τρίτον ἔτυπτεν. ὁ κανὼν. πᾶν δεύτερον πρόσωπον εἰς σ λῆγον τῶν δυϊκῶν τὸ πρῶτον οὐ ποιεῖ. τὸ δεύτερον ἐτύπτετον ἐκ τοῦ δευτέρου τῶν πληθυντικῶν. τὸ τρίτον ἐτυπτέτην. ὁ κανὼν ἐκ τοῦ ἰδίου δευτέρου γενόμενον, ἀμοιβῇ τοῦ ο εἰς η. ἔπειτα δὲ ἡ τὸ τρίτον τῶν πληθυντικῶν οὔτε εἰς ι λήγει οὐ

*De ε quando cadit & quando non.* — *ἔστακα* — *Regula singularis* — *in prima* — *τρέπει τροπὴ τῆς τε εἰς τον*



*qua si desinit in altera illarum terminationum tunc 2ª & 3ª persona est eadem*

τε εἰς ται. τῶν πληθυντικῶν τὸ πρῶτον ἐτύπτομεν. ὁ κανὼν. πᾶν πρῶτον πρόσωπον εἰς ν λῆγον μὴ ἔχον τὸ ν κλιτικόν, ἐκβολῇ τοῦ ν καὶ προσθέσει τῆς μεν τὸ πληθυντικὸν ποιεῖ. διὰ τί εἶπε μὴ ἔχον τὸ ν κλιτικόν. διὰ τὸ ἐτυπτόμην ἐλεγόμην καὶ τὰ ὅμοια ἅτινα οὐ προσθέσει τῆς μεν τὸ πληθυντικὸν ποιεῖ. τὸ ο μικρὸν ἐκ τοῦ πρώτου τῶν ἑνικῶν. πᾶν ῥῆμα εἰς ω λῆγον. τὸ δεύτερον ἐτύπτετε. τὸ τρίτον ἔτυπτον. ὁ κανὼν τῶν τεσσάρων παρῳχημένων παρατατικοῦ παρακειμένου ὑπερσυντελίκου καὶ ἀορίστου, ὅσοι μὲν ἔχουσι τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ μετὰ ὀξείας, οὗτοι ἰσοσύλλαβον τὸ τρίτον ἔχουσι τῷ πρώτῳ. ὅσοι δὲ αὐτῶν ~~οὐκ~~ ἔχουσι τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ μετὰ ὀξείας, ἐνδέον συλλαβῇ τὸ ~~τρίτον~~ ἔχουσι τοῦ τρίτου. καὶ λήγουσιν εἰς ἐκείνην τὴν συλλαβὴν ἥτις ἦν παραλήγουσα τῆς γενικῆς τῶν μετοχῶν.

*ὁ κανὼν τὰ εἰς μ... πληθ. τὸ πρῶτον τῶν ... δευ. ποιεῖ* — *Technicus ad uerbum οὐκ* — *πρῶτον* ~~Sed ... technico ...~~

## Παρακείμενος.

*R. form. praeter. pfe.*

Τύπτω ὁ μέλλων τύψω ὁ παρακείμενος τέτυφα. ὁ κανὼν. πᾶς παρακείμενος ἐνεργητικὸς εἰς α λήγει καὶ γίνεται α. εἰ δὲ ὁ μέλλων διὰ τοῦ ψ, ὁ παρακείμενος διὰ τοῦ φ καὶ γίνεται φα. παραλήγουσαν δὲ τὴν αὐτὴν ἔχει ὁ παρακείμενος τῷ μέλλοντι καὶ γίνεται τυφα. ἡ δὲ ἄρχουσα ἐκ τοῦ παρατατικοῦ γίνεται. κἂν ἀπὸ βραχείας ἄρχηται ὁ παρατατικός, ἀναδιπλασιάζεται ὁ παρακείμενος καὶ γίνεται τέτυφα. τὸ τε ψιλόν. πᾶς ἀναδιπλασιασμὸς διὰ βραχέος ἐκφέρεται. τί ἐστιν ἀναδιπλασιασμός; συλλαβῆς πρόσληψις κατὰ τὴν ἀρχὴν μετὰ τοῦ αὐτοῦ συμφώνου τῷ κατὰ τὴν ἐπαγομένην συλλαβήν. ἐνίοτε δὲ καὶ μετὰ τοῦ αὐτοῦ φωνήεντος. τὸ τυ ψιλόν. παραλήγουσαν δὲ τὴν αὐτὴν ἔχει ὁ παρακείμενος τῷ μέλλοντι. πλὴν τῶν τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων ἐφ' ὧν δηλαδὴ τὸ ε ἐστὶν ἢ μόνον ἢ μετὰ τοῦ ι καὶ τῶν αὐξανομένων. οἷον σπείρω σπερῶ ἔσπαρκα. φθείρω φθερῶ ἔφθαρκα. στέλλω στελῶ ἔσταλκα. αἴρω ἀρῶ ἦρκα. καὶ τῶν ἐχόντων ἐπὶ τοῦ μέλλοντος τὸ ε ἢ μόνον ἢ μετὰ τοῦ ι. τότε γὰρ εἰς ο αὐτὸ τρέπει ὁ μέσος παρακείμενος. οἷον φθερῶ ἔφθορα. πείσω πέποιθα. τὸ τυ μακρόν.

*Ἀναδιπλασιασμός* — *τοῦ* — *Intellige diffy. libo.*

*ut νέμω νενέμηκα & vel rectius intelligit verba quae augentur in penultima & ideo non potest esse eadem cum penultima futuri ut ipse subdit exemplum αἴρω ἀρῶ ἦρκα &c.*

*Hic legebatur prius πρώτου. & sic procul dubio legendum est. Nihilque in tota hac regula de formatione tertiae pluralis praeteriti imperfecti subtrahendum aut addendum lectioni impressae. Haec n. regula desumpta est ad uerbum a technico quam & urbanus agnoscit & praeceptis suis inseruit. Causa diuersitatis in orthographia fuit quod quidam dicitur aequalem habent in syllabis tertiam primae. accipiunt illud primae singularis nu. Quod non est sic accipiendum sed primae pluralis & sic urbanus accipit. & nihil ex impressa lectione erit mutandum.*

ἐστὶν ἢ βραχύ; μακρόν. τὰ εἰς πτω ῥήματα τῶν ψιλῶν παραληγόμενα ἐπὶ τοῦ ἐνεστῶτος θέσει μακρὸν αὐτὸ ἔχοντα ἐπὶ τοῦ παρακειμένου φύσει μακρὸν ἔχουσιν. οἷον κύπτω κέκυφα ὡς παρ' Ἀριστοφάνει· τί γὰρ οἶδε δρῶσιν οἱ σφόδρ' ἐγκεκυφότες; Τύπτω τέτυφα. τὸ φα βραχύ. πᾶς παρακείμενος εἰς α λήγων συνεσταλμένον ἔχει αὐτό. Τὸ δεύτερον τέτυφας. ὁ κανών. τὰ εἰς α λήγοντα πρῶτα πρόσωπα προσθέσει τοῦ σ τὸ δεύτερον ποιεῖ. Τὸ τρίτον τέτυφε. ὁ κανών. πᾶν δεύτερον πρόσωπον εἰς σ λῆγον ἀποβολῇ τοῦ σ τὸ τρίτον ποιεῖ. καὶ ὤφειλεν εἶναι τέτυφα. ἀλλ' ἐπεὶ οὐκ ἐνδέχεται κατὰ τὴν αὐτὴν διάλεκτον καὶ κατὰ τὸν αὐτὸν ἀριθμὸν ὁμοφωνεῖν τὸ τρίτον τῷ πρώτῳ, τροπὴ παρηκολούθησε τοῦ α εἰς ε. Τῶν δυικῶν τὸ πρῶτον οὐ ποιεῖ. Τὸ δεύτερον τετύφατον. τὸ τρίτον τετύφατον. Τῶν πληθυντικῶν τὸ πρῶτον τετύφαμεν. τὰ εἰς α ἑνικὰ πρῶτα πρόσωπα προσθέσει τῆς μεν τὸ πληθυντικὸν ποιεῖ. τὸ τρίτον τετύφασιν. ὁ κανών. εἰς σι λήγει κατὰ τὸ τρίτον τῶν πληθυντικῶν μιμούμενος τὸν ἐνεστῶτα ὁ παρακείμενος. καὶ αὐτὸς γὰρ παρὰ πολλοῖς ἐνεστὼς συντελικὸς ὀνομάζεται. Τὸ φα μακρὸν ἐστὶν ἢ βραχύ; μακρόν. τὰ εἰς σι λήγοντα ῥήματα ὁριστικὰ εὐκτικὰ (?) καὶ ὑποτακτικὰ μακρὰ παραλήγονται.

*Regula singularis quantitatis.* — *Aristophanes* — *R^a quantitatis.* — *ὁ κανὼν* — *τὸ δεύτερον τέτυφατε* — *N. De paracim[eno] quod uocatur à multis ἐνεστὼς συντελικός*

## Μέσος παρακείμενος.

Τύπτω ὁ μέλλων τύψω ὁ παρακείμενος τέτυφα ὁ μέσος τέτυπα. ὁ κανών. ὁ μέσος παρακείμενος τὴν μὲν ἄρχουσαν τὴν αὐτὴν ἔχει τῷ ἐνεργητικῷ παρακειμένῳ καὶ εἰς α λήγει. πρὸ δὲ τοῦ α τὸ σύμφωνον ἔχει τοῦ ἐνεστῶτος. ἂν δὲ δύο σύμφωνα ᾖ, τὸ ἓν ἔχει τὸ χαρακτηρικὸν μᾶλλον τῆς συζυγίας. Καὶ ποῖόν ἐστιν ἐν ταῦθα τὸ χαρακτηριστικὸν μᾶλλον τῆς συζυγίας; τὸ π. τοῦτο γὰρ ἀναγκάζει διὰ τοῦ ψ τὸν μέλλοντα εἶναι. ἀφ' οὗ αἱ συζυγίαι διακρίνονται.

*Characteristicό* — *A futuro distinguuntur coniugationes* — *s. mellontos*

## Ὑπερσυντέλικος.

Τύπτω ὁ μέλλων τύψω ὁ παρακείμενος τέτυφα ὁ ὑπερσυντέλικος ἐτετύφειν. ὁ κανών. πᾶς παρακείμενος ἐνεργητικὸς τρέπων τὸ α εἰς ει δίφθογγον ὑπερσυντέλικον ποιεῖ. καὶ προσλαμβάνων κατὰ τὴν ἀρχὴν τὸ ε εἰ ἀπὸ συμφώ-

*R^a formatio.*



νου ἄρχεται τὸ θέμα, εἰ δὲ ἀπὸ φωνήεντος, οὐδὲ εἰ προσθήκης. Τὸ φει δίφθογγον. οἱ εἰς ην παρῳχημένοι ἅπαντες διὰ τοῦ η γράφονται, πλὴν τοῦ ἐνεργητικοῦ ὑπερσυντελίκου καὶ τοῦ μέσου. τὸ δεύτερον ἐτετύφεις. ὁ κανών. πᾶν ῥῆμα εἰς ν λῆγον πλὴν τῶν εἰς μι τροπῇ τοῦ ν εἰς σ τὸ δεύτερον ποιεῖ. τὸ τρίτον ἐτετύφει. τῶν δυικῶν τὸ πρῶτον οὐ ποιεῖ. τὸ δεύτερον ἐτετύφειτον. τὸ τρίτον ἐτετυφείτην. τῶν πληθυντικῶν τὸ πρῶτον ἐτετύφειμεν. ὁ κανών. πᾶν πρῶτον πρόσωπον εἰς ν λῆγον μὴ ἔχον τὸ ν κλιτικὸν ἐκβολῇ τοῦ ν καὶ προσθέσει τῆς μεν τὸ πληθυντικὸν ποιεῖ. τὸ τρίτον ἐτετύφεισαν. ὁ κανών. τὰ εἰς μεν πληθυντικὰ ἀπὸ τῶν εἰς ν φύσει μακροκαταλήκτων κεκλιμένα εἰς σαν ποιεῖ τὸ τρίτον.

*R^a formatio* — *Regula* — *Regula* — *τὸ δεύτερον ἐτετύφειτε ut supra τύπτετε*

## Μέσος ὑπερσυντέλικος.

Τύπτω ὁ μέλλων τύψω ὁ παρακείμενος τέτυφα ὁ μέσος τέτυπα ὁ ὑπερσυντέλικος ἐτετύπειν. ὁ κανών. ὥσπερ ὁ ἐνεργητικὸς παρακείμενος ἐποίει τὸν ὑπερσυντέλικον, οὕτω καὶ ὁ μέσος παρακείμενος τὸν μέσον ὑπερσυντέλικον ποιεῖ.

*Regula*

## Ἀόριστος πρῶτος.

Τύπτω ὁ μέλλων τύψω ὁ ἀόριστος ἔτυψα. ὁ κανών. πᾶς μέλλων ἐνεργητικὸς ἀμείβων τὸ τελευταῖον ω εἰς α καὶ τὴν ἄρχουσαν ἐκτείνων χρονικῶς ἢ συλλαβικῶς ἀόριστος γίνεται. κόψω ἔκοψα. ἀγοράσω ἠγόρασα. σεσημείωται τὸ εἶπα καὶ ἤνεγκα ἐν τοῖς εἰς ω καὶ ἔθηκα ἔδωκα ἧκα ἐν τοῖς εἰς μι. ἃ καὶ τὸ χαρακτηριστικὸν τοῦ μέλλοντος ἐνήλλαξαν σύμφωνον. ἐν πᾶσι τοῖς ἄλλοις ἐπὶ τοῦ ἀορίστου φυλαττόμενον. Τὸ τυ μακρόν. καθόλου ὁ πρῶτος ἀόριστος κἂν τε φύσει κἂν τε θέσει μακρὰ παραλήγεται. Τὸ ψα μακρὸν ἐστὶν ἢ βραχύ; βραχύ. Τὸ ὀφειλόμενον α τῷ ἀορίστῳ βραχύ ἐστι καὶ ἄλλως. πᾶσα λέξις προπαροξυνομένη ἔχουσα ἐπὶ τέλους δίχρονον συνεσταλμένον αὐτὸ ἔχει.

*R^a formatio.* — *εἶπα, ἤνεγκα, ἔθηκα, ἔδωκα, ἧκα* — *Aori. a. sine natura seu positione semper habere pen[ul]t[imam] lo[ngam]*

## Ἀόριστος δεύτερος.

Τύπτω ὁ μέλλων τύψω ὁ ἀόριστος ἔτυψα ὁ δεύτερος ἔτυπον. ὁ κανών. πᾶς δεύτερος ἀόριστος ἀπὸ τῶν εἰς ω βα-

*Form. aor. β*

ρυτόνων κεκλιμένος συνάρχεται μὲν τῷ πρώτῳ ἀορίστῳ εἰς ον δὲ λήγει. καὶ πρὸ τῆς ον ἔχει τὸ σύμφωνον τοῦ μέσου παρακειμένου. τὸ τυ μακρόν ἐστιν ἢ βραχύ. βραχὺ ἔτι δὲ καὶ ἀπὸ μὲν βαρυτόνων θεμάτων. *Supra hec regula dicta est in λαχης*

μέλλων πρῶτος.

*Futuri α formatio.* *θρέφω ἕξω*

Τύπτω ὁ μέλλων τύψω. ὁ κανών· πᾶς μέλλων ἐνεργητικὸς εἰς ω λήγει· καὶ συνάρχεται τῷ ἐνεστῶτι. πλὴν τοῦ τρέφω θρέψω. καὶ ἔχω ἕξω. ὅπερ ἐν μὲν τῷ ἐνεστῶτι ψιλοῦται. ἐν δὲ τῷ μέλλοντι δασύνεται. ἵνα μὴ συνεμπέσῃ τῷ ἔξω ἐπιρρήματι. πόθεν ἔχει τὸ ψ. ἰστέον ὅτι ὁ μὲν μέλλων ἐν τοῖς ῥήμασιν ἀναλογεῖ ταῖς εὐθείαις τῶν ὀνομάτων. ὁ δὲ ἐνεστὼς ταῖς γενικαῖς. ὅθεν τῶν εἰς ψ ληγόντων ὀνομάτων ἢ διὰ τοῦ β κλινομένων· οἷον λίψ λιβός. ἢ διὰ τοῦ π· οἷον ἴψ ἰπός. ἢ διὰ τοῦ φ· οἷον κίνυψ κίνυφος. τὰ διὰ τοῦ β ἐνταῦθα ἐπὶ τοῦ ἐνεστῶτος ἐκφερόμενα ἢ διὰ τοῦ π ἢ διὰ τοῦ φ ἐπὶ τοῦ μέλλοντος ἐξ ἀνάγκης τὸ ψ ἔχουσι. καὶ ἐπὶ τῶν ἄλλων συζυγιῶν ἡ αὐτὴ ἀκολουθία. τὸ τυ μακρόν ἐστιν ἢ βραχύ. μακρὸν ~~θέσει~~ τὸ ψ τὸ διπλοῦν ἐκτείνει αὐτό. ἰστέον δὲ ὅτι πᾶς μέλλων βαρύτονος ἢ τὴν ἴσην παραλήγουσαν θέλει ἔχειν τῷ ἐνεστῶτι. ἢ μείζονα. οὐδέποτε δὲ ἐλάττονα. βαρύτονος φέρεται διὰ τοὺς τῆς πέμπτης συζυγίας. οἳ δὴ βραχείᾳ παραλήγονται.

*Traditio singularis & notanda.*

*De quantitate penultimae futurorum barytonorum.*

ὁριστικὰ παθητικὰ ἐνεστῶτος.

Τύπτω καὶ τὸ παθητικὸν τύπτομαι. ὁ κανών· πᾶς ἐνεστὼς ὁριστικὸς βαρύτονος εἰς ω λήγων ἀμοιβῇ τοῦ ω εἰς ο καὶ προσθέσει τῆς μαι παθητικὸς γίνεται. ἰστέον δὲ ὅτι πᾶν παθητικὸν ἢ μέσον ἔχον ἐπὶ τέλους τὸ μ κλιτικόν, ~~τρέπον τὴν ἐσχάτην εἰς μενος τὴν μετοχὴν ποιεῖ~~. τὸ το μικρόν. πᾶν ῥῆμα εἰς μαι λῆγον ἀπαθὲς ἐπὶ τῶν εἰς ω. εἰ πρὸ τοῦ μ τὸ ο ἔχει· μικρὸν αὐτὸ θέλει ἔχειν πλὴν τῶν ὑποτακτικῶν. τὸ μαι δίφθογγον. τὰ εἰς μαι καὶ εἰς ται πρῶτα καὶ τρίτα πρόσωπα τῶν ἑνικῶν καὶ τρίτα τῶν πληθυντικῶν διὰ τῆς αι διφθόγγου γράφονται. τὸ δεύτερον τύπτῃ. ὁ κανών· ἐκ τοῦ τρίτου γέγονεν ἐνδείᾳ τοῦ τ καὶ κράσει τοῦ ε καὶ αι εἰς

*ἡ τὴν παραλήγουσαν θέλει φυλάττειν τοῖς ἰδίοις ὁριστικοῖς πρώτοις προσώποις τῶν πληθυντικῶν*

*Notandum hic maxime omitti futurum secundum a Moschopulo, quia eius opinio est verba activa & media non habere futurum secundum in indicativis. Ex quo colligitur nec haberi etiam in aliis modis, quia alii modi formantur ab indicativo. & sic Moschopulus numquam posuit in indicativis, optativis, infinitivis & participiis activorum & mediorum futurum secundum. Lege caput sequens de aoristo 2 infinitivi.*



ημένοντος καὶ τοῦ ι προσγεγραμμένου. καὶ ἄλλως. πᾶν ῥῆμα εἰς μαι λῆγον ἔχει τὸ δεύτερον εἰς η λῆγον μετὰ τοῦ ἀνεκφωνήτου ι. πλὴν τοῦ ὄψομαι ὄψει. βούλομαι βούλει. οἴομαι οἴει. ὧν τὸ μὲν βούλει καὶ οἴει ὑποτάσσονται. τὸ δὲ ὄψει οὐχ ὑποτάσσεται. τὸ τρίτον τύπτεται. ὁ κανών· τὰ εἰς μαι τροπῇ τῆς μαι εἰς ται καὶ εἰ τὸ ο μικρὸν ἐπὶ τῆς παραληγούσης ἔχει τρέποντα αὐτὸ εἰς ε τὸ τρίτον ποιεῖ. τῶν δυϊκῶν τὸ πρῶτον τυπτόμεθον. ὁ κανών· ἐκ τοῦ πρώτου τῶν πληθυντικῶν γίνεται. τροπῇ τῆς θα εἰς θον. τὸ με ψιλόν. τὰ εἰς μεθον καὶ εἰς μεθα πρῶτα πρόσωπα τῶν δυϊκῶν καὶ πρῶτα τῶν πληθυντικῶν διὰ τοῦ ε ψιλοῦ γράφονται. τὸ δεύτερον τύπτεσθον, τὸ τρίτον τύπτεσθον. τῶν πληθυντικῶν τὸ πρῶτον τυπτόμεθα. ὁ κανών· πᾶν πρῶτον πρόσωπον ἔχον τὸ μ κλιτικὸν μετὰ μακρᾶς, τροπῇ τῆς ἐσχάτης εἰς μεθα τὸ πληθυντικὸν ποιεῖ. τὸ δεύτερον τύπτεσθε. ὁ κανών· πᾶν τρίτον ἑνικὸν ἔχον τὸ τ κλιτικὸν τροπῇ τῆς τελευταίας συλλαβῆς εἰς θε· δεύτερον τῶν πληθυντικῶν ποιεῖ· καὶ εἰ καθαρεύει τὸ τ καὶ σ προσλαμβάνει. τὸ σθε ε ψιλόν. τὰ εἰς μεθα καὶ εἰς σθε· πρῶτα καὶ δεύτερα πρόσωπα τῶν πληθυντικῶν διὰ τοῦ ε ψιλοῦ γράφονται. τὸ τρίτον τύπτονται. ὁ κανών· πᾶν τρίτον ἑνικὸν ἔχον τὸ τ κλιτικὸν εἰ καθαρεύει τὸ τ πρὸ αὐτοῦ δεχόμενον τὸ ν καὶ τὴν παραλήγουσαν φυλάττον τοῦ πρώτου προσώπου τῶν ἑνικῶν τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ποιεῖ.

*ὄψει βούλει οἴει*

παρατατικός.

Τύπτω καὶ τὸ παθητικὸν τύπτομαι καὶ ὁ παρατατικὸς ἐτυπτόμην. ὁ κανών· πᾶς ἐνεστὼς παθητικὸς τρέπων τὴν μαι εἰς μην καὶ τὴν ἄρχουσαν αὔξων χρονικῶς ἢ συλλαβικῶς τὸν παρατατικὸν ποιεῖ. τὸ μην η. πᾶν ῥῆμα εἰς μι λῆγον διὰ τοῦ ι γράφεται· εἰ δὲ εἰς μην διὰ τοῦ η. καὶ ἄλλως· οἱ εἰς ην παρῳχημένοι. τὸ δεύτερον ἐτύπτου. ὁ κανών· ἐκ τοῦ τρίτου γέγονεν ἐνδείᾳ τοῦ τ καὶ κράσει τοῦ ε καὶ ο εἰς τὴν ου δίφθογγον. τὸ τρίτον ἐτύπτετο. ὁ κανών· τὰ εἰς μην τροπῇ τῆς μην εἰς το· τὸ τρίτον ποιεῖ. τὸ το μικρόν. τὰ εἰς το ἀπὸ τῶν εἰς μην γινόμενα ἅπαντα διὰ τοῦ ο μικροῦ

*ἅπαντες*

*De penultima φ mutenir ο in ε* *quod deerat & additum est ex codice manu scripto.*

γράφονται.

## Παρακείμενος.

Τύπτω ὁ μέλλων τύψω ὁ παρακείμενος τέτυφα ὁ παθητικὸς τέτυμμαι. ὁ κανών. ὁ παθητικὸς παρακείμενος ἐκ τοῦ ἐνεργητικοῦ γίνεται τροπῇ τοῦ τέλους εἰς μαι. καὶ εἰ μὲν εἰς φα λήγει ὁ ἐνεργητικὸς καὶ ἕτερον μ προσλαμβάνει ὁ παθητικός. εἰ δὲ εἰς κα. ὅτε μὲν ὁ ἐνεστὼς αὐτοῦ πρὸ τοῦ ω σύμφωνον οὐκ ἔχει ὡς ἐπὶ τὸ πλεῖστον οὐδὲν προσλαμβάνει. οἷον πεφώρακα πεφώραμαι πεποίηκα πεποίημαι τετόξευκα τετόξευμαι. ὡς ἐπὶ τὸ πλεῖστον εἴρηται διὰ τὸ ἤκουσμαι εἵλκυσμαι καὶ ἕτερα. ὅτε δὲ σύμφωνον ὁ ἐνεστὼς ἔχει. εἰ μὲν μὴ ἀμετάβολον εἴη ἀλλὰ τὸ σ προσλαμβάνει. οἷον λελάκτικα λελάκτισμαι. σώζω ἔσωκα ἔσωσμαι. εἰ δὲ ἀμετάβολον εἰ μὲν τὸ ρ. τοῦτο φυλάττει καὶ ὁ παθητικὸς παρακείμενος πρὸ τοῦ μ. σπείρω ἔσπαρκα ἔσπαρμαι καὶ ἐπὶ τοῦ λ ὁμοίως. οἷον ψάλλω ἔψαλκα ἔψαλμαι. εἰ δὲ τὸ ν ἔχει ὁ ἐνεστὼς ἔχει δὲ καὶ οὗτος αὐτὸ δηλονότι ὁ ἐνεργητικὸς παρακείμενος τετραμμένον γενὴν εἰς τὸ γ διὰ τὸ κ. καὶ ὁ παθητικὸς παρακείμενος ἔχει αὐτὸ τετραμμένον εἰς μ διὰ τὸ μ. οἷον ῥαίνω ἔρραγκα ἔρραμμαι. μιαίνω μεμίαγκα μεμίαμμαι. τὸ γὰρ μεμίασμαι ἑτερόκλιτόν ἐστιν ἀπὸ τοῦ μίασμα καὶ μιάστωρ. εἰ δὲ ὁ μὲν ἐνεστὼς ἔχει αὐτό, ὁ δὲ παρακείμενος οὐκ ἔχει ὁ ἐνεργητικός, οὐδὲ ὁ παθητικὸς ἕξει. οἷον κρίνω κέκρικα κέκριμαι. εἰ δὲ εἰς χα λήγει ὁ ἐνεργητικὸς παρακείμενος ἀεὶ ὁ παθητικὸς τὸ γ ἔχει. οἷον πέπλεχα πέπλεγμαι ἧγμαι ἀφῖγμαι. τὸ δεύτερον τέτυψαι. ὁ κανὼν ἐκ τοῦ τρίτου γίνεται τροπῇ τοῦ τ εἰς σ. καὶ κράσει τοῦ π καὶ σ εἰς ψ. τὸ γὰρ ψ ἐκ τοῦ π καὶ σ συγκεῖται. τὸ τρίτον τέτυπται. ὁ κανών. τὰ εἰς μαι τροπῇ τῆς μαι εἰς ται καὶ ὤφειλεν εἶναι τέτυμται. ἀλλ' ἐπεὶ τὰ ἀμετάβολα τῶν ἀφώνων οὐδέποτε προηγεῖται μεταβέβληται τὸ μ εἰς τὸ χαρακτηριστικὸν τῆς συζυγίας π. ἵνα ψιλοῦ ψιλὸν προηγήσηται τοῦ τ. τῶν δυϊκῶν τὸ πρῶτον τετύμμεθον. τὸ δεύτερον τέτυφθον. τὸ τρίτον τέτυφθον. τῶν πληθυντικῶν τὸ πρῶτον τετύμμεθα. τὸ δεύτερον τέτυφθε.

Præ. pfe. form.

λακτίζω calcit°

μεμίασμαι

ἡ πρὸ τοῦ μ γράφεις δύο [illegible] ... ἐνεργητικὸς ... προσλαμβάνει ὁ παθητικός.

Immutabiles nunquam ante mutas inter ... συλλαβ...

ἀμετάβολα τῶν ἀφώνων οὐδέποτε προηγεῖται



regula ...

πᾶν τρίτον ἑνικόν. τρέπεται δὲ ἐνταῦθα καὶ τὸ π εἰς τὸ ἀντιστοιχοῦν αὐτῷ φ ἵνα δασὺ δασέος προηγήσηται. τὸ τρίτον οὐ ποιεῖ. διότι ἠναγκάζετο τὸ τρίτον τῶν ἑνικῶν πρὸ τοῦ τ τὸ μ προσλαβεῖν ἵνα τοῦτο ποιήσῃ. ἔχει δὲ καὶ τὸ π. ἀδύνατον δὲ τὸ π. μ. τ. ἐπὶ συλλαβῆς συνδραμεῖν. διὰ μὲν οὖν μετοχῆς καὶ ὑπαρκτικοῦ ῥήματος αὐτὸ ἡ χρῆσις ἀναπληροῖ. καὶ πῶς ἀναπληροῖ. τετυμμένοι εἰσί. καὶ καθόλου δὲ πᾶν ῥῆμα εἰς ἰδίαν μετοχὴν καὶ ῥῆμα ὑπαρκτικὸν δύναται διαλύεσθαι. οἷον λέγω καὶ λέγων εἰμί. τρέχω καὶ τρέχων εἰμί. τετυμμένοι ποίας πτώσεως. εὐθείας τῶν πληθυντικῶν. ἡ εὐθεῖα τῶν ἑνικῶν ὁ τετυμμένος. κανὼν ὁρισμόν. τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ παθητικὸς τέτυμμαι. ἡ μετοχὴ ὁ τετυμμένος. ὁ κανὼν πᾶν παθητικὸν ἢ μέσον ἔχον ἐπὶ τέλους τὸ μ κλιτικὸν τρέπον τὴν ἐσχάτην εἰς μενος τὴν μετοχὴν ποιεῖ. τὸ με ψιλόν. αἱ εἰς μενος μετοχαὶ προπαροξύνονται καὶ διὰ τοῦ ε ψιλοῦ γράφονται πλὴν τοῦ παθητικοῦ παρακειμένου. ὁ τετυμμένος πῶς κλίνεται τοῦ τετυμμένου ὡς ὁ πλόος τοῦ πλόου. εἰσί. κανὼν ὁρισμόν εἰμί τὸ ὑπάρχω ὃ γίνεται ἀπὸ τοῦ ἔω ἐμὶ καὶ πλεονασμῷ τοῦ ι εἰμί. τὸ δεύτερον κοινῶς μὲν εἶς καὶ ἀποβολῇ τοῦ σ εἶ ποιητικῶς δὲ ἐσσί. τὸ τρίτον ἐστί. τῶν δυϊκῶν τὸ πρῶτον οὐ ποιεῖ. τὸ δεύτερον ἐστόν. τὸ τρίτον ἐστόν. τῶν πληθυντικῶν τὸ πρῶτον ἐσμὲν κοινῶς. καὶ εἰμὲν ποιητικῶς. τὸ δεύτερον ἐστέ. τὸ τρίτον κοινῶς μὲν εἰσί. ποιητικῶς δὲ ἔασι. τὸ εἰ δίφθογγον ἀπὸ τοῦ ἔω κατὰ πλεονασμὸν τοῦ ι. ἐπὶ τῷ εἶναι ψιλήν. τὰ ὑπαρκτικὰ ῥήματα ψιλοῦται. τὸ σι ι. τὰ εἰς σι λήγοντα τρίτα πρόσωπα τῶν πληθυντικῶν διὰ τοῦ ι γράφονται. τὸ τρίτον τῶν πληθυντικῶν ἰωνικῶς τετύφαται. ὁ κανὼν πᾶν τρίτον ἑνικῶν ἔχον πρὸ τοῦ τ ψιλὸν τροπῇ τοῦ ψιλοῦ εἰς τὸ ἀντιστοιχοῦν αὐτῷ δασὺ. καὶ προσθέσει τοῦ α ποιεῖ τὸ τρίτον τῶν πληθυντικῶν ἰωνικῶς. ὃ καὶ παρὰ τοῖς ἀττικοῖς ἐπεκράτησε. τὸ φα μακρόν ἐστιν ἢ βραχύ. βραχύ. καθόλου τὸ προστιθέμενον ἰωνικῶς ἐν τῷ τρίτῳ προσώπῳ τῶν πληθυντικῶν τοῦ παθητικοῦ παρακειμένου καὶ ὑπὲρ

τετυμμένοι εἰσί

Regula Singularis

Participij formatio

ἔω ἐμί ἠμί

ἐσμέν ἐστί

Ra. orthogra

τετύφαται

Ra quantita

cf κοινῶς

συντελικοῦ διχρόνου συστέλλεται.

ὑπερσυντέλικος.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ παθητικὸς τέτυμμαι. ὁ ὑπερσυντέλικος ἐτετύμμην. ὁ κανὼν. πᾶς παθητικὸς παρακείμενος τρέπων τὴν μαι εἰς μην καὶ προσλαμβάνων κατ' ἀρχὴν τὸ ε, εἰ ἀπὸ συμφώνου ἄρχεται τὸ θέμα, ὑπερσυντέλικον ποιεῖ. εἰ δὲ ἀπὸ φωνήεντος, οὐ δεῖ προσθήκης. τὸ δεύτερον ἐτέτυψο. ὁ κανὼν ἐκ τοῦ τρίτου γεγονεν· τὸ ψο μικρόν. τὰ εἰς το ἀπὸ τῶν εἰς μην. τὸ τρίτον ἐτέτυπτο. τὰ δυϊκὰ ἐτετύμμεθον ἐτέτυφθον ἐτετύφθην. τῶν πληθυντικῶν τὸ πρῶτον ἐτετύμμεθα. τὸ δεύτερον ἐτέτυφθε. τὸ τρίτον οὐ ποιεῖ διὰ τὴν εἰρημένην αἰτίαν ἐν τῷ παρακειμένῳ. ἀναπληροῖ δὲ καὶ τοῦτο διὰ μετοχῆς καὶ ὑπαρκτικοῦ ῥήματος. καὶ πῶς ἀναπληροῖ τετυμμένοι ἦσαν. διὰ τί ἐν μὲν τῷ παρακειμένῳ τετυμμένοι εἰσίν. ἐν δὲ τῷ ὑπερσυντελικῷ τετυμμένοι ἦσαν. κοινὴ μὲν ἀμφοῖν τοῖν χρόνοιν ἡ μετοχή. ἀλλ' οὐχὶ τὸ ῥῆμα. παρακειμένῳ μὲν οὖν οἰκεῖος ἐστιν ὁ εἰσὶν ἐνεστώς. ὑπερσυντελικῷ δὲ ὁ ἦσαν παρῳχημένος. ἦσαν κανόνισον. εἰμὶ τὸ ὑπάρχω. καὶ ὁ παρατατικὸς ἦν ἀττικῶς διὰ τοῦ η. τὸ δεύτερον ἦς. τὸ τρίτον ἦν ἑτεροκλίτως ἀπὸ τοῦ ἔω ἧον ἧες ἧεν. καὶ κατὰ συγκοπὴν ἦν. τῶν δυϊκῶν τὸ πρῶτον οὐ ποιεῖ. τὸ δεύτερον ἦτον. τὸ τρίτον ἤτην. τῶν πληθυντικῶν τὸ πρῶτον ἦμεν. τὸ δεύτερον ἦτε. τὸ τρίτον ἦσαν. τὸ ἰωνικὸν ἐτετύφατο, παρὰ τὸ τρίτον ἑνικόν.

ἀόριστος πρῶτος.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ παθητικὸς τέτυμμαι. ὁ ἀόριστος ἐτύφθην. ὁ κανὼν πᾶς παθητικὸς παρακείμενος τὴν τελευταίαν τρέπων εἰς θην καὶ τὸ σύμφωνον κατ' ἀρχὰς ἔχει ἀποβαλὼν αὐτὸ παθητικὸν πρῶτον ἀόριστον ποιεῖ. εἰ μέντοι ἔχει ὁ παθητικὸς παρακείμενος πρὸ τῆς μαι τὸ σ τοῦτο φυλάττει καὶ ἐπὶ τοῦ παθητικοῦ ἀορίστου. εἰ δὲ τὸ γ τρέπει αὐτὸ εἰς τὸ δασὺ σύμφωνον τοῦ ἐνεργητικοῦ παρακειμένου. οἷον λέλεγμαι ἐλέχθην. εἰ δὲ τὸ μ. εἰ μὲν θεματικὸν αὐτὸ ἔχει τετραμμένον



ἀπὸ τοῦ μ εἰς τὸ μ πάλιν αὐτὸ τρέπει. οἷον μεμίαμμαι ἐμιάνθην. εἰ δὲ κλιτικὸν εἰς τὸ τοῦ ἐνεργητικοῦ παρακειμένου δασύ. οἷον τέτυμμαι ἐτύφθην. εἰ δὲ τὸ ρ ἢ τὸ λ ταῦτα πάλιν ἔχει καὶ ὁ ἀόριστος ἔσπαρμαι ἐσπάρθην. ἔψαλμαι ἐψάλθην. εἰ δὲ οὐδὲν ἔχει ὁ παθητικὸς παρακείμενος οὐδὲ ὁ παθητικὸς ἀόριστος ἔχει. οἷον κέκριμαι ἐκρίθην.

ἀόριστος δεύτερος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ δεύτερος ἔτυπον. ὁ παθητικὸς ἐτύπην. ὁ κανὼν. ὁ εἰς ον δεύτερος ἀόριστος ἐνεργητικὸς τρέπων τὸ ον εἰς ην παθητικὸς δεύτερος ἀόριστος γίνεται.

μέσος ἀόριστος πρῶτος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ μέσος ἐτυψάμην. ὁ κανὼν. οἱ μέσοι ἀόριστοι ἀπὸ τῶν ἐνεργητικῶν γίνονται προσθέσει τῆς μην. ὁ πρῶτος ἀπὸ τοῦ πρώτου. καὶ ὁ δεύτερος ἀπὸ τοῦ δευτέρου. τὸ δεύτερον ἐτύψω. ὁ κανὼν ἐκ τοῦ τρίτου γέγονεν ἐνδείᾳ τοῦ τ καὶ κράσει τοῦ α ο εἰς ω μέγα. πότε γίνεται τὸ δεύτερον εἰς ω καὶ πότε εἰς ου. ὅτε μὲν ἐστὶ τὸ τρίτον διὰ τοῦ ατο. τότε τὸ δεύτερον εἰς ω. ὅτε δὲ διὰ τοῦ ετο εἰς ου.

μέσος ἀόριστος δεύτερος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ δεύτερος ἔτυπον. ὁ μέσος ἐτυπόμην. ὁ κανὼν οἱ μέσοι ἀόριστοι.

μέλλων πρῶτος.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ παθητικὸς τέτυμμαι. ὁ ἀόριστος ἐτύφθην ἐτύφθης ἐτύφθη. καὶ ὁ μέλλων πρῶτος τυφθήσομαι. ὁ κανὼν. πᾶς παθητικὸς ἀόριστος κατὰ τὸ τρίτον ἑαυτοῦ πρόσωπον προσλαβὼν τὴν σομαι καὶ τὴν ἐν ἀρχαῖς κλητικὴν ἔκτασιν ἀποβαλὼν παθητικὸν μέλλοντα ποιεῖ. τὸ φθην ἢ οἷς ἦν παρῳχημένοις.

μέλλων δεύτερος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ δεύτερος ἔτυπον. ὁ παθητικὸς ἐτύπην ἐτύπης ἐτύπη. καὶ ὁ μέλλων δεύτερος τυπήσομαι. ὁ κανὼν πᾶς παθητικὸς ἀόριστος.

Μέσος μέλλων.

Τύπτω ὁ μέλλων τύψω· καὶ ὁ μέσος μέλλων τύψομαι. ὁ κανὼν πᾶς μέλλων ἐνεργητικὸς εἰς ω λήγων προσλαβὼν τὴν μαι καὶ τρέπων τὸ ω ἐὰν μὲν βαρύνοιτο εἰς ο μικρόν. ἐὰν δὲ περισπῶτο εἰς τὴν ου δίφθογγον μέσος μέλλων γίνεται. *ut βαδιῶ βαδιοῦμαι &c.*

Μετ' ὀλίγον μέλλων.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ παθητικὸς τέτυμμαι. τὸ δεύτερον τέτυψαι. καὶ ὁ μετ' ὀλίγον μέλλων τετύψομαι. ὁ κανὼν πᾶς παθητικὸς παρακείμενος κατὰ τὸ δεύτερον ἑαυτοῦ πρόσωπον πρὸ τῆς αι δεχόμενος τὸ ο μ μετ' ὀλίγον μέλλοντα ποιεῖ.

Ἀπαρέμφατα ἐνεστῶτος.

*ἡ ἐνεργητικά*

Τύπτω τὸ δεύτερον τύπτεις. τὸ τρίτον τύπτει. καὶ τὸ ἀπαρέμφατον τύπτειν. ὁ κανών. οἱ ὁριστικοὶ ἐνεργητικοὶ ἐνεστῶτες πάντες πλὴν τῶν εἰς μι κατὰ τὸ τρίτον ἑαυτῶν πρόσωπον τὸ ν προσλαμβάνοντες τὸ ἀπαρέμφατον ποιοῦσιν. ἐπὶ δὲ τῆς τρίτης συζυγίας τῶν περισπωμένων καὶ τὴν συναλοιφὴν ἄλλως ποιοῦσιν. ἐπὶ μὲν γὰρ ἑαυτῶν ἀεὶ τὴν συναίρεσιν εἰς τὴν οι δίφθογγον ποιοῦσιν. ἐπὶ δὲ τῶν ἀπαρεμφάτων εἰς ου. *(Ἀπαρέμφατα - unde)* Διὰ τί λέγονται ἀπαρέμφατα; διὰ τὸ μὴ παρεμφαίνειν ἤγουν δηλοῦν μήτε πρόσωπα μήτε ἀριθμοὺς μήτε βούλημα ψυχῆς. Τύπτειν ποίας ἐγκλίσεως; οὐκ ἔχει. τὰ ἀπαρέμφατα δίχα *(sine)* προσώπων εἰσὶ καὶ ἐγκλίσεων. ποίου ἀριθμοῦ; οὐκ ἔχει. προσώπων μὴ ὄντων οὐδὲ ἀριθμὸς δύναται εἶναι. ἰστέον ὅτι τὰ ἀπαρέμφατα ὕλη *(.i. materia)* τῶν ῥημάτων εἰσίν. ὅθεν αἱ ἐγκλίσεις εἰς αὐτὰ ἀναλύονται διὰ τοῦ δηλωτικοῦ τῆς δυνάμεως αὐτῶν ῥήματος. οἷον τὸ τύπτεις δύναμαι διαλύσας εἰπεῖν ὁρίζομαί σε τύπτειν. καὶ τὸ τύπτε προστάσσω σε τύπτειν. καὶ τὸ τύπτοιμι εὔχομαι τύπτειν. ταῦτα δὲ καὶ ὀνόματα λέγουσι τῶν ῥημάτων. διὸ καὶ ἄρθρα ἔχουσιν ἐνίοτε συναπτόμενα. οἷον τὸ ἀναγινώσκειν ὠφέλιμον. Πόσα τελικὰ τῶν ἀπαρεμφάτων; δύο. τὸ ν ἐκ τῶν συμφώνων. καὶ ἡ αι δίφθογγος ἐκ τῶν φωνηέντων. Τὸ πτειν δίφθογγον πᾶν ἀπαρέμφατον δίφθογγον ἔχει κατὰ τὴν τελευταίαν πλὴν τοῦ ζῆν. τὸ γὰρ πεινῆν διψῆν ὁρῆν καὶ τὰ ἄλλα πάντα τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ἀκοινῶς μὲν διὰ τοῦ α γράφονται, οἱ δὲ ἴωνες εἰς η αὐτὰ τρέπουσιν. ἐπεὶ τὸ ι ἔχουσι προσγεγραμμένον διὰ διφθόγγου τὴν λήγουσαν ἔχουσιν.

*De infinitiuorum natura pulchra*

*Infinitiui nomina verborum*

*.i. βαρυτόνων. Sed male*

*ζῆν. caret diph*

*πεινῆν διψῆν ὁρῆν hic diph thōgō*

Παρακείμενος.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. τὸ δεύτερον τέτυφας. τὸ τρίτον τέτυφε. καὶ τὸ ἀπαρέμφατον τετυφέναι. ὁ κανὼν πᾶς παρακείμενος κατὰ τὸ τρίτον ἑαυτοῦ πρόσωπον τὴν ναι προσλαβὼν τὸ ἀπαρέμφατον ποιεῖ. τὸ φε ψιλὸν κατὰ τροπὴν τοῦ α εἰς ε. καὶ ἄλλως. τὰ διὰ τοῦ εναι ἀπαρέμφατα τὴν μὲν παραλήγουσαν διὰ τοῦ ε ψιλοῦ ἔχουσι. τὴν δὲ τελευταίαν διὰ τῆς αι διφθόγγου. ὁ τόνος ἐπὶ τῆς παραληγούσης πᾶν ἀπαρέμφατον εἰς μαι λῆγον πρὸ μιᾶς συλλαβῆς ἔχει τὸν τόνον πλὴν τῶν αἰολικῶν τοῦ φαγέμεναι καὶ πιέμεναι ἃ γίνονται ἀπὸ τοῦ φαγεῖν καὶ πιεῖν καὶ τῶν ὁμοίων.

*Ra. accentus*

*Aeolica ἀπαρέμφατα*

Μέσος παρακείμενος.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ μέσος τέτυπα τέτυπας τέτυπε. καὶ τὸ ἀπαρέμφατον τετυπέναι. ὁ κανὼν πᾶς παρακείμενος.

Ἀόριστος πρῶτος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. καὶ τὸ ἀπαρέμφατον τύψαι. ὁ κανὼν ὁ εἰς α λήγων ἀόριστος προσθέσει τοῦ ι καὶ συστολῇ τῆς ἀρχούσης τὸ ἀπαρέμφατον ποιεῖ. διατί τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ συνεζευγμένων καὶ τοῦ παρακειμένου καὶ ὑπερσυντελίκου, ὁ ἀόριστος οὐ συζεύγνυται τινί; διότι οὐκ ἔχει τίνι συζευχθήσεται. μετὰ μὲν γὰρ τοῦ ἐνεστῶτος οὐ δύναται. διότι ὁ μὲν ἐνεστὼς ἀπλήρωτον ἔχει τὴν σημασίαν. οὗτος δὲ πεπληρωμένην. μετὰ δὲ τοῦ μέλλοντος διότι οὐ πλησιάζει αὐτῷ. ἀλλ' ἔχει μεσιτεύοντα τὸν ἐνεστῶτα. καὶ ἐπὶ τῶν μετοχῶν ὁ αὐτὸς λόγος. *.i. mediante medius existente*

*Q. notanda quam etiam Technicus propo.*

*Presens incompletum tempus habet & incompleta significatione*

*.i. nō appropinquat applicat*

Ἀόριστος δεύτερος.

*Hæc omnia contra Technicū q contendit τυπεῖν aoristum secundū esse nō posse sed futurū. 2. Moschopulus ab eo ꝑdiametru dissentit*

*τυπεῖν aoristū ēē secundū non futurū*

Ὁ δεύτερος ἀόριστος τυπεῖν. ὁ κανὼν πᾶς δεύτερος ἀόριστος εἰς ον λήγων τροπῇ τοῦ ον εἰς ειν καὶ συστολῇ τῆς ηὐξημένης ἀρχούσης ὡς ἐπὶ τὸ πολὺ τὸ ἀπαρέμφατον ποιεῖ. πόθεν οὖν δείκνυται ὅτι δεύτερός ἐστιν ἀόριστος τοῦτο, ἀλλ' οὐ μᾶλλον δεύτερος μέλλων· πρῶτον μὲν ἀπὸ τῆς ἐννοίας. οὐ γὰρ ἐπὶ σημασίας μέλλοντος, ἀλλ' ἐπὶ παρεληλυθότος τὰ τοιαῦτα εὑρίσκονται, εἰ μή που παρά τισι σπανίως ἢ διαμαρτίᾳ γραφέως ἢ ποιητικῇ ἀδείᾳ ἢ τοῦ γεγραφότος ὑπεροψίᾳ. ἄλλως τε καὶ δεύτερος μέλλων ἐν τοῖς ὁριστικοῖς ἐνεργητικοῖς καὶ μέσοις οὐκ ἔστι. πῶς οὖν ἂν εἴη ἀπαρέμφατον ἀπὸ τοῦ μὴ ὄντος; καὶ μὴν τὸ πεσοῦμαι μέλλων ὢν οὐ δοκεῖ πρῶτος εἶναι. εἰ οὖν πρῶτος οὐκ ἔστιν, εἴη ἂν δεύτερος ἐξ ἀνάγκης. ἀλλ' οὐκ ἔστι. δωρικῶς γὰρ οὕτω γίνεται ὡς τὸ φευξοῦμαι. ~~ἐπεκράτησε δὲ καὶ ἐπὶ τῆς κοινῆς συνηθείας. ὡς καὶ αὐτὸ δὴ τὸ φευξοῦμαι.~~ τὸ δὲ καθεδοῦμαι ἐνεστώς ἐστι σημασίαν ἔχον μέλλοντος. ὥσπερ τὸ ἔδομαι. καὶ τὸ φάγομαι καὶ τὸ πίομαι καὶ τὸ εἶμι.

*Quo modo dignoscitur Secundꝰ aor. a Secundo futurꝰ*

*Secundū futurꝰ in indicatiuis actiuis & medijs nō haberi nota hō maxime*

*~~καθεδοῦμαι~~ Præsentia καθεδοῦμαι ἔδομαι φάγομαι πίομαι εἶμι*

*autem* — *: apud [illegible]*

## μέλλων.

Τύπτω ὁ μέλλων τύψω. τὸ δεύτερον τύψεις. τὸ τρίτον τύψει. καὶ τὸ ἀπαρέμφατον τύψειν. ὁ κανὼν πᾶς μέλλων ἐνεργητικὸς κατὰ τὸ τρίτον ἑαυτοῦ πρόσωπον τὸ ν προσλαβὼν τὸ ἀπαρέμφατον ποιεῖ.

## ἀπαρέμφατα παθητικὰ ἐνεστῶτος.

Τύπτω καὶ τὸ παθητικὸν τύπτομαι τὸ δεύτερον τύπτῃ τὸ τρίτον τύπτεται καὶ τὸ ἀπαρέμφατον τύπτεσθαι. ὁ κανὼν πᾶν παθητικὸν ἢ μέσον ἔχον ἐν τῷ τρίτῳ προσώπῳ τὸ τ. κλιτικὸν τρέπον τὴν ἐσχάτην εἰς θαι τὸ ἀπαρέμφατον ποιεῖ. καὶ εἰ καθαρεύει τὸ τ, καὶ σ προσλαμβάνει. ὁ τόνος ἐπὶ τῆς προπαραληγούσης. πᾶν ἀπαρέμφατον εἰς θαι λῆγον ὁμοτονεῖν θέλει τῷ ἰδίῳ ὁριστικῷ πλὴν τοῦ παθητικοῦ παρακειμένου καὶ τοῦ μέσου ἀορίστου δευτέρου.

*Regula de Tono præ. ꝑ. passiui & medij aor. β*

## παρακείμενος.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ παθητικὸς τέτυμμαι. τὸ δεύτερον τέτυψαι. τὸ τρίτον τέτυ-

*τ. κλιτικόν* *τετύφθαι τυπέσθαι*

*# nō aduersat' regulæ κρῖναι λεῦσαι [illegible] qa regula est intelligenda [illegible] verbū firmans imperatiuū in θι. firmet infinitiuū in ναι. qualia sunt [illegible] in μι.*

*Regula in capite [illegible]*



πται. καὶ τὸ ἀπαρέμφατον τετύφθαι. ὁ κανὼν πᾶν παθητικόν.

## ἀόριστος πρῶτος.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ παθητικὸς τέτυμμαι. ὁ ἀόριστος ἐτύφθην. τὸ δεύτερον ἐτύφθης. τὸ τρίτον ἐτύφθη. καὶ τὸ ἀπαρέμφατον τυφθῆναι. ὁ κανὼν πᾶς παθητικὸς ἀόριστος κατὰ τὸ τρίτον ἑαυτοῦ πρόσωπον τὴν ναι προσλαβὼν καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβαλὼν τὸ ἀπαρέμφατον ποιεῖ. τὸ φθῆν ἢ ἐκ τοῦ ἐτύφθην. οἱ εἰς ην παρῳχημένοι καὶ ἄλλως. τὰ εἰς θι προστακτικὰ # καὶ τὰ εἰς ναι ἀπαρέμφατα ἀορίστου ὄντα φύσει μακρᾷ παραλήγονται καὶ διὰ τοῦ η γράφονται. πλὴν τοῦ θεῖναι εἷναι δοῦναι. *& sub hoc exemplo intelliguntur omnia verba .3. coniu. in μι.*

*Regula θεῖναι a τίθημι εἷναι ab ἵημι δοῦναι a δίδωμι*

*corrigendū est εἷναι ab ἵημι [illegible] lege [illegible]*

## ἀόριστος δεύτερος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ δεύτερος ἔτυπον. ὁ παθητικὸς ἐτύπην ἐτύπης ἐτύπη. καὶ τὸ ἀπαρέμφατον τυπῆναι. ὁ κανὼν πᾶς παθητικός.

## μέσος ἀόριστος πρῶτος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ μέσος ἐτυψάμην ἐτύψω. καὶ τὸ ἀπαρέμφατον τύψασθαι. ὁ κανὼν πᾶν παθητικόν. ἰστέον δὲ ὅτι ἐφ' οἷς ἐστὶ κλιτικὴ ἔκτασις πλὴν τοῦ παρακειμένου ἀποβάλλεται ἐπὶ τῶν ἀπαρεμφάτων.

*Nec in infinitiuo tantū sed et in cæteris modis.*

## μέσος ἀόριστος δεύτερος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ δεύτερος ἀόριστος ἔτυπον. ὁ μέσος ἐτυπόμην ἐτύπου ἐτύπετο. καὶ τὸ ἀπαρέμφατον τυπέσθαι. ὁ κανὼν πᾶν παθητικόν.

## μέλλων πρῶτος.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ παθητικὸς τέτυμμαι. ὁ ἀόριστος ἐτύφθην ἐτύφθης ἐτύφθη. καὶ ὁ μέλλων πρῶτος τυφθήσομαι τυφθήσῃ τυφθήσεται. καὶ τὸ ἀπαρέμφατον τυφθήσεσθαι. ὁ κανὼν πᾶν παθητικόν.

## μέλλων δεύτερος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ δεύτερος ἔτυπον. ὁ παθητικὸς ἐτύπην ἐτύπης ἐτύπη. καὶ ὁ μέλλων δεύτερος τυπήσομαι τυπήσῃ τυπήσεται. καὶ τὸ ἀπαρέμ-

φατον τυπήσεσθαι. ὁ κανὼν πᾶν παθητικόν.

μέσος μέλλων πρῶτος.

Τύπτω ὁ μέλλων τύψω. καὶ ὁ μέσος μέλλων τύψομαι τύψῃ τύψεται. καὶ τὸ ἀπαρέμφατον τύψεσθαι. ὁ κανὼν πᾶν παθητικόν.

μετ' ὀλίγον μέλλων

~~μέσος μέλλων δεύτερος.~~

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ παθητικὸς τέτυμμαι τέτυψαι. καὶ ὁ μετ' ὀλίγον μέλλων τετύψομαι τετύψῃ τετύψεται. καὶ τὸ ἀπαρέμφατον τετύψεσθαι. ὁ κανὼν πᾶν παθητικόν.

προστακτικὰ ἐνεργητικὰ ἐνεστῶτος.

Τύπτω καὶ ἡ μετοχὴ ὁ τύπτων τοῦ τύπτοντος. καὶ ὁ παρατατικὸς ἔτυπτον ἔτυπτες ἔτυπτε. καὶ τὸ προστακτικὸν τύπτε. ὁ κανών. τὸ τρίτον πρόσωπον τοῦ ἐνεργητικοῦ παρατατικοῦ συστολῇ τῆς ἀρχούσης δεύτερον γίνεται προστακτικόν. τύπτε ποίου προσώπου δευτέρου. τὸ πρῶτον οὐ ποιεῖ καθόλου παντὸς προστακτικοῦ τὸ πρῶτον πρόσωπον ἐπὶ παντὸς ἀριθμοῦ ἐπιλέλοιπεν. ἐπεὶ οὐδεὶς ἑαυτῷ δύναται προστάσσειν. ὁ γὰρ προστάσσων τοῦ προστασσομένου θέλει χωρίζεσθαι. εἰ οὖν τις ἑαυτῷ προστάσσει μέλλει αὐτὸς ἑαυτοῦ χωρίζεσθαι ὅπερ ἀδύνατον. τὸ πε ψιλόν· καθόλου τὰ δεύτερα πρόσωπα τῶν προστακτικῶν βραχυκαταληκτοῦσι. πλὴν τοῦ παθητικοῦ ἐνεστῶτος καὶ τοῦ μέσου ἀορίστου δευτέρου. τὸ τρίτον τυπτέτω. ὁ κανὼν πᾶν δεύτερον πρόσωπον προστακτικὸν ἐνεργητικὸν εἰς φωνῆεν λῆγον πλὴν τῶν εἰς θι, προσθέσει τοῦ τω τὸ τρίτον ποιεῖ. τὸ πε ψιλὸν καθόλου τὰ δεύτερα πρόσωπα τῶν προστακτικῶν. τὸ τω μέγα. καθόλου τὰ τρίτα πρόσωπα τῶν προστακτικῶν διὰ τοῦ ω μεγάλου γράφονται. τῶν δυϊκῶν τὸ δεύτερον τύπτετον. ὁ κανὼν ἐκ τοῦ δευτέρου τῶν πληθυντικῶν τροπῇ τῆς τε εἰς τον. τὸ τρίτον τυπτέτων ὁ κανὼν πᾶν δεύτερον πρόσωπον τῶν δυϊκῶν ἐν τοῖς προστακτικοῖς τροπῇ τοῦ ο μικροῦ εἰς ω μέγα τὸ τρίτον ποιεῖ. τῶν πληθυντικῶν τὸ δεύτερον τύπτετε. ὁ κανὼν ἀμφότερα πληθυντικὰ ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν γίνονται. τὸ γὰρ

Reg^a. — Cur in imperativo desit p^a p^sona — debet — Reg^a.



τρίτον τῶν ἑνικῶν τροπῇ μὲν τοῦ ω μεγάλου εἰς ε τὸ δεύτερον τῶν πληθυντικῶν ποιεῖ. προσθέσει δὲ τῆς σαν τὸ τρίτον. τὸ τρίτον τυπτέτωσαν ὁμοίως. [ἢ ὁ κανὼν]

παρακείμενος.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα τέτυφας τέτυφε. καὶ τὸ προστακτικὸν τέτυφε. ὁ κανὼν τὸ τρίτον πρόσωπον τοῦ ἐνεργητικοῦ παρακειμένου καὶ τοῦ μέσου δεύτερον γίνεται προστακτικόν. τὸ τρίτον τετυφέτω. τῶν δυϊκῶν τὸ δεύτερον τετύφετον τὸ τρίτον τετυφέτων. τῶν πληθυντικῶν τὸ δεύτερον τετύφετε. τὸ τρίτον τετυφέτωσαν.

μέσος παρακείμενος.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ μέσος τέτυπα τέτυπας τέτυπε. καὶ τὸ προστακτικὸν τέτυπε. ὁ κανὼν τὸ τρίτον πρόσωπον τοῦ ἐνεργητικοῦ παρακειμένου.

ἀόριστος πρῶτος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα ἔτυψας ἔτυψε. καὶ τὸ προστακτικὸν τύψον. ὁ κανὼν ἔδει μὲν καὶ τὸν προστακτικὸν ἀόριστον ἐκ τοῦ ἰδίου ὁριστικοῦ τρίτου προσώπου γίνεσθαι συστολῇ μόνῃ τῆς ἀρχούσης. οἷον ἔτυψε τύψε. ἀλλ' ἐπεκράτησε Συρακουσίων ἔθος. ἐκεῖνοι γὰρ τὸ ε εἰς ον μεταποιοῦσι. τὸ ἄμελε ἄμελον λέγοντες. καὶ τὸ λάβε λάβον. καὶ τὸ τύψε τύψον. τὸ τρίτον τυψάτω. ὁ κανών. ἔδει μὲν κατὰ τὴν ἀναλογίαν τῶν εἰς ε προστακτικῶν διὰ τοῦ ετω εἶναι τὸ τρίτον. ἀλλ' ἐπειδὴ πανταχοῦ ὁ ἀόριστος φιλεῖ τὸ α. τὸ γὰρ ὁριστικὸν ἔτυψα τὸ ἀπαρέμφατον τύψαι. τὸ εὐκτικὸν τύψαιμι. ἡ μετοχὴ ὁ τύψας. τούτου χάριν οὐδὲ τὸ προστακτικὸν ἐχωρίσθη τοῦ α. τὸ ψα βραχύ. τὸ ὀφειλόμενον α τῷ ἀορίστῳ βραχύ ἐστι. τὰ δυϊκὰ τύψατον τυψάτων. τὰ πληθυντικὰ τύψατε τυψάτωσαν.

ἀόριστος δεύτερος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ δεύτερος ἔτυπον ἔτυπες ἔτυπε. καὶ τὸ προστακτικὸν τύπε. ὁ κανὼν τὸ τρίτον πρόσωπον τοῦ ἐνεργητικοῦ δευτέρου ἀορίστου συστολῇ τῆς ἀρχούσης δεύτερον ἐστὶ προστακτικόν.



λάβε — Syracusanorum mos optinuit hoc ex technica — Aaoristus semper α servat. — R^a quantita.

πανταχοῦ ὁ ἀόριστος α
φιλεῖ τὸ α.

ἐτύπτου [illegible]

Προστακτικὰ παθητικὰ ἐνεστῶτος.

Τύπτω καὶ τὸ παθητικὸν τύπτομαι καὶ ὁ παρατατικὸς ἐτυπτόμην καὶ τὸ προστακτικὸν τύπτου. ὁ κανών· τὸ δεύτερον πρόσωπον τοῦ παθητικοῦ παρατατικοῦ συστολῇ τῆς ἀρχούσης δεύτερόν ἐστι προστακτικόν. τὸ τρίτον τυπτέσθω. ὁ κανών· τὰ εἰς τω τρίτα ἐνεργητικά, τροπῇ τοῦ τω εἰς σθω καὶ προσλήψει τοῦ σ εἰ καθαρεύει τὸ θ, παθητικὰ τρίτα γίνονται. τὰ δυϊκὰ τύπτεσθον τυπτέσθων. τὰ πληθυντικὰ τύπτεσθε τυπτέσθωσαν.

ἁ προστακτικά sed male addit [illegible] ut [illegible] ter sequens rapit

Ὑπερσυντέλικος. Vocat hyp. & no[n] para[k]. q[uia] formatur ab hyp. [illegible]

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ παθητικὸς τέτυμμαι. ὁ ὑπερσυντέλικος ἐτετύμμην ἐτέτυψο καὶ τὸ προστακτικὸν τέτυψο. ὁ κανών· τὸ δεύτερον πρόσωπον τοῦ παθητικοῦ ὑπερσυντελίκου συστολῇ τῆς ἀρχούσης δεύτερον γίνεται προστακτικόν. τὸ τρίτον τετύφθω. ὁ κανών· τὰ εἰς τω τρίτα ἐνεργητικά. ἐνταῦθα δὲ καὶ συγκοπὴ γίνεται τοῦ ε. τὰ δυϊκὰ τέτυφθον τετύφθων. τὰ πληθυντικὰ τέτυφθε τετύφθωσαν.

Ἀόριστος πρῶτος.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ παθητικὸς τέτυμμαι. ὁ ἀόριστος ἐτύφθην. ἡ μετοχὴ ὁ τυφθεὶς τοῦ τυφθέντος. καὶ τὸ προστακτικὸν τύφθητι. ὁ κανών· πᾶσα μετοχὴ εἰς εις ὀξύτονος διὰ τοῦ ντ κλινομένη εἰς θι ποιεῖ τὸ προστακτικόν. καὶ ὤφειλεν εἶναι διὰ τοῦ θ. ἀλλὰ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων ἐτράπη τὸ θ εἰς τ. τὸ τρίτον τυφθήτω. ὁ κανών· τὰ εἰς θι προστακτικὰ τροπῇ τοῦ θι εἰς τω τὸ τρίτον ποιεῖ. τὰ δυϊκὰ τύφθητον τυφθήτων. τὰ πληθυντικὰ τύφθητε τυφθήτωσαν.

Τύφθητι debuit esse

[illegible] τι sed male [illegible]

Ἀόριστος δεύτερος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ δεύτερος ἔτυπον. ὁ παθητικὸς ἐτύπην. ἡ μετοχὴ ὁ τυπεὶς τοῦ τυπέντος. καὶ τὸ προστακτικὸν τύπηθι. ὁ κανών· πᾶσα μετοχή.

Τύπηθι

Μέσος ἀόριστος πρῶτος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. καὶ ὁ μέσος προστακτικὸς πρῶτος ἀόριστος τύψαι. ὁ κανών· ὁ εἰς α λήγων ἀόριστος προσθέσει τοῦ ι καὶ συστολῇ τῆς ἀρχούσης μέσος προστακτικὸς ἀόριστος γίνεται. ἔλουσα λοῦσαι. ἔτυψα τύψαι. τὸ τρίτον τυψάσθω. ὁ κανών· τὰ εἰς τω τρίτα ἐνεργητικά. τὰ δυϊκὰ τύψασθον τυψάσθων. τὰ πληθυντικὰ τύψασθε τυψάσθωσαν.

Μέσος ἀόριστος δεύτερος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ δεύτερος ἔτυπον. ὁ μέσος ἐτυπόμην ἐτύπου καὶ τὸ προστακτικὸν τυποῦ. ὁ κανών· ὁ μέσος δεύτερος ἀόριστος τοῦ δευτέρου προσώπου τὴν ἐν ἀρχαῖς κλητικὴν ἔκτασιν ἀποβαλὼν καὶ καταβιβάσας τὸν τόνον τὸ ἴδιον προστακτικὸν ποιεῖ. ἐλαβόμην ἐλάβου λαβοῦ. ἐτυπόμην ἐτύπου τυποῦ. τὸ τρίτον τυπέσθω. τὰ δυϊκὰ τύπεσθον τυπέσθων. τὰ πληθυντικὰ τύπεσθε τυπέσθωσαν. ἰστέον ὅτι πάντα τὰ εἰς τε ἢ εἰς θε προστακτικὰ δεύτερα πρόσωπα προπαροξύνονται εἰ μὴ δισύλλαβα εἴη. διὰ τοῦτο κἂν ταῦθα ἀναβιβάζει τὸν τόνον.

λαβοῦ τυποῦ

Regula nota accentus

Εὐκτικὰ ἐνεργητικὰ ἐνεστῶτος.

Τύπτω καὶ ἡ μετοχὴ ὁ τύπτων τοῦ τύπτοντος καὶ τὸ εὐκτικὸν τύπτοιμι. ὁ κανών· πᾶσα μετοχὴ ἐνεργητικὴ τῶν εἰς ω ῥημάτων τὸ τέλος τῆς γενικῆς τρέψασα εἰς μι. καὶ πρὸ τῆς μι δεξαμένη τὸ ι. παραιτησαμένη τε τὰ μὴ δυνάμενα σὺν αὐτῇ ἀκουσθῆναι στοιχεῖα τὸ εὐκτικὸν ποιεῖ. ἐπεὶ παρῃτήσατο τὸ ν. τὸ ποι δίφθογγον. πᾶν εὐκτικὸν διφθόγγῳ παραλήγεται. πόσαι καταλήξεις τῶν εὐκτικῶν. τρεῖς. ἡ εἰς μι. ἡ εἰς μην. καὶ ἡ εἰς ην. τὸ δεύτερον τύπτοις. ὁ κανών· τὰ εἰς μι τροπῇ τῆς μι εἰς σ τὸ δεύτερον ποιεῖ. τὸ ποις δίφθογγον ἀπὸ τοῦ πρώτου. πᾶν εὐκτικόν. τὸ τρίτον τύπτοι. ὁ κανών· πᾶν δεύτερον πρόσωπον εἰς σ λῆγον. τῶν δυϊκῶν τὸ πρῶτον οὐ ποιεῖ. ἡνίκα τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν. τὸ δεύτερον τύπτοιτον. τὸ τρίτον τυπτοίτην. ὁ κανών· καθόλου τὰ δυϊκὰ τῶν εὐκτικῶν εἰς ην ἔχει τὸ τρίτον ἐπειδὴ τὸ τρίτον τῶν πληθυντικῶν οὔτε εἰς ι λήγει οὔτε εἰς ται. τῶν πληθυντικῶν τὸ πρῶτον τύπτοι

Omnis optatiuus diphth. pe[n]ultimat

Optatiuoru[m] tres e[ss]e terminationes

μι. μην. ην.

μεν. ὁ κανών· πᾶν ῥῆμα εἰς μι λῆγον τροπῇ τῆς μι εἰς μεν τὸ πληθυντικὸν ποιεῖ. ἐν δὲ τοῖς ὁριστικοῖς τῶν εἰς μι καὶ ἡ παραλήγουσα συστέλλεται. τὰ γὰρ εἰς μι ἐπὶ τῶν πληθυντικῶν καὶ παθητικῶν συστέλλονται. τὸ δεύτερον τύπτοιτε. τὸ τρίτον τύπτοιεν. ὁ κανών· τὰ εἰς μεν εὐκτικὰ πρῶτα πρόσωπα τῶν πληθυντικῶν εἰ μὲν διφθόγγῳ παραλήγεται ἀποβολῇ τοῦ μ τὸ τρίτον ποιεῖ. τύπτοιμεν τύπτοιεν. εἰ δὲ μονοφθόγγῳ εἰς σαν. τυφθείημεν τυφθείησαν. τὸ μὲν ψιλοῦνται εἰς μεν καὶ εἰς τε.

*Τὰ εἰς μι in pluralib. & passi. correp. hnt. pen.* / *τυφθείην Gaz. nihil dicit de τυφθεῖεν*

## Παρακείμενος.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ἡ μετοχὴ ὁ τετυφὼς τοῦ τετυφότος καὶ τὸ εὐκτικὸν τετύφοιμι. ὁ κανὼν πᾶσα μετοχή. *ἐνεργητική*

## Μέσος παρακείμενος.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ μέσος τέτυπα. ἡ μετοχὴ ὁ τετυπὼς τοῦ τετυπότος καὶ τὸ εὐκτικὸν τετύποιμι. ὁ κανὼν πᾶσα μετοχή.

## Ἀόριστος πρῶτος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ἡ μετοχὴ ὁ τύψας τοῦ τύψαντος καὶ τὸ εὐκτικὸν τύψαιμι. ὁ κανὼν πᾶσα μετοχή.

## Ἀόριστος δεύτερος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ δεύτερος ἔτυπον. ἡ μετοχὴ ὁ τυπὼν τοῦ τυπόντος καὶ τὸ εὐκτικὸν τύποιμι. ὁ κανὼν πᾶσα μετοχή.

## Μέλλων πρῶτος.

Τύπτω ὁ μέλλων τύψω καὶ ἡ μετοχὴ ὁ τύψων τοῦ τύψοντος καὶ τὸ εὐκτικὸν τύψοιμι. ὁ κανὼν πᾶσα μετοχή.

## Εὐκτικὰ παθητικὰ ἐνεστῶτος.

Τύπτω καὶ τὸ παθητικὸν τύπτομαι καὶ τὸ εὐκτικὸν παθητικὸν τυπτοίμην. ὁ κανὼν πᾶν παθητικὸν ἢ μέσον ἔχον ἐπὶ τέλους τὸ μ κλιτικὸν τρέπον τὴν ἐσχάτην εἰς μην καὶ πρὸ τῆς μην δεξάμενον τὸ ι τὸ εὐκτικὸν ποιεῖ. τὸ δεύτερον τύπτοιο. ὁ κανὼν ὅσα τῶν εὐκτικῶν ἔχει ἐν τῷ τρίτῳ προσώπῳ τὸ τ κλιτικὸν ἀποβολῇ αὐτοῦ τὸ δεύτερον ποιεῖ. τὸ τρίτον

*τὸ μ κλιτικόν*

*τὸ τ κλιτικόν*



τύπτοιτο. ὁ κανὼν τὰ εἰς μην τροπῇ τῆς μην εἰς το τὸ τρίτον ποιεῖ. τὰ δυϊκὰ τυπτοίμεθον τύπτοισθον. τὰ πληθυντικὰ τυπτοίμεθα τύπτοισθε τύπτοιντο.

*τυπτοῖσθον*

## Παρακείμενος.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ παθητικὸς τέτυμμαι. καὶ τὸ εὐκτικὸν οὐ ποιεῖ. διὰ τί; ὅτε μὲν καθαρὰν τὴν ἐσχάτην ἔχει ὁ παθητικὸς παρακείμενος, τῷ κοινῷ κανόνι τὸ εὐκτικὸν ποιεῖ. ὅτε δὲ ἑτέρῳ συμφώνῳ πρὸ τοῦ μ παραλήγεται, τότε διὰ τὸ ἀσύστατον τὸ εὐκτικὸν καὶ ὑποτακτικὸν ἀπ' αὐτοῦ μὲν οὐ γίνεται. διὰ δὲ μετοχῆς καὶ ὑπαρκτικοῦ ῥήματος αὐτοῦ ἡ χρῆσις ἀναπληροῦται. καὶ πῶς ἀναπληροῦται ἐνταῦθα; τετυμμένος εἴην. κανόνισον εἰμὶ τὸ ὑπάρχω καὶ ὁ παρατατικὸς ἦν. ἡ μετοχὴ ὢν ὄντος. καὶ τὸ εὐκτικὸν εἴην. ὁ κανὼν πᾶσα μετοχὴ εἰς σ ὀξύτονος διὰ τοῦ ντ κλινομένη τὸ τέλος τῆς γενικῆς τρέψασα εἰς ην καὶ τὸ ν μεταβαλοῦσα εἰς ι τὸ εὐκτικὸν ποιεῖ. τὸ δεύτερον εἴης. ὁ κανὼν πᾶν ῥῆμα εἰς μι λῆγον μὴ ἔχον τὸ μ κλιτικὸν τροπῇ τοῦ ν εἰς σ τὸ δεύτερον ποιεῖ. τὸ τρίτον εἴη. πᾶν ῥῆμα εἰς μι λῆγον ἐν πρώτῳ προσώπῳ τὰ ἰσόφωνα τηρεῖ ἐν τῷ δευτέρῳ καὶ τρίτῳ. τῶν δυϊκῶν τὸ πρῶτον οὐ ποιεῖ. τὸ δεύτερον εἴητον. τὸ τρίτον εἰήτην. τῶν πληθυντικῶν τὸ πρῶτον εἴημεν. ὁ κανὼν πᾶν πρῶτον πρόσωπον εἰς μι λῆγον μὴ ἔχον τὸ μ κλιτικὸν ἐκβολῇ τοῦ ν καὶ προσθέσει τῆς μεν τὸ πληθυντικὸν ποιεῖ. τὸ δεύτερον εἴητε. τὸ τρίτον εἴησαν. ὁ κανὼν τὰ εἰς μεν πληθυντικὰ ἀπὸ τῶν εἰς μι φύσει μακροκαταλήκτων.

*Regula nota de prae. pass. opta. & sub.* / *Regula* / *πλῶ τῶν εἰς μι* / *Ra. orthogr.* / *ἐν τῇ λήγουσῃ παραλήγουσῃ* / *εἴην Gaz. nihil dicit de εἴη*

## Ἀόριστος πρῶτος.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ παθητικὸς τέτυμμαι. ἀόριστος ἐτύφθην. ἡ μετοχὴ ὁ τυφθεὶς τοῦ τυφθέντος καὶ τὸ εὐκτικὸν τυφθείην. ὁ κανὼν πᾶσα μετοχὴ εἰς σ ὀξύτονος.

## Ἀόριστος δεύτερος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ δεύτερος ἔτυπον. ὁ παθητικὸς ἐτύπην. ἡ μετοχὴ ὁ τυπεὶς τοῦ τυπέντος. καὶ τὸ εὐκτικὸν τυπείην. ὁ κανὼν πᾶσα μετοχὴ εἰς

σ ὀξύτονος.

### μέσος ἀόριστος πρῶτος.

τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ μέσος ἐτυψάμην. καὶ τὸ εὐκτικὸν τυψαίμην. ὁ κανὼν παρὰ παθητικόν.

### μέσος ἀόριστος δεύτερος.

τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ δεύτερος ἔτυπον. ὁ μέσος ἐτυπόμην καὶ τὸ εὐκτικὸν τυποίμην. ὁ κανὼν παρὰ παθητικόν.

### μέλλων πρῶτος.

τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ παθητικὸς τέτυμμαι. ὁ ἀόριστος ἐτύφθην ἐτύφθης ἐτύφθη. καὶ ὁ μέλλων πρῶτος τυφθήσομαι. καὶ τὸ εὐκτικὸν τυφθησοίμην. ὁ κανὼν παρὰ παθητικόν.

### μέλλων δεύτερος.

τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ δεύτερος ἔτυπον. ὁ παθητικὸς ἐτύπην ἐτύπης ἐτύπη. καὶ ὁ μέλλων δεύτερος τυπήσομαι. καὶ τὸ εὐκτικὸν τυπησοίμην. ὁ κανὼν παρὰ παθητικόν.

### μέσος μέλλων πρῶτος.

τύπτω ὁ μέλλων τύψω. ὁ μέσος μέλλων τύψομαι. καὶ τὸ εὐκτικὸν τυψοίμην. ὁ κανὼν παρὰ παθητικόν.

### μετ' ὀλίγον μέλλων.

τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ παθητικὸς τέτυμμαι. ὁ δεύτερος τέτυψαι. καὶ ὁ μετ' ὀλίγον μέλλων τετύψομαι. καὶ τὸ εὐκτικὸν τετυψοίμην. ὁ κανὼν παρὰ παθητικόν.

### ὑποτακτικὰ ἐνεργητικὰ ἐνεστῶτος.

τύπτω καὶ ἡ μετοχὴ ὁ τύπτων τοῦ τύπτοντος. καὶ ὁ παρατατικὸς ἔτυπτον. καὶ τὸ ὑποτακτικὸν ἐὰν τύπτω. ὁ κανὼν οἱ τρεῖς παρῳχημένοι. παρατατικὸς παρακείμενος καὶ ἀόριστος τὴν τελευταίαν τρέποντες εἰς ω καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβάλλοντες τὸ ὑποτακτικὸν ποιοῦσιν. ἐὰν τύπτω πόσα μέρη λόγου εἰσί; δύο. ἐὰν σύνδεσμος τύπτω ῥῆμα. ἐὰν ποίου τῶν συνδέσμων συναπτικοῦ. πόθεν γίνεται; ἀπὸ τοῦ εἰ συναπτικοῦ. καὶ τοῦ ἂν παραπληρω-

Regula

ἐὰν. unde



ματικοῦ. ἐκβολὴ τοῦ ι ἐπὶ τῷ ε ψιλήν. οἱ σύνδεσμοι πάντες ψιλοῦνται. πλὴν τῶν αἰτιολογικῶν. οἱ γὰρ αἰτιολογικοὶ πάντες δασύνονται. πλὴν τοῦ ὄφρα. καὶ βραχυκαταληκτοῦσι. πλὴν τοῦ ὅπως ἐπὶ τῷ ἂν ὀξεῖαν. πᾶς σύνδεσμος συμπλεκτικὸς μὲν ὀξύνεται. συνεπόμενος δὲ καὶ βαρύνεται. ἐὰν τύπτω τὸ πτω μέγα. πᾶν ὑποτακτικὸν ἐν μὲν τοῖς ἐνεργητικοῖς τὸ η θέλει ἔχειν ἢ τὸ ω μέγα ἐν τῇ ληγούσῃ. ἐν δὲ τοῖς παθητικοῖς καὶ ἐν τῇ παραληγούσῃ. διατί λέγονται ὑποτακτικά; διότι ὑποτάσσονται τοῖς δυναμένοις ὑποτάσσειν συνδέσμοις. καὶ πόσοι σύνδεσμοι ὑποτάσσουσιν; ἕξ. ἵνα ὄφρα ὅπως. ἐάν. ἄν. καὶ ὁ εἰ ὅτε ἔχει καὶ ἑτέρους συνδέσμους. ὡς ἐν τῷ εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ, ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον ὄφρα τελέσσῃ ὑποτάσσει καὶ τὸ μή. ὅτε ἀπαγορευτικόν ἐστι. καὶ ἐπὶ ἀορίστου τάττεται. οἷον μὴ κλέψῃς. ἔστι γὰρ τὸ ἐντελὲς αὐτοῦ. ὅρα ἵνα μὴ κλέψῃς. καὶ τὸ ἕως. ἐπεὶ ἔχει ἀεὶ τὸν ἂν σύνδεσμον συνυπακουόμενον αὐτῷ καὶ τὸ ὡς ὅτε τὸ ἵνα δηλοῖ. τὸ δεύτερον ἐὰν τύπτῃς. ὁ κανὼν καθόλου τὰ εἰς ω ὑποτακτικὰ ἀπὸ τῶν εἰς ω βαρυτόνων κεκλιμένα εἰς ης τὸ δεύτερον ποιεῖ. τῷ πτῃς τί προσγράφεται; ι. πᾶν ῥῆμα εἰς ω λῆγον ἔχει τὸ δεύτερον διὰ διφθόγγου. ὁμοίως καὶ τὸ τρίτον. τῶν πληθυντικῶν τὸ πρῶτον ἐὰν τύπτωμεν. ὁ κανὼν πᾶν ὑποτακτικὸν πρῶτον πρόσωπον ἑνικὸν εἰς ω λῆγον προσθέσει τῆς μεν τὸ πληθυντικὸν ποιεῖ. τὸ δεύτερον ἐὰν τύπτητε. ὁ κανών. τὰ εἰς μεν ὑποτακτικὰ πρῶτα πρόσωπα τροπῇ τῆς μεν εἰς τε καὶ τῆς παραληγούσης εἰς η τὸ δεύτερον ποιεῖ. τὸ τρίτον ἐὰν τύπτωσιν. ὁ κανὼν καὶ τοῦτο ἀπὸ τοῦ πρώτου γέγονε τῶν πληθυντικῶν τροπῇ τῆς μεν εἰς σιν.

### παρακείμενος.

τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. καὶ τὸ ὑποτακτικὸν ἐὰν τετύφω. ὁ κανὼν οἱ τρεῖς παρῳχημένοι. ἰστέον δὲ ὅτι οὐδέποτε ἀποβάλλει ὁ παρακείμενος τὴν αὔξησιν αὐτοῦ.

Aetiologice coniunctiones aspirant

Unde dicuntur subiunctiua

Homerus

μὴ subiungit

gr. αν. est vis de 6. supradictis

Regula de 2 persona a uerbis in ω.

ἡ τῶν πλη.

Numquam paracimenus relinquit augmentum

Sex ee coniunctiones habentes uim subiungendi ἵνα, ὄφρα, ὅπως, ἐὰν, ἂν & εἰ. cum habet adiunctiuas alias coniunctiones ut in εἴπερ. ut apud homerum. εἴπερ γάρ τε χόλον γε ὑποτάσσει ἢ τὸ μὴ. ἢ τὸ ἕως. ἢ τὸ ὡς ὅτε δηλοῖ τὸ ἵνα

Μέσος παρακείμενος.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ μέσος
τέτυπα. καὶ τὸ ὑποτακτικὸν ἐὰν τετύπω. ὁ κανὼν οἱ τρεῖς
παρῳχημένοι.

Ἀόριστος πρῶτος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. καὶ τὸ ὑποτα-
κτικὸν ἐὰν τύψω. ὁ κανὼν οἱ τρεῖς παρῳχημένοι.

Ἀόριστος δεύτερος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ δεύτερος ἔ-
τυπον. καὶ τὸ ὑποτακτικὸν ἐὰν τύπω. ὁ κανών. οἱ τρεῖς πα-
ρῳχημένοι. ἰστέον ὅτι μέλλοντες ἐν τοῖς ὑποτακτικοῖς οὐκ εἰσὶν

Ὑποτακτικὰ παθητικὰ ἐνεστῶτος.

Τύπτω καὶ ἡ μετοχὴ ὁ τύπτων τοῦ τύπτοντος. καὶ ὁ παρατα-
τικὸς ἔτυπτον. καὶ τὸ ὑποτακτικὸν ἐὰν τύπτω. καὶ τὸ ὑπο-
τακτικὸν παθητικὸν ἐὰν τύπτωμαι. ὁ κανών. ὁ ἐνεργητικὸς
ἐνεστὼς τῶν ὑποτακτικῶν προσθέσει τῆς μαι παθητικὸς
γίνεται. τὸ δεύτερον ἐὰν τύπτῃ. ὁ κανὼν καθόλου τὰ τρίτα
πρόσωπα τῶν ἐνεργητικῶν ὑποτακτικῶν δεύτερα εἰσὶ τῶν
παθητικῶν. τὸ τρίτον ἐὰν τύπτηται. ὁ κανὼν τὸ δεύτερον
πρόσωπον τοῦ παθητικοῦ ὑποτακτικοῦ ἐνεστῶτος προσ-
λαβὸν τὴν ται τρίτον γίνεται. τὰ δυϊκὰ ἐὰν τυπτώμεθον. ἐὰν
τύπτησθον ἐὰν τύπτησθον. τὰ πληθυντικὰ ἐὰν τυπτώμεθα
ἐὰν τύπτησθε ἐὰν τύπτωνται.

Regulaz nota

Παρακείμενος.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ παθη-
τικὸς τέτυμμαι. καὶ τὸ ὑποτακτικὸν οὐ ποιεῖ ὡς εἴρηται.
ἀναπληροῖ δὲ διὰ μετοχῆς καὶ ὑπαρκτικοῦ ῥήματος.
καὶ πῶς ἀναπληροῖ τετυμμένος ἐὰν ὦ ἐὰν ὦ κανόνισον. εἰ-
μὶ τὸ ὑπάρχω. καὶ ὁ παρατατικὸς ἦν. ἡ μετοχὴ εἰς ὤντος
καὶ τὸ ὑποτακτικὸν ἐὰν ὦ. ὁ κανὼν ὢν εἰς ὀξύτονος ἡ μετοχὴ
τούτων εἰς ω μετὰ περισπωμένου τόνου τὸ ὑποτακτικὸν γί-
νεται. τὸ δεύτερον ἐὰν ᾖς. τὸ τρίτον ἐὰν ᾖ. τὰ δυϊκὰ ἐὰν ἦτον
ἐὰν ἦτον. τὰ πληθυντικὰ ἐὰν ὦμεν. ἐὰν ἦτε ἐὰν ὦσιν.

ἰ τοῦτο

Regula

Ἀόριστος πρῶτος.

τὸ ω μέγα πᾶν ὑποτακτικὸν ἐν μὲν τοῖς ἐνεργητικοῖς, ἐπὶ τῷ ω. διὰ τὰ ὑποτακτικὰ
ῥήματα φυλάττεται, ἐπὶ τῷ ω. ἵνα τόνον περισπώμενον, πᾶν ῥῆμα μακροκατάληκτον
ἐπὶ μακρῷ ἔχον τὸν τόνον περισπᾶται



Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ παθη-
τικὸς τέτυμμαι. ὁ ἀόριστος ἐτύφθην. ἡ μετοχὴ ὁ τυφθεὶς
τοῦ τυφθέντος. καὶ τὸ ὑποτακτικὸν ἐὰν τυφθῶ. ὁ κανὼν ὢν
εἰς ω ὀξύτονος.

Ἀόριστος δεύτερος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ δεύτερος ἔτυ-
πον. ὁ παθητικὸς ἐτύπην. ἡ μετοχὴ ὁ τυπεὶς τοῦ τυπέν-
τος. καὶ τὸ ὑποτακτικὸν ἐὰν τυπῶ. ὁ κανὼν ὢν εἰς ω ὀξύ-
τονος.

Μέσος ἀόριστος πρῶτος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. καὶ τὸ ὑποτακτι-
κὸν ἐὰν τύψω. καὶ ὁ μέσος ὑποτακτικὸς πρῶτος ἀόριστος
ἐὰν τύψωμαι. ὁ κανών. οἱ μέσοι ἀόριστοι ἀπὸ τῶν ἐνεργητι-
κῶν γίνονται προσθέσει τῆς μαι. ὁ πρῶτος ἀπὸ τοῦ πρώ-
του καὶ ὁ δεύτερος ἀπὸ τοῦ δευτέρου.

Μέσος ἀόριστος δεύτερος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ δεύτερος ἔ-
τυπον. καὶ τὸ ὑποτακτικὸν ἐὰν τύπω. καὶ ὁ μέσος ὑποτα-
κτικὸς δεύτερος ἀόριστος ἐὰν τύπωμαι. ὁ κανὼν οἱ μέ-
σοι ἀόριστοι.

Μετοχικὰ ἐνεργητικὰ ἐνεστῶτος.

Τύπτω καὶ ἡ μετοχὴ ὁ τύπτων. ὁ κανὼν πᾶς ἐνεστὼς ὁρι-
στικὸς εἰς ω λήγων προσθέσει τοῦ ν ποιεῖ τὴν μετοχήν. πῶς
κλίνεται τοῦ τύπτοντος. ὁ κανών. πᾶσα μετοχὴ εἰς ων λή-
γουσα διὰ τοῦ ντ κλίνεται. τὸ ὂν μικρὸν αἱ μετοχαὶ συ-
στέλλονται ἐπὶ γενικῆς ἐὰν μὴ κατὰ πάθος ὦσιν. ὡς ἡ τοῦ
ποιοῦντος βοῶντος χρυσοῦντος καὶ τῶν ὁμοίων. αἳ συναι-
ροῦνται. ἡ κλητικὴ ὦ τύπτων. ὁ κανών. αἱ μετοχαὶ καὶ τὰ
μετοχικὰ ὀνόματα τὰς αὐτὰς ἔχουσιν ὀρθὰς καὶ κλητι-
κάς. τὸ θηλυκὸν ἡ τύπτουσα. ὁ κανών. πᾶσα γενικὴ μετοχῆς
διὰ τοῦ ντ κλινομένη τὸ τέλος τῆς γενικῆς τρέψασα εἰς σα,
καὶ τὴν παραλήγουσαν φύσει μακρὰν ποιοῦσα τὸ θηλυκὸν
ποιεῖ. καὶ πῶς ἐποίησεν ἐνταῦθα αὐτὴν φύσει μακρὰν τῇ
ἐκβολῇ τοῦ ν καὶ τῇ προσλήψει τοῦ υ. τὸ γὰρ ο μεγεθυνόμε-

Βαρύτονος

Participia

τὸ πτῶν. μετὰ τῶν ἀρσενικῶν καὶ θηλυκῶν εἰς ἀμετάβολον λῆγον μακροκατάληκτα.

Rª. vocativu[m]

ἢ καὶ τὸ τ. ἐξ. σ.

O. quomodo extendit[ur] p[er] adiu[n]ctione[m] .υ. fit

*ἡ γενική*

μον διὰ τῆς προσθήκης τοῦ υ μεγεθύνεται. τὸ οὐδέτερον τὸ τύπτον. ὁ κανών. πᾶσα μετοχὴ διὰ τοῦ ν τ κλινομένη ἀποβολῇ τῆς τος τὸ οὐδέτερον ποιεῖ. πῶς κλίνεται τοῦ τύπτοντος. ὁ κανών. παρατηρητέον ὅτι πᾶν οὐδέτερον ἀρσενικὸν παρεσχηματισμένον τὴν τοῦ ἀρσενικοῦ ἔχει κλίσιν ὁποίας ἂν εἴη καταλήξεως.

*R^a decli. participiorum neutrorum*

## παρακείμενος.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ἡ μετοχὴ ὁ τετυφώς. ὁ κανών. ὁ ἐνεργητικός τε καὶ μέσος παρακείμενος τρέπων τὸ α εἰς ως τὴν μετοχὴν ποιεῖ. τὸ ως μέγα. αἱ εἰς ως μετοχαὶ ὀξύνονται καὶ διὰ τοῦ ω μεγάλου γράφονται καὶ συστέλλουσι τὸ ω ἐπὶ τῆς γενικῆς καὶ διὰ τοῦ τος κλίνονται. τὸ θηλυκὸν ἡ τετυφυῖα. ὁ κανών. ἡ τοῦ ἐνεργητικοῦ παρακειμένου μετοχὴ τὸ τέλος τῆς γενικῆς τρέψασα εἰς α καθαρὸν· δεῖ γὰρ τὸ θηλυκὸν ἐπὶ τῶν μετοχῶν ἐν συμφώνῳ κατὰ τὴν παραλήγουσαν τοῦ ἰδίου ἀρσενικοῦ ἐλαττοῦσθαι, καὶ τὴν παραλήγουσαν φύσει μακρὰν ποιοῦσα τὸ θηλυκὸν ποιεῖ. καὶ ὤφειλεν εἶναι τετυφοῦα (τὸ γὰρ ο μεγεθυνόμενον διὰ τῆς προσθήκης τοῦ υ μεγεθύνεται) ἀλλὰ τὰ εἰς α καθαρὸν θηλυκὰ τῇ διὰ τοῦ υ καὶ ι διφθόγγῳ θέλουσιν ἀεὶ παραλήγεσθαι. πλεονάζει δὴ κἀνταῦθα τὸ ι, καὶ ἐπεὶ ἀδύνατον ἐν μιᾷ συλλαβῇ σωθῆναι τρία φωνήεντα τὸ ο καὶ υ καὶ ι, ἀποβάλλει τὸ ο καὶ γίνεται τετυφυῖα. τὸ α βραχύ. τὰ εἰς α λήγοντα θηλυκὰ παρεσχηματισμένα ἀρσενικοῖς ὁμόχρονον αὐτὸ ἔχουσι τῷ τέλει τῆς γενικῆς τοῦ ἀρσενικοῦ. τὸ οὐδέτερον τὸ τετυφός. ὁ κανών. καὶ τοῦτο ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ γέγονεν ἐκβολῇ τοῦ τος καὶ προσθέσει τοῦ σ.

*R^a orth. accẽ. & quantit.*

*ἡ γενικὴ τοῦ τετυφότος. ὁ κανὼν ὅμοιος*

*Regula*

*Hæc omnia ex technico*

*Regula sing.*

*Tres uocales in una syllaba nõ coire*

## μέσος παρακείμενος.

Τύπτω ὁ μέλλων τύψω. ὁ παρακείμενος τέτυφα. ὁ μέσος τέτυπα. ἡ μετοχὴ ὁ τετυπώς. ὁ κανών. ὁ ἐνεργητικός τε καὶ μέσος παρακείμενος.

## ἀόριστος πρῶτος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ἡ μετοχὴ ὁ τύ-

Τὰ δὲ εἰς α λήγοντα θηλυκὰ παρεσχηματισμένα ἀρσενικοῖς ὁμόχρονον αὐτὸ ἔχουσι τῷ τέλει τῆς γενικῆς τοῦ ἀρσενικοῦ. egregia regula



ψας. ὁ κανών. ὁ εἰς α λήγων ἀόριστος προσθέσει τοῦ σ καὶ συστολῇ τῆς ἀρχούσης τὴν μετοχὴν ποιεῖ. πῶς κλίνεται τοῦ τύψαντος. ὁ κανών. πᾶσα μετοχὴ εἰς ας λήγουσα διὰ τοῦ ν τ κλίνεται. τὸ θηλυκὸν ἡ τύψασα. ὁ κανών. πᾶσα γενικὴ μετοχή. τὸ ψα μακρὸν καὶ τὴν παραλήγουσαν. *τὸ οὐδέτερον τὸ τύψαν*

*τὸ ψας μακρὸν ὡς τοῦ τύψαντος τὸ αν*

*Repetit partem huius regulæ*

## ἀόριστος δεύτερος.

Τύπτω ὁ μέλλων τύψω. ὁ ἀόριστος ἔτυψα. ὁ δεύτερος ἔτυπον. ἡ μετοχὴ ὁ τυπών. ὁ κανών. ὁ εἰς ον δεύτερος ἀόριστος τρέπων τὸ ο μικρὸν εἰς ω μέγα καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβαλὼν τὴν μετοχὴν ποιεῖ.

## μέλλων πρῶτος.

Τύπτω ὁ μέλλων τύψω. καὶ ἡ μετοχὴ ὁ τύψων. ὁ κανών. πᾶς μέλλων ἐνεργητικὸς εἰς ω λήγων προσθέσει τοῦ ν ποιεῖ τὴν μετοχήν. ἡ γενικὴ τοῦ τύψοντος. τὸ θηλυκὸν ἡ τύψουσα. τὸ οὐδέτερον τὸ τύψον.

## μετοχικὰ παθητικὰ ἐνεστὼς καὶ παρατατικός.

Τύπτω καὶ τὸ παθητικὸν τύπτομαι. καὶ ἡ μετοχὴ ὁ τυπτόμενος. ὁ κανών. πᾶν παθητικὸν ἢ μέσον ἔχον ἐπὶ τέλους τὸ μ κλιτικὸν τρέπον τὴν ἐσχάτην εἰς μενος τὴν μετοχὴν ποιεῖ. ὁ τόνος ἐπὶ τῆς προπαραληγούσης. αἱ εἰς μενος μετοχαὶ προπαροξύνονται πλὴν τοῦ παθητικοῦ παρακειμένου. τὸ θηλυκὸν ἡ τυπτομένη. ὁ κανών. πᾶν ἀρσενικὸν εἰς ος μετὰ συμφώνου πλὴν τοῦ ρ, ὅτε ἔχει θηλυκὸν εἰς η αὐτὸ ποιεῖ. τὸ οὐδέτερον τὸ τυπτόμενον. ὁ κανών. πᾶν οὐδέτερον ἀρσενικῷ παρεσχηματισμένον εἰ μὲν ἰσοσυλλάβως κλίνοιτο τὸ ἀρσενικὸν τῇ αἰτιατικῇ αὐτοῦ ὁμοφωνεῖ· εἰ δὲ περιττοσυλλάβως ἐνίοτε μὲν τῇ κλητικῇ ὁμοφωνεῖ, ἐνίοτε δὲ ἀπὸ τῆς γενικῆς αὐτοῦ γίνεται ἀποκοπῇ τῆς τελευταίας συλλαβῆς.

*Regula de accẽ participiorum in μενος.*

*τῶν ἀρσενικῶν*

*Regula pulchra de format. neutrorum in participijs*

*τὰ δὲ οὐδέτερα ... ἔχουσι τὴν γενικὴν ... ποιεῖ τὴν κλητικήν. πῶς κλίνεται τοῦ τυπτομένου ὡς τοῦ πλόου*

Πᾶν ἀρσενικὸν εἰς ος μετὰ συμφώνου πλὴν τοῦ ρ. ὅτε ἔχει θηλυκὸν εἰς η αὐτὸ ποιεῖ.

Hanc rationem pluribus verbis explicat technicus.

## Παρακείμενος.

Cur τετυμμένος

Τύπτω, ὁ μέλλων τύψω, ὁ παρακείμενος τέτυφα. ὁ παθητικὸς τέτυμμαι. ἡ μετοχὴ ὁ τετυμμένος. ὁ κανὼν· πᾶν παθητικὸν ἢ μέσον. διὰ τί καταβιβάζει τὸν τόνον; ἐπειδὴ ὁ παθητικὸς παρακείμενος συγκοπὴν ἔπαθεν. τὸ θηλυκὸν ἡ τετυμμένη. τὸ οὐδέτερον τὸ τετυμμένον.

## Ἀόριστος πρῶτος.

Regula pulchra

Regula

Τύπτω, ὁ μέλλων τύψω, ὁ παρακείμενος τέτυφα. ὁ παθητικὸς τέτυμμαι. ὁ ἀόριστος ἐτύφθην. ἡ μετοχὴ ὁ τυφθείς. ὁ κανὼν· πᾶν ῥῆμα εἰς ν λῆγον μετὰ φυσικῆς μακρᾶς μὴ ἔχον τὸν κλιτικὸν εἰς σ ὀξύτονον ποιεῖ τὴν μετοχήν. τὸ φθεὶς δίφθογγον· αἱ εἰς εις μετοχαὶ τῶν βαρυτόνων καὶ περισπωμένων ῥημάτων καὶ τῶν εἰς μι πλὴν τῆς τετάρτης αὐτῶν συζυγίας, πᾶσαι διὰ διφθόγγου γράφονται. τὸ θηλυκὸν ἡ τυφθεῖσα. τὸ οὐδέτερον τὸ τυφθέν.

## Ἀόριστος δεύτερος.

Τύπτω, ὁ μέλλων τύψω, ὁ ἀόριστος ἔτυψα, ὁ δεύτερος ἔτυπον. ὁ παθητικὸς ἐτύπην. ἡ μετοχὴ ὁ τυπείς. ὁ κανὼν· πᾶν ῥῆμα εἰς ν λῆγον. ἡ γενικὴ τοῦ τυπέντος. τὸ θηλυκὸν ἡ τυπεῖσα. τὸ οὐδέτερον τὸ τυπέν.

## Μέσος ἀόριστος πρῶτος.

Τύπτω, ὁ μέλλων τύψω, ὁ ἀόριστος ἔτυψα, ὁ μέσος ἐτυψάμην. ἡ μετοχὴ ὁ τυψάμενος. ὁ κανὼν· πᾶν παθητικόν.

## Μέσος ἀόριστος δεύτερος.

Τύπτω, ὁ μέλλων τύψω, ὁ ἀόριστος ἔτυψα, ὁ δεύτερος ἔτυπον. ὁ μέσος ἐτυπόμην. ἡ μετοχὴ ὁ τυπόμενος. ὁ κανὼν· πᾶν παθητικόν.

## Μέλλων πρῶτος.

Τύπτω, ὁ μέλλων τύψω, ὁ παρακείμενος τέτυφα. ὁ παθητικὸς τέτυμμαι. ὁ ἀόριστος ἐτύφθην, ἐτύφθης, ἐτύφθη. καὶ ὁ μέλλων πρῶτος τυφθήσομαι. καὶ ἡ μετοχὴ ὁ τυφθησόμενος. ὁ κανὼν· πᾶν παθητικόν.

## Μέλλων δεύτερος.

Τύπτω, ὁ μέλλων τύψω, ὁ ἀόριστος ἔτυψα, ὁ δεύτερος ἔτυπον. ὁ παθητικὸς ἐτύπην, ἐτύπης, ἐτύπη. καὶ ὁ μέλλων δεύτερος τυπήσομαι. καὶ ἡ μετοχὴ ὁ τυπησόμενος. ὁ κανὼν· πᾶν παθητικόν.

## Μέσος μέλλων πρῶτος.

Τύπτω, ὁ μέλλων τύψω, καὶ ὁ μέσος μέλλων πρῶτος τύψομαι. καὶ ἡ μετοχὴ ὁ τυψόμενος. ὁ κανὼν· πᾶν παθητικόν.

## Μετ' ὀλίγον μέλλων.

Τύπτω, ὁ μέλλων τύψω, ὁ παρακείμενος τέτυφα. ὁ παθητικὸς τέτυμμαι. τὸ δεύτερον τέτυψαι. καὶ ὁ μετ' ὀλίγον μέλλων τετύψομαι. καὶ ἡ μετοχὴ ὁ τετυψόμενος. ὁ κανὼν· πᾶν παθητικόν.

Ῥῆμα ὁριστικὸν ἐνεργητικὸν ἁπλοῦν πρωτότυπον συζυγίας πρώτης τῶν βαρυτόνων.

Rª. orthogra.

θλίβω
τρίβω
λήβω
ἀμείβομαι
ἀπαμείβομαι

Λείβω, ποίου εἴδους; πρωτοτύπου. ποίου σχήματος; ἁπλοῦ. τὸ λει δίφθογγον. τῶν εἰς βω ληγόντων ῥημάτων καὶ ἐνεργητικῶς καὶ παθητικῶς γραφομένων θλίβω μὲν καὶ τρίβω διὰ τοῦ ι γράφονται. λήβω δὲ ἄχρηστον διὰ τοῦ η, ἀφ' οὗ ἐν χρήσει τὸ λήψομαι καὶ ἔλαβον. καὶ ἕτερα μετὰ προθέσεως. ἀμείβομαι δὲ ὁ (scribitur) χωρὶς μὲν προθέσεως παθητικῶς γράφεται πλὴν τῆς ἀπὸ, ὡς παρ' Ὁμήρῳ· τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων. μετὰ δὲ ἄλλης προθέσεως ἐνεργητικῶς, οἷον διαμείβω, μεταμείβω, παραμείβω. στείβω τὸ περιπατῶ. λείβω καὶ εἴβω διὰ τῆς ε καὶ ι διφθόγγου. καὶ ἄλλως ὅσα ῥήματα ἐν κινήσεσιν εὑρίσκονται γυμνῶν τα τοῦ ο τὸ ε προέχον· οἷον λέγω ὅτι λόγος, νέμω ὅτι νόμος, ἀμεί

Homerus

Homer⁹

Rª orthogra.



De ἀμείβομαι verbo quando active, quando passive declinatur notanda

:. s. ὁ κανών. potest etiam legi ὁ. καὶ ι. ut sit expositio ex quibus litteris constet diphthongus in λοιβα

βω ὅτι ἀμοιβή. λείβω ὅτι λοιβὴ ἡ διὰ ὑγρῶν θυσία. ὁ μέσος παρακείμενος λέλοιβα. τὸ λοι δίφθογγον ὃ καὶ ι. παραλήγουσαν δὲ τὴν αὐτὴν ἔχει ὁ παρακείμενος τῷ μέλλοντι. ὁ δεύτερος ἀόριστος ἔλιβον. πόθεν ἔχει τὸ β ἀπὸ τοῦ μέσου παρακειμένου. τὸ λι. ἔτι δὲ καὶ ἀπὸ μὲν βαρυτόνων θεμάτων. καὶ ἄλλως τὰ ἐπὶ τοῦ ἐνεστῶτος διὰ τῆς ει διφθόγγου γραφόμενα ἐπὶ τοῦ δευτέρου ἀορίστου διὰ τοῦ ι ἐκφέρονται. ὅσα δὲ ἐπὶ τοῦ ἐνεστῶτος ἔχει μὲν τὴν ει δίφθογγον ἢ τὸ ε. ἔχει δὲ καὶ ἀμετάβολον ἢ πρὸ αὐτῶν οὐ μὴν ἀρκτικὸν ἢ μόνον. ἀλλ᾽ ὑποτεταγμένον ἑτέρῳ συμφώνῳ. ἢ μετὰ ταῦτα διὰ τοῦ α τὸν δεύτερον ἀόριστον ἔχει. οἷον σπείρω ἔσπαρον. πλέκω ἔπλακον.

ῥῆμα ὁριστικὸν ἐνεργητικὸν ἁπλοῦν πρωτότυπον συζυγίας δευτέρας τῶν βαρυτόνων.

π λέκω ποίας συζυγίας δευτέρας τῶν βαρυτόνων. ποίου εἴδους πρωτοτύπου. τὸ πλε ψιλόν. ὅσα ῥήματα ἐν κινήσει εὑρίσκονται γεννῶντα τὸ ο. γίνεται γὰρ ἀπὸ τούτου πλόκος καὶ πλόκαμος. ὁ μέλλων πλέξω. ὁ παρακείμενος πέπλεχα. πόθεν ἔχει τὸ χ. ἀπὸ τοῦ μέλλοντος. τὸ γὰρ ξ ἐκ τοῦ κ καὶ σ σύγκειται. τὸ δὲ κ οἰκεῖον τραπῆναι εἰς χ. ὥστε εἰ ὁ μὲν μέλλων διὰ τοῦ ψ. ὁ παρακείμενος διὰ τοῦ φ. εἰ δὲ διὰ τοῦ ξ ὁ μέλλων, ὁ παρακείμενος διὰ τοῦ χ. ὁ δεύτερος ἀόριστος ἔπλακον. ὁ παθητικὸς παρακείμενος πέπλεγμαι.

ῥῆμα ἐνεργητικὸν ὁριστικὸν ἁπλοῦν πρωτότυπον συζυγίας τρίτης τῶν βαρυτόνων.

ἐ λεύθω ποίας συζυγίας τρίτης τῶν βαρυτόνων. σημαίνει δὲ τὸ ἔρχομαι. καὶ ἔστιν ἄχρηστος. καὶ ὁ ἐνεστὼς αὐτοῦ καὶ ὁ παρατατικὸς καὶ ὁ ἐνεργητικὸς παρακείμενος καὶ ὁ παθητικὸς καὶ ἐνεργητικὸς μέλλων καὶ ὁ παθητικός. καὶ ὁ ἀόριστος πρῶτος. ἔχει δὲ ἐν χρήσει μόνον τὸν μέσον παρακείμενον καὶ τὸν δεύτερον ἀόριστον καὶ τὸν μέσον μέλλοντα πρῶτον. ἐπὶ τῷ ε ψιλήν. τὸ ε πρὸ τοῦ λ ἐπὶ τῶν ὑπὲρ δύο συλλαβὰς τῆς τρίτης συλλαβῆς ἢ καθαρευού

*[Left margin notes:]* λέλοιβα — Form. aori. 2. — Reg. singularis. — Quare futur. in ψω faciat praet. in φα & futu. in ξω prae. in χ. — ἐλεύθω — ἐλεύθω no habere in usu praeter mediu prae. pfe. & aoristu. 2.

*[Right margin notes, left page:]* ad differentiam — ἐλεύσομαι ... desit ... scripto



σης ἢ ἀπὸ δασέος ἀντιστοίχου ἀρχομένης ἢ τὸ τ ἢ τὸ γ ἐχούσης ψιλοῦται. οἷον ἔλεος ἔλαφος ἐλεύθω ἐλάτη ὄνομα δένδρου. ἐλεγεῖον εἶδος μέτρου στίχων. ὁ παρατατικὸς ἤλευθον ὡς ἔτυπτον. ὁ παρακείμενος ἤλευκα. τὸ η. ἡ δὲ ἄρχουσα ἐκ τοῦ παρατατικοῦ γίνεται. πόθεν ἔχει τὸ κ. ἐπεὶ ὁ μέλλων διὰ τοῦ σ. ὁ παρακείμενος διὰ τοῦ κ. ἤλευκα ποίας διαλέκτου. κοινῆς. τὸ ἀττικὸν ἐλήλυκα. ὁ κανών. ὅτε τὸ ῥῆμα ἄρχεται ἀπὸ τοῦ α ἢ ε ἢ ο τότε ποιοῦσιν οἱ ἀττικοὶ ἴδιον παρακείμενον. τὰ γὰρ ἀρκτικὰ τοῦ ἐνεστῶτος δύο γράμματα προστιθέασι τῷ κοινῷ παρακειμένῳ. καὶ τὴν τρίτην συλλαβὴν συστέλλουσιν. ἐλεύθω ἤλευκα ἐλήλυκα. ὀρύσσω ὤρυχα ὀρώρυχα. ὁ μέσος παρακείμενος ἤλευθα καὶ ἀττικῶς ἐλήλυθα. πόθεν ἔχει τὸ θ ἐκ τοῦ ἐνεστῶτος. ὁ ἀττικὸς ὑπερσυντέλικος. ὁ ἐνεργητικὸς καὶ ὁ μέσος ἐληλύκειν καὶ ἐληλύθειν. τὸ ε ψιλόν. τὰ ἀττικὰ τὰ ἀπὸ βραχέος ἀρχόμενα ἐν τῷ παρακειμένῳ χρονικῶς μεγεθύνονται ἐν τῷ ὑπερσυντελικῷ. πλὴν τοῦ ἐλήλυκα ἐληλύκειν. καὶ ἐλήλυθα ἐληλύθειν. ὁ δεύτερος ἀόριστος ἤλυθον καὶ κατὰ συγκοπὴν ἦλθον. ὁ μέλλων ἐλεύσω. πόθεν ἔχει τὸ σ. ἡ μὲν πρώτη συζυγία τῶν βαρυτόνων ἔχει τὸ ψ. ἡ δὲ δευτέρα τὸ ξ. ἡ δὲ τρίτη τὸ σ. ἡ τετάρτη ἢ τὸ σ ἢ τὸ ξ. μίγμα γὰρ αὕτη τῆς δευτέρας καὶ τῆς τρίτης. ἡ πέμπτη. τὰ ἀμετάβολα. αἱ καθαρεύουσαι πᾶσαι τὸ σ. ὅθεν καὶ αἱ τῶν εἰς μι ἐπειδὴ ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων γίνονται καὶ αὗται τὸ σ ἔχουσιν. ὁ παθητικὸς παρακείμενος ἤλευσμαι καὶ ἐλήλυσμαι. ὁ προστακτικὸς δεύτερος ἀόριστος ἔλυθε. καὶ κατὰ συγκοπὴν ἐλθέ. ὁ τόνος ἐπὶ τῆς ληγούσης. σεσημείωται ἐν τοῖς τοιούτοις προστακτικοῖς τρία μόνα ὀξυνόμενα ἐν τῇ κοινῇ συνηθείᾳ. τὸ εἰπέ ἐλθέ εὑρέ. ἐν τῇ κοινῇ συνηθείᾳ εἴπομεν. διότι οἱ ἀττικοὶ καὶ ἄλλα τινὰ ὀξύνουσιν. οἷον ἰδέ λαβέ καὶ ἕτερα.

Συζυγία τετάρτη τῶν βαρυτόνων.

ὀ ρύσσω ποίας συζυγίας τετάρτης τῶν βαρυτόνων. πρωτότυπόν ἐστιν ἢ παράγωγον. παράγωγον καὶ πόθεν γίνεται ἐκ τοῦ ὄρω τὸ διεγείρω γίνεται ὀρούω τὸ ὁρμῶ. καὶ ἀπὸ τοῦ



*[Margin notes, right page:]* Ra. ortho. ἐλάτη — ἰδέ. Repetit Regl. ... — ἐλήλυκα — De Attico paracimeno — ἐλήλυθα ἐληλύθειν — Ra. notanda — ἤλυθον ἦλθον — N. De 4 coniuge. — Omnia in ω. pure. σ. habet in futuro — ὀρύω τὸ ὁρμῶ — πῶς; — εἰπέ ἐλθέ εὑρέ ἰδέ λαβέ κοιν. ἀττικ.

Quartu coniugatione cimnu esse ex secunda & tertia

τοῦ ὀρούσσω καὶ ἐκβολῇ τοῦ μέσου ὁ ὀρύσσω· λαμβάνει δὲ καὶ ἕτερον σ̄. διότι τὸ ἐν μέλλοντος ἐστὶ χαρακτηριστικόν· τὸ ρυ ψιλὸν ὁμοίως· καὶ ἄλλως· τίνα διὰ τοῦ υσσω ῥήματα· ἰστέον ὅτι οὐδέποτε πρὸ τῶν δύο σσ εὑρίσκεται δίφθογγον πλὴν τοῦ λεύσσω ἐπὶ τοῦ ἐνεστῶτος· καὶ κραύσσων· ταῦτα γὰρ διὰ δύο σσ ἐκφερόμενα κοινῶς καὶ ποιητικῶς οὕτω γράφονται. ἀττικῶς δὲ διὰ δύο ττ· οἷον θάλαττα· γλῶττα ὀρύττω· τὸ ρυ βραχύ· τὰ διὰ δύο σσ ἐκφερόμενα παράγωγα ῥήματα εἰ ἔχει πρὸ τοῦ τέλους δίχρονον συσταλεῖ αὐτό· ὁ παρακείμενος ὤρυχα· καὶ ἀττικῶς ὀρώρυχα ὁ μέσος ὤρυγα καὶ ὀρώρυγα· πόθεν ἔχει τὸ γ̄. ὅτε ὁ ἐνεστὼς διὰ δύο σσ καὶ ὁ μέλλων διὰ τοῦ ξ τότε ὁ μέσος παρακείμενος διὰ τοῦ γ̄· πήσσω πήξω πέπηγα· πλήσσω πλήξω πέπληγα· ὀρύσσω ὀρύξω ὤρυγα· ὁ ὑπερσυντέλικος ὠρύγειν καὶ ἀττικῶς ὠρωρύγειν· τὸ ω μέγα· τὰ ἀττικὰ τὰ ἀπὸ βραχέος ἀρχόμενα ἐν τῷ παρακειμένῳ· ὁ μέλλων ὀρύξω· πόθεν ἔχει τὸ ξ· τὰ διὰ δύο σσ ἐκφερόμενα ἐπὶ τοῦ μέλλοντος ὡς ἐπὶ τὸ πλεῖστον μὲν τὸ ξ ἔχει· σπανίως δὲ καὶ εἰς σ̄· οἷον λεύσσω λεύσω πάσσω πάσω πλάσσω πλάσω ἀφ᾽ οὗ πλάσμα.

Συζυγία πέμπτη τῶν βαρυτόνων.

Σπείρω ποίας συζυγίας πέμπτης τῶν βαρυτόνων· πρωτότυπόν ἐστιν ἢ παράγωγον· παράγωγον· πόθεν γίνεται παρὰ τὸ σπῶ τὸ σπαράσσω· σπωμένη γὰρ ἡ γῆ δέχεται τὸν σπόρον· τὸ σπει δίφθογγον· τίνα διὰ τοῦ ειρω ῥήματα διὰ τῆς ει διφθόγγου γράφονται· ταῦτα φθείρω σπείρω κείρω τὸ κόπτω· ἀγείρω τὸ συναθροίζω· ἐγείρω τὸ ἀνιστῶ· εἴρω τὸ λέγω ψιλούμενον· καὶ εἴρω τὸ συμπλέκω δασυνόμενον ἀφ᾽ οὗ εἱρμός· καὶ ἄλλως ὅσα ῥήματα ἐν κινήσεσιν εὑρίσκονται· ὁ παρακείμενος ἔσπαρκα διὰ τί οὐκ ἀναδιπλασιάζεται διότι ἀπὸ μακρᾶς ἄρχεται ὁ παρατατικός· ἐὰν γὰρ ἀπὸ μακρᾶς ἄρχηται ὁ παρατατικὸς φύσει ἢ θέσει ἀπὸ τῆς αὐτῆς ἄρχεται καὶ ὁ παρακείμενος. ὁ ἀόριστος ἔσπειρα. τὸ σπει δίφθογγον εἰ περισπῶ τὸ ὁ μέλλων

σσ· quare in futuro & nō unu σ̄.

ᾗ τα

ττ. σσ

Regulam nota de præ· med· quando h̄t γ·

ὠρωρύγειν

πλάσσω· μέλλ· πλάσω· ὅθεν πλάσμα

σπῶ σπαράσσω

Rª· orthogr·

Regula de formatione præ·

εἱρμός



καὶ τὴν παραλήγουσαν αὐτοῦ ἐκτείνει ὁ ἀόριστος· καὶ εἰ μὲν διὰ τοῦ α ὁ μέλλων τροπῇ τούτου εἰς η· οἷον ψαλῶ ἔψηλα· εἰ δὲ διὰ τοῦ ε προσλήψει τοῦ ι· οἷον σπερῶ ἔσπειρα· ἀνατελῶ ἀνέτειλα· ὁ δεύτερος ἀόριστος ἔσπαρον· ὁ μέλλων σπερῶ· ὁ κανών· ἡ πέμπτη συζυγία τὰ ἀμετάβολα τηρεῖ μετὰ συστολῆς τῆς παραληγούσης καὶ περισπωμένης ἐπὶ τοῦ τέλους· ὁ παθητικὸς παρακείμενος ἔσπαρμαι· τὸ ἰωνικὸν ἐν τῷ τρίτῳ τῶν πληθυντικῶν ἐσπάραται· καὶ ἐπὶ τοῦ ὑπερσυντελίκου ἐσπάρατο.

Συζυγία ἕκτη τῶν βαρυτόνων.

Ἀκούω ποίας συζυγίας ἕκτης τῶν βαρυτόνων· πόθεν γίνεται παρὰ τὸ α στερητικὸν μόριον καὶ τοῦ κῶ τὸ κοιμῶμαι· οἱ γὰρ ἀκούοντες οὐ κοιμῶνται· τὸ α βραχύ· τὸ στερητικὸν α ἀεὶ ἐν συστολῇ παραλαμβάνεται· ἐπὶ τῷ ἀψιλὴν τὸ στερητικὸν α ψιλοῦται· ἀκοή ἄκμων ἀκόνη ἀκούω· ὁ παρακείμενος ἤκουκα καὶ ἀττικῶς ἀκήκοκα· ὁ μέσος ἤκουα καὶ ἀττικῶς ἀκήκοα· διὰ τί καθαρὸν ἔχει τὸ α· διότι καὶ ὁ ἐνεστὼς διὰ καθαροῦ τοῦ ω ἐκφέρεται.

Συζυγία πρώτη τῶν περισπωμένων.

~~Ποιῶ πρωτότυπόν ἐστιν ἢ παράγωγον· παράγωγον· καὶ πόθεν γίνεται ἀπὸ τοῦ πονῶ ἐκβολῇ τοῦ ν καὶ προσλήψει τοῦ ι· ποιῶ~~ ποίας συζυγίας πρώτης τῶν περισπωμένων· τούτου τὸ ἐντελὲς ποιέω ὅπερ ἐστὶ συζυγίας ἕκτης τῶν βαρυτόνων· ποιέω τὸ ε ψιλόν· τὰ διὰ τοῦ εω ῥήματα· τὸ δεύτερον ποιέεις καὶ τὸ συνῃρημένον ποιεῖς· ὁ μέσος παρακείμενος οὐ ποιεῖ· ἐπὶ τῶν περισπωμένων συζυγιῶν σπανίως εὑρίσκονται οἱ μέσοι παρακείμενοι καὶ οἱ δεύτεροι ἀόριστοι· καὶ ὅταν δὲ εὑρεθῶσιν ἐλαττοῦνται, ὁ μὲν τοῦ ἐνεργητικοῦ παρακειμένου· ὁ δὲ τοῦ πρώτου ἀορίστου συλλαβῇ μιᾷ· οἷον λελάκηκα λέλακα· ὠλίσθησα ὤλισθον· ὁ παθητικὸς παρακείμενος πεποίημαι. τὸ τρίτον τῶν πληθυντικῶν πεποίηνται· καὶ τὸ ἰωνικὸν πεποιέαται· ὁ κανὼν καὶ τοῦτο ἀπὸ τοῦ τρίτου γέγονε τῶν ἑνικῶν τροπῇ τοῦ η εἰς ε καὶ πλεονασμῷ τοῦ α· πᾶν γὰρ τρίτον ἑνικὸν ἐπὶ τοῦ παθητικοῦ παρακειμένου ἔχον πρὸ τοῦ τ ἢ φωνῆεν ἢ σύμφωνον ἀμετάβολον

Regª Singu· de for· aorist· a

Verbū · 5 · coniu· circū· & breui penul.

ἐσπάραται ἐσπάρατο

α στερητικὸν μόριον

Rª ortho· & quanti·

Cur præ· me · 6 · coniuga · p puritatem·

hic debebat seq· p deleta est

De præ· p· me· & aor · 2 · m · cn

λελάκηκα λακέω ω̄

De 3ª persona plurali Ionica notandu

πρὸ αὐτοῦ τὸ α προσλαμβάνον· καὶ ἔστι μακρὸν ἐστι τὸ φω-
νῆεν τρέπον αὐτὸ ἐς βραχὺ τὸ τρίτον πρόσωπον τῶν πλη-
θυντικῶν ποιεῖ ἰωνικῶς· τὸ ἐνεργητικὸν ἀπαρέμφατον ποιέ-
ειν ποιεῖν· καὶ ὁμοίως ὁ ποιέω ποιῶ ποιέεις ποιεῖς ποιέει ποι-
εῖ· καὶ τὸ ἀπαρέμφατον ποιέειν ποιεῖν. ὁ κανών. οἱ ὁριστικοὶ
ἐνεργητικοὶ ἐνεστῶτες πάντες ὅ, τε εὐκτικὸς παθητικὸς πα-
ρακείμενος πεποίημαι· καὶ ὁμοίως ποιέω ποιῶ. ὁ μέλλων
ποιήσω ὁ παρακείμενος πεποίηκα. ὁ παθητικὸς πεποί-
ημαι καὶ τὸ εὐκτικὸν πεποιήμην. ὁ κανών. πᾶν παθητικὸν
ἢ μέσον ὅτε γὰρ καθαρὰν ἔχει τὴν ἐσχάτην ὁ παθητικὸς
παρακείμενος τῷ κοινῷ κανόνι τὸ εὐκτικὸν ποιεῖ. πεποίη-
μην τὸ η δίφθογγον καταχρηστικῶς καὶ τὸ η μετὰ τοῦ προς-
γεγραμμένου ι δίφθογγος ἐστίν ὁ ὑποτακτικὸς παθητι-
κὸς παρακείμενος ἐὰν πεποιῶμαι· καὶ ὁμοίως ποιέω ποιῶ
ὁ μέλλων ποιήσω. ὁ παρακείμενος πεποίηκα. ὁ παθητι-
κὸς πεποίημαι· καὶ τὸ ὑποτακτικὸν ἐὰν πεποιῶμαι. ὁ κα-
νὼν ἐπειδὴ ὁ παθητικὸς παρακείμενος οὐκ ἔχει σύμφω-
νον πρὸ τοῦ μ ἐνταῦθα ἀκωλύτως ποιεῖ ὑποτακτικὸν ἀ-
πὸ τοῦ ποιῶ ἐνεστῶτος μετὰ ἀναδιπλασιασμοῦ· καὶ προς-
λήψει τῆς μαι συλλαβῆς. τὸ δεύτερον ἐὰν πεποιῇ· καὶ ὤφει-
λεν εἶναι ἐὰν πεποιήκῃ ἵνα ἀπὸ τοῦ τρίτου τοῦ ἐνεργητικοῦ
δεύτερον παθητικὸν γένηται· ἀλλ' ἐπὶ τῶν περισπωμένων
καὶ τῶν εἰς μι τὸ τρίτον πρόσωπον τοῦ παθητικοῦ παρα-
κειμένου ἀποκοπὴ τῆς τελευταίας συλλαβῆς δεύτερον
παθητικὸν γίνεται.

Συζυγία δευτέρα τῶν περισπωμένων.

Βοῶ ποίας συζυγίας δευτέρας τῶν περισπωμένων
τὸ ἐντελὲς αὐτοῦ βοάω· τὸ δεύτερον βοάεις καὶ τὸ συ-
νῃρημένον βοᾷς. τὸ α καὶ ε εἰς α μακρὸν κιρνᾶται. τὸ δὲ ι προς-
γράφεται. βοάω τὸ α βραχὺ. τὰ παραλήγοντα φωνήεντα
ἐστὶ τῶν ἐντελῶν τῶν περισπωμένων συζυγιῶν ἀεὶ βραχέα
εἰσὶ. τὸ ο μικρόν. τὰ εἰς ο καθαρὸν ῥήματα δισύλλαβα ἢ
τρισύλλαβα περισπώμενα· εἰ διὰ τοῦ ο τὴν παραλήγουσαν
ἔχουσι διὰ τοῦ ο μικροῦ θέλουσιν αὐτὴν ἔχειν· οἷον βοῶ νοῶ ἀ-
γνοῶ ἀλοῶ τὸ συντρίβω καὶ τύπτω ἀφ' οὗ πατραλοίας ὁ

πεποίημαι — Form. præ. p. pass. in optati. & subiuncti.

ea omne optatiuū debet in[illegible] nul. habere diphth.

πεποιῶμαι

Regulā nota de forma 2æ psonæ subiu. pass.

α. ε. ᾳ. in ᾱ

Regula qntit. #

Rª orthogr.

# Videtur contradicere theodorus in γ̄. ἐπὶ τὰ εἰς αω πρὸ τοῦ α ἢ φωνῆεν ἢ τὸ ρ, συλλαβιζόμενον μακρὰ παραλήγει ἐάω πειράω εἰ δὲ μὴ βραχυπαραλήγει, ἐλάω γελάω. astipulatur theodoro Technicus in ā τοῦ βοάω. dices pōm acutū ga longa ante longā non circumflectatur.

Ἐντελῶν. pfecta uocat. ut βοάω. cōtractū ut βοᾶς. βοᾶ Rº

αν legendū ἐνεργητικοῦ



τὸν πατέρα τύπτων καὶ μητραλοίας ὁ τὴν μητέρα τύπτων.
πλὴν τοῦ ζωῶ καὶ ἀθωῶ. τὸ τρίτον τῶν πληθυντικῶν βοάου-
σι· καὶ τὸ συνῃρημένον βοῶσι· ὁ μέλλων βοήσω. τὸ η ἡ δευ-
τέρα συζυγία τῶν περισπωμένων ἐπὶ τοῦ μέλλοντος θέ-
λει ἔχειν τὸ η ἢ τὸ α. οἷον βοῶ βοήσω· γελῶ γελάσω. τὸ ἀπα-
ρέμφατον βοάειν· καὶ τὸ συνῃρημένον βοᾶν μετὰ τοῦ προσ-
γεγραμμένου ι. ἐφ' ὧν γὰρ τὰ ἐντελῆ τὸ ι ἔχουσι· καὶ τὰ συνῃ-
ρημένα αὐτῶν ἐξ ἀνάγκης αὐτὸ ἔχουσι. τὸ ἐνεργητικὸν εὐκτι-
κὸν βοάοιμι· καὶ τὸ συνῃρημένον βοῷμι· τὸ τρίτον βοάοι
βοῷ. τὸ ὑποτακτικὸν ἐὰν βοάω ἐὰν βοῶ. τὸ δεύτερον ἐὰν βο-
άῃς ἐὰν βοᾷς· καὶ ὤφειλεν εἶναι ἐὰν βοῇς ἀλλ' ἡ δευτέρα συ-
ζυγία τῶν περισπωμένων ὁμοίως τοῖς ὁριστικοῖς κλίνει
καὶ τὰ ὑποτακτικά. τὸ παθητικὸν ἐὰν βοάωμαι ἐὰν βοῶ-
μαι. τὸ δεύτερον ἐὰν βοάῃ ἐὰν βοᾷ. τὸ τρίτον ἐὰν βοάηται
ἐὰν βοᾶται.

Συζυγία τρίτη τῶν περισπωμένων.

Χρυσῶ ποίας συζυγίας τρίτης τῶν περισπωμένων.
τὸ ἐντελὲς αὐτοῦ χρυσόω. τὸ δεύτερον χρυσόεις καὶ
τὸ συνῃρημένον χρυσοῖς· καὶ ὤφειλεν εἶναι χρυσοῦς. τὸ γὰρ
ο καὶ ε εἰς τὴν ου δίφθογγον κιρνᾶται. ἀλλὰ ἀποβάλλεται τὸ
ε καὶ κιρνᾶται τὸ ο καὶ ι εἰς τὴν οι δίφθογγον. ἐπὶ γὰρ τῶν δευ-
τέρων καὶ τρίτων προσώπων τῶν εἰς ω συζυγιῶν δί-
φθογγος θέλει εἶναι διὰ τοῦ ι. τὸ ἐνεργητικὸν ὑποτακτικὸν ἐὰν
χρυσόω ἐὰν χρυσῶ. τὸ δεύτερον ἐὰν χρυσόῃς ἐὰν χρυσοῖς
καὶ ὤφειλεν εἶναι διὰ τοῦ η. ἀλλὰ καὶ ἡ τρίτη τῶν περισπω-
μένων ὁμοίως τῇ δευτέρᾳ ὥσπερ κλίνει τὰ ὁριστικὰ οὕτω
κλίνει καὶ τὰ ὑποτακτικά. τὸ ὑποτακτικὸν παθητικὸν ἐὰν
χρυσόωμαι ἐὰν χρυσῶμαι. τὸ δεύτερον ἐὰν χρυσόῃ ἐὰν χρυ-
σοῖ. τὸ τρίτον ἐὰν χρυσόηται ἐὰν χρυσοῦται. ὁμοίως τοῖς
τοῦ βοῶ παθητικοῖς ὑποτακτικοῖς.

Ῥῆμα ὁριστικὸν ἐνεργητικὸν ἁπλοῦν παράγωγον συζυγίας
πρώτης τῶν εἰς μι.

Τίθημι ποίου μέρους λόγου ἐστὶ ῥήματος. ποίου εἴδους
παραγώγου. πόθεν παράγεται ἀπὸ τοῦ θῶ ὁ κατὰ
ἀναδιπλασιασμὸν γίνεται τιθῶ· καὶ διὰ τὴν ἐπαλληλίαν

ζωῶ. ἀθωῶ

Regula singularis

.: qa debet habere n. subiunctiuus [illegible]

Regulam nota

Notandū

θῶ. θιθῶ. τιθῶ

γὰρ ὁ δεύτερος ἀόριστος φυλάττει τὴν παραλήγουσαν
αὐτοῦ ἐν τοῖς πληθυντικοῖς· ἐπειδὴ τὰ ἑνικὰ αὐτοῦ οὐχ
εὕρηνται ἐν χρήσει ὧν τὴν λήγουσαν ἤθελεν ἔχειν ἐπὶ τῆς πα
ραληγούσης, οἷον ἔστην ἔστημεν· ἔγνων ἔγνωμεν· συστέλλεται
κατὰ τὴν ἀναλογίαν τῶν πληθυντικῶν τοῦ παρατατι-
κοῦ κλινόμενον· κατὰ τοῦτον τὸν λόγον κλίνεται καὶ τὸ ἔ-
δων ἔδομεν· καὶ ἧν ἧμεν· ὃ σημαίνει τὸ ἐπέμψαμεν.

μέλλων πρῶτος.

Τίθημι ὁ μέλλων θήσω· ὁ κανών· τὰ εἰς μι τρέποντα τὴν
μι εἰς σω καὶ τὸν ἀναδιπλασιασμὸν ἀποβάλλοντα μέλ
λοντα ποιεῖ.

ὁριστικὰ παθητικὰ ἐνεστώς.

Τίθημι καὶ τὸ παθητικὸν τίθεμαι· ὁ κανών· τὰ εἰς μι τρέ-
ποντα τὴν μι εἰς μαι καὶ τὴν παραλήγουσαν συστέλλον-
τα πρὸς τὴν παραλήγουσαν τῶν πληθυντικῶν ἐνεργητι
κῶν παθητικὰ γίνονται· τὸ δεύτερον τίθεσαι· ὁ κανών· ὅ-
σα τῶν ~~πληθυντικῶν~~ ἔχει τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ
ὀξύτονον, ταῦτα τροπῇ τοῦ κατὰ τὸ τρίτον τ εἰς σ τὸ δεύ
τερον ποιεῖ.

παρατατικός.

Τίθημι καὶ τὸ παθητικὸν τίθεμαι· καὶ ὁ παρατατικὸς ἐ-
τιθέμην· ὁ κανών· πᾶς ἐνεστὼς παθητικὸς τρέπων τὴν μαι
εἰς μην· τὸ δεύτερον ἐτίθεσο· ὁ κανὼν ἐκ τοῦ τρίτου γεγο-
μένῃ τροπῇ τοῦ τ εἰς σ.

παρακείμενος.

Τίθημι ὁ μέλλων θήσω· ὁ παρακείμενος τέθεικα· ὁ παθη-
τικὸς τέθειμαι· ὁ κανὼν ἐκ τοῦ τρίτου γίνεται· καὶ ὤφειλεν
ἔχειν τὴν παραλήγουσαν βραχεῖαν· ἀλλ' ἐπεὶ ἐνήλλαξαν αὐ-
τὴν ἐπὶ τοῦ ἐνεργητικοῦ παρακειμένου οἱ βοιωτοὶ φυλάττεται
καὶ ἐπὶ τοῦ παθητικοῦ ἡ αὐτὴ καὶ οὐκ ἔτι συστέλλεται κα-
τὰ τὰ εἰς μι.

ὑπερσυντέλικος.

Τίθημι ὁ μέλλων θήσω· ὁ παρακείμενος τέθεικα· ὁ παθη-
τικὸς τέθειμαι· ὁ ὑπερσυντέλικος ἐτεθείμην· ὁ κανών· πᾶς

Non esse in usu ἔθην· ἔθων ἧν. in singulari. Hoc ipsum technicus

ἀλλὰ

οἱ παθητικῶν ex Technico

secundum iuxta

ἐτίθεσο nihil dicit de ἐτίθου lege technicum N.

Cur τέθειμαι non τέθεμαι



παθητικὸς παρακείμενος τρέπων τὴν μαι εἰς μην.

ἀόριστος πρῶτος.

Τίθημι ὁ μέλλων θήσω· ὁ παρακείμενος τέθεικα· ὁ παθητι
κὸς τέθειμαι· ὁ ἀόριστος ἐτέθην· καὶ ὤφειλεν ἔχειν τὴν πα-
ραλήγουσαν διὰ διφθόγγου· ἀλλ' ἐπεὶ ὁ παθητικὸς ἀόρι-
στος τῶν εἰς μι βραχεῖαν θέλει παραλήγεσθαι· δεύτερος
ἀόριστος ἐν τοῖς παθητικοῖς τῶν εἰς μι οὐκ ἔστι διότι τὴν
κατάληξιν αὐτοῦ προϋφήρπασαν οἱ ἐνεργητικοὶ δεύτε-
ροι ἀόριστοι.

μέσος ~~μέλλων~~

ὁ μέσος ἐθηκάμην ὡς ἐτυψάμην.

ἀόριστος δεύτερος.

Τίθημι ὁ μέλλων θήσω· ὁ δεύτερος ἀόριστος ἔθην· ὁ μέσος
ἐθέμην· ὁ κανὼν ἐν τοῖς εἰς μι ὁ εἰς θην δεύτερος ἀόριστος
ἐνεργητικὸς προσλαβὼν τὸ εν μέσον ποιεῖ· τὸ δεύτερον
ἔθεσο καὶ ἔθου ἐκβολῇ τοῦ σ, καὶ κράσει τοῦ ε καὶ ο εἰς τὴν ου
δίφθογγον· ὁ μέλλων πρῶτος τεθήσομαι ὡς τυφθήσομαι.
ὁ μέσος μέλλων πρῶτος θήσομαι ὡς τύψομαι· ὁ μετ' ὀ-
λίγον μέλλων τεθείσομαι ὡς τετύψομαι.

ἀπαρέμφατα ἐνεργητικὰ ἐνεστώς.

Τίθημι καὶ ὁ παρατατικὸς ἐτίθην· ἡ μετοχὴ ὁ τιθεὶς τοῦ τι
θέντος καὶ τὸ ἀπαρέμφατον τιθέναι· ὁ κανών· πᾶς ἐνεστὼς
ἐνεργητικὸς τῶν εἰς μι κατὰ τὸ τρίτον αὐτοῦ πρόσωπον
τῶν πληθυντικῶν τρέπων τὴν μεν εἰς ναι τὸ ἀπαρέμφα
τον ποιεῖ· τίθεμεν τιθέναι· δίδομεν διδόναι· ἵσταμεν ἱστά-
ναι· ζεύγνυμεν ζευγνύναι· καὶ ἄλλως πᾶσα μετοχὴ εἰς σ ὀξύ
τονος διὰ τοῦ ντ κλινομένη εἰς ναι ποιεῖ τὸ ἀπαρέμφα-
τον· ὁ παρακείμενος τεθεικέναι ὡς τετυφέναι· ὁ πρῶτος
ἀόριστος οὐ ποιεῖ· ὅσοι ἐνήλλαξαν τὸ χαρακτηριστικὸν τοῦ
μέλλοντος σύμφωνον ἀόριστοι οὐ κλίνονται μετὰ τὰ ὁριστι-
κά· πλὴν τοῦ εἶπα καὶ ἤνεγκα· ἀπὸ γὰρ τοῦ εἶπα ὁ εἶπας
ποιητικῶς καὶ ἀπειπάμην καὶ ἀπείπασο ἐπὶ προστακτι
κοῦ· ἀπὸ δὲ τοῦ ἤνεγκα ὁ ἔνεγκαι μέσος προστακτικός.
ὁ δεύτερος ἀόριστος θεῖναι· καὶ ὤφειλεν εἶναι θέναι· ἀλλὰ τὰ

μέσος

R. pulchra de aor. 2. pass. ds. μι

Secundus aoristus passivus deest & cur

ἔθεσο. καὶ ἔθου. hic contrahit. in paratat. non cōt

Regula de formatione praes. infini.

Pulchrum et notandum εἶπα ἤνεγκα

praeter regulam 93 paulo post subdit

imperativa in θι. & infinitiva in ναι volunt fuere penultima proprij praeteriti temporis in prima persona plurali

Non declinari extra indicativum ἔθηκα & cur.

Regula

στα θὶ προστακτικὰ καὶ τὰ εἰς ναι ἀπαρέμφατα ἀορίστου ὄντα φύσει μακρὰ παραλήγονται.

Ἀπαρέμφατα παθητικὰ ἐνεστῶτος.

Τίθημι καὶ τὸ παθητικὸν τίθεμαι τίθεσαι τίθεται. καὶ τὸ ἀπαρέμφατον τίθεσθαι. ὁ παρακείμενος τεθεῖσθαι. ὁ ἀόριστος τεθῆναι. ὁ μέσος δεύτερος ἀόριστος θέσθαι. ὁ μέλλων πρῶτος τεθήσεσθαι. ὁ μέσος μέλλων πρῶτος θήσεσθαι. ὁ μετ᾽ ὀλίγον μέλλων τεθείσεσθαι ὡς τετύψεσθαι.

Προστακτικὰ ἐνεργητικὰ ἐνεστῶτος καὶ παρατατικός.

Τίθημι καὶ ὁ παρατατικὸς ἐτίθην. ἡ μετοχὴ ὁ τιθεὶς τοῦ τιθέντος καὶ τὸ προστακτικὸν τίθετι. ὁ κανών. πᾶσα μετοχὴ εἰς ς ὀξύτονος. ἰστέον δὲ ὅτι τῶν εἰς μι τὰ προστακτικὰ τῶν ἐνεστώτων βραχεῖα παραλήγονται. πλὴν τοῦ δίδωθι παρ᾽ Ὁμήρῳ. ὡς τὸ δίδωθι δ᾽ ἐμοὶ κλέος ἐσθλόν. ὅπερ ἐξετάθη διὰ τὸ μέτρον. τὸ θὲ ψιλὸν αἱ μετοχαὶ συστέλλουσιν. ἰστέον δὲ ὅτι ἐπὶ τῶν εἰς μι τὰ προστακτικὰ τοῦ ἐνεστῶτος ἀπὸ τῶν πρωτοτύπων κανονίζονται παρὰ τοῖς κοινοῖς. οἷον ἀπὸ τοῦ ἐτίθεε ἐτίθει. τίθει. καὶ ἀπὸ τοῦ ἵσταε ἵστα. ἵστα. καὶ ἀπὸ τοῦ ἐδίδου δίδου. ὁ πρῶτος ἀόριστος οὐ ποιεῖ ὡς εἴπομεν.

*.i. Quere Reg. 3 .s. in τύφθητι* — *Δίδωθι* — *Homer.* — *τίθει ἵστα δίδου*

*Et nota modū loquendi* — *.i. regula ... & Sunt in usu* [?]

Ἀόριστος δεύτερος.

Τίθημι ὁ μέλλων θήσω. ὁ δεύτερος ἀόριστος ἔθην. ἡ μετοχὴ ὁ θεὶς τοῦ θέντος. καὶ τὸ προστακτικὸν θές. ὁ κανὼν πᾶσα μετοχὴ εἰς ς ὀξύτονος. καὶ ὤφειλεν εἶναι θέτι. ἀλλ᾽ ἐπειδὴ ὁ κανὼν λέγει ὅτι τὰ εἰς θι προστακτικὰ καὶ τὰ εἰς ναι ἀπαρέμφατα ἀορίστου ὄντα φύσει μακρὰ παραλήγονται. ἕτερος δὲ ὅτι τὰ εἰς θι προστακτικὰ καὶ τὰ εἰς ναι ἀπαρέμφατα τὴν παραλήγουσαν θέλει φυλάττειν τοῦ ἰδίου ὁριστικοῦ πρώτου προσώπου τῶν πληθυντικῶν. ἦν δὲ ἐνταῦθα ἡ παραλήγουσα τῶν πληθυντικῶν βραχεῖα. διὰ τὸ μίαν μὲν οὖν ἀκολουθίαν ἀπαιτεῖν τὴν παραλήγουσαν μακράν. ἑτέραν δὲ βραχεῖαν συνεκόπη καὶ ἐγένετο θές. τοιοῦτον συνέβη καὶ ἐπὶ τοῦ δός καὶ ἕς ἀντὶ τοῦ πέμψον ἐξ οὗ τὸ ἄφες καὶ πρόες. τὸ θὲς ψιλὸν καθόλου τὰ δεύτερα

*θές* — *Regule due inter se repugnantes* — *θές δός ἕς* — *Quere regulā in τύπτε*



*.i. q. d. nō ab ἔθες fit θέσ. Sed tantū ab ἔθου fit θοῦ. hoc et technicus*

πρόσωπα τῶν ~~πληθυντικῶν~~ προστακτικῶν τὸ τρίτον τιθέτω. ὁ κανών. τὰ εἰς θι προστακτικὰ τροπῇ τοῦ θι εἰς τω. εἰ γὰρ καὶ διὰ τὴν εἰπομένην αἰτίαν συνεκόπη. ἀλλ᾽ ὅμως ἀπ᾽ ἐκείνου τὸ τρίτον γίνεται.

Προστακτικὰ παθητικὰ ἐνεστῶτος καὶ παρατατικός.

Τίθημι καὶ τὸ παθητικὸν τίθεμαι. καὶ ὁ παρατατικὸς ἐτιθέμην ἐτίθεσο. καὶ τὸ προστακτικὸν τίθεσο. ὁ κανών. τὸ δεύτερον πρόσωπον τοῦ παθητικοῦ παρατατικοῦ. ὁ παρακείμενος καὶ ὑπερσυντέλικος τέθεισο ὡς τέτυψο. ὁ πρῶτος ἀόριστος τέθητι ὡς τύφθητι.

*τίθεσο in presenti nō τίθου at in medio aor. 2° θοῦ. Hoc & Technicus*

Μέσος ἀόριστος δεύτερος.

Τίθημι ὁ μέλλων θήσω. ὁ δεύτερος ἀόριστος ἔθην. ὁ μέσος ἐθέμην. τὸ δεύτερον ἔθεσο καὶ ἔθου. καὶ τὸ προστακτικὸν θοῦ. τοῦ ἐθέμην καὶ ἐδόμην τὰ δεύτερα ἀκολουθίαν ἔχει καὶ εἰς σο λήγει καὶ εἰς ου ἔθεσο καὶ ἔθου. καὶ ἔδοσο καὶ ἔδου. ἀπὸ γοῦν τοῦ ἔθου καὶ ἔδου ἀποβολῇ τῆς ἀρχούσης τὸ ἴδιον προστακτικὸν γίνεται θοῦ καὶ δοῦ ἀφ᾽ ὧν κατάθου καὶ ἀπόδου [δος?]. τὸ τρίτον θέσθω.

*θοῦ & δοῦ nō θές & δόσ. notandū.*

Εὐκτικὰ ἐνεργητικὰ ἐνεστῶτος καὶ παρατατικός.

Τίθημι καὶ ὁ παρατατικὸς ἐτίθην. ἡ μετοχὴ ὁ τιθεὶς τοῦ τιθέντος. καὶ τὸ εὐκτικὸν τιθείην ὡς τυφθείην. ὁ παρακείμενος τεθείκοιμι.

Ἀόριστος δεύτερος.

Τίθημι ὁ μέλλων θήσω. ὁ δεύτερος ἀόριστος ἔθην. ἡ μετοχὴ ὁ θεὶς τοῦ θέντος. καὶ τὸ εὐκτικὸν θείην. ὁ μέλλων θήσοιμι.

Εὐκτικὰ παθητικὰ ἐνεστῶτος καὶ παρατατικός.

Τίθημι καὶ τὸ παθητικὸν τίθεμαι. καὶ τὸ εὐκτικὸν παθητικὸν τιθείμην. ὁ κανών. πᾶν παθητικὸν ἢ μέσον. ὁ παρακείμενος καὶ ὑπερσυντέλικος τεθείμην. ὁ ἀόριστος πρῶτος τεθείην. ὁ μέσος δεύτερος ἀόριστος θείμην. ὁ μέλλων πρῶτος θησοίμην ὡς τυφθησοίμην. ὁ μετ᾽ ὀλίγον μέλλων τεθεισοίμην ὡς τετυψοίμην.

Ὑποτακτικὰ ἐνεργητικὰ ἐνεστὼς καὶ παρατατικός.

Τίθημι καὶ ὁ παρατατικὸς ἐτίθην. ἡ μετοχὴ ὁ τιθεὶς τοῦ τιθέντος καὶ τὸ ὑποτακτικὸν ἐὰν τιθῶ ὡς ἐὰν τυφθῶ. τὸ δεύτερον ἐὰν τιθῇς ὡς ἐὰν τυφθῇς. καὶ ἄλλως ἐν τοῖς εἰς μι τὰ δεύτερα καὶ τρίτα ὑποτακτικὰ πρόσωπα τῆς μὲν πρώτης συζυγίας διὰ τοῦ η ἐκφέρονται. τῆς δὲ δευτέρας διὰ τοῦ α. τῆς δὲ τρίτης διὰ τοῦ ω μεγάλου. ὁ παρακείμενος ἐὰν τεθείκω. ὁ δεύτερος ἀόριστος ἐὰν θῶ.

Ὑποτακτικὰ παθητικὰ ἐνεστὼς καὶ παρατατικός.

Τίθημι καὶ ὁ παρατατικὸς ἐτίθην. ἡ μετοχὴ ὁ τιθεὶς τοῦ τιθέντος. καὶ τὸ ὑποτακτικὸν ἐὰν τιθῶ. καὶ τὸ ὑποτακτικὸν παθητικὸν ἐὰν τιθῶμαι. ὁ κανών. ὁ ἐνεργητικὸς ἐνεστὼς τῶν ὑποτακτικῶν. ὁ παρακείμενος ἐὰν τεθείκωμαι ἄχρηστος. ὁ πρῶτος ἀόριστος ἐὰν τεθῶ. τίθημι ὁ μέλλων θήσω. ὁ δεύτερος ἀόριστος ἔθην. ἡ μετοχὴ ὁ θεὶς τοῦ θέντος. καὶ τὸ ὑποτακτικὸν ἐὰν θῶ. καὶ τὸ ὑποτακτικὸν παθητικὸν ἐὰν θῶμαι.

Μετοχικὰ ἐνεργητικὰ ἐνεστὼς καὶ παρατατικός.

Τίθημι καὶ ὁ παρατατικὸς ἐτίθην. ἡ μετοχὴ ὁ τιθείς. ὁ παρακείμενος τεθεικώς. ὁ δεύτερος ἀόριστος θείς. ὁ μέλλων θήσων.

Μετοχικὰ παθητικὰ ἐνεστὼς καὶ παρατατικός.

Τίθημι καὶ ὁ παθητικὸς τίθεμαι. καὶ ἡ μετοχὴ ὁ τιθέμενος. τὰ δὲ λοιπὰ κατὰ τὴν ἀκολουθίαν τῶν εἰς ω βαρυτόνων.

Συζυγία δευτέρα τῶν εἰς μι.

Ἵστημι ποίας συζυγίας δευτέρας τῶν εἰς μι. πόθεν γίνεται ἀπὸ τοῦ στάω στῶ. τὸ δὲ ἀπὸ τοῦ στῶ ὁ κατὰ ἀναδιπλασιασμὸν γίνεται ἱστῶ. τὸ ι. πᾶς ἀναδιπλασιασμὸς ἐστὶ τὸ ι δασύνεται. τὸ ι πρὸ τοῦ σ δασύνεται εἰ μὴ συγκοπὴ γένοιτο ἢ ὑποτάσσοιτο αὐτῷ τὸ ρ. οἷον ἴσατε ἴστε ἀντὶ τοῦ γινώσκετε. ἴστρος ὄνομα ποταμοῦ. τὸ τρίτον τῶν πληθυντικῶν ἱστάασιν ἱστᾶσιν ὡς τιθέασιν. ὁ παρα

τιθῶ. ῇς. ῇ. ῶμ.
ἱστῶ. ᾷς. ᾷ. ῶμ.
διδῶ. ῷς. ῷ. ῶμ. Ergo singulae coniugationes suas litteras habent. hoc & Technicus.

τεθείκωμαι ἄχρηστον

ἱστάω. ῶ. στῶ

Regula nota quantita.



κείμενος ἕστακα καὶ ὤφειλεν εἶναι ἕστηκα. ἀλλ᾽ ἵνα μὴ συμπέσῃ τῷ ἀπὸ τοῦ ἑστήκω θέματος παρακειμένῳ. ἐπὶ τῶν ε δασέων. τὸ ε κατὰ τοὺς παρῳχημένους προερχόμενον καὶ ἀποπίπτον ψιλοῦται. εἰ δὲ προέρχεται μὲν οὐκ ἀποπίπτει δὲ ὥσπερ ἐνταῦθα. τὸ πνεῦμα τοῦ ἐνεστῶτος ἔχει. οἷον ἵστημι στήσω ἕστηκα.

Συζυγία τρίτη τῶν εἰς μι.

Δίδωμι ποίας συζυγίας τρίτης τῶν εἰς μι. πόθεν γίνεται ἀπὸ τοῦ διδόω διδῶ. τὸ δι. πᾶς ἀναδιπλασιασμός. τὸ τρίτον τῶν πληθυντικῶν διδόασιν. ὁ κανὼν ὡς τιθέασιν. ὁ παρακείμενος δέδωκα. ὁ δεύτερος ἀόριστος ἔδων ὡς ἔθην. ἰστέον δὲ ὅτι τῆς τρίτης συζυγίας τῶν εἰς μι οἱ ἐνεστῶτες εἰσὶ καὶ εἰσίν. ἀλλ᾽ οὐ χρῶνται ἐν χρήσει πλὴν τοῦ δίδωμι.

Συζυγία τετάρτη τῶν εἰς μι.

Ζεύγνυμι ποίας συζυγίας τετάρτης τῶν εἰς μι. πόθεν γίνεται ἀπὸ τοῦ ζευγνύω. τοῦτο δὲ ἀπὸ τοῦ ζεύγνω. τὸ δὲ ζεύγνω ἀπὸ τοῦ ζεύγω. τὸ νυ ψιλὸν ἀπὸ τοῦ ζευγνύω. τὰ διὰ τοῦ νυ ῥήματα. καὶ ἄλλως. τῶν εἰς μι ἡ πρώτη μὲν καὶ ἡ δευτέρα συζυγία. τὸ τρίτον τῶν πληθυντικῶν ζευγνύουσιν. ὁμοφωνεῖ τῇ ζευγνύουσι δοτικῇ τῶν πληθυντικῶν. καὶ τἆλλα τῶν εἰς μι τὰ παραληγόμενα τῷ υ ψιλῷ τῇ δοτικῇ τῶν πληθυντικῶν μετὰ τοῦ βαρυτόνου ῥήματος ὁμοφωνοῦσιν. οἷον δεικνύουσι. ῥηγνύουσι. πηγνύουσι. ζευγνύουσιν. ὁ παρατατικὸς ἐζεύγνυν. ὁ παρακείμενος οὐκ ἔχει. τὸ ζεύγνυμι καὶ πήγνυμι καὶ ῥήγνυμι. καὶ τὰ ὅμοια ἄχρι τοῦ παρατατικοῦ κινοῦνται ἔν τε ταῖς ἐνεργητικαῖς κλίσεσι καὶ ταῖς παθητικαῖς. τὸ ἀπαρέμφατον ζεύγνυμαι ὡς τίθεμαι. τὸ νυ βραχὺ κατὰ τὴν ἀκολουθίαν τοῦ τίθεμαι ἵσταμαι δίδομαι. ὁ ἐνεργητικὸς ἐνεστὼς καὶ παρατατικὸς τῶν προστακτικῶν ζεύγνυθι. τὸ τρίτον ζευγνύτω. ὁ παθητικὸς ἐνεστὼς καὶ παρατατικὸς αὐτῶν ζεύγνυσο. ὁ εὐκτικὸς ἐνεστὼς καὶ παρατατικὸς οὐκ ἔστιν ἐν τῷ ζεύγνυμι καὶ καθόλου τῇ τετάρτῃ συζυγίᾳ τῶν εἰς μι οὔτε



ἕστακα

Regula sing. cur in ἕστακα sit aspiratio

N. de praesentibus verborum in μι 3. coniuga.

ζευγνύω
ζεύγνω
ζεύγω

τῆς μετοχῆς

Quarta in μι usque ad paratacticum decli.

Dissentit Technic(us) quantum ad optativum. ponit. non optativum. subiunctivum non ponit

*in activis ga no est in usu in passivis ppter causā q3 signat*

*Nota de υ diphth.*

ἐν τοῖς ἐνεργητικοῖς, οὔτε ἐν τοῖς παθητικοῖς ἵνα μὴ εὑρεθῇ ἡ υι δίφθογγος πρὸ τοῦ μ. καθόλου γὰρ ἡ διὰ τοῦ υ καὶ ι δίφθογγος οὐ θέλει συμφώνῳ ἐπακολουθεῖν· ἀλλὰ φωνήεντι, ὡς τετυφυῖα πεποιηκυῖα μυῖα ἅρπυια υἱός. καὶ ἐπὶ τῶν ὁμοίων. ὁ ἐνεργητικὸς ἢ παθητικὸς ὑποτακτικὸς ἐνεστὼς καὶ παρατατικὸς ἐπὶ τῆς τετάρτης τῶν εἰς μι οὐκ ἔστι· μία γὰρ ἀκολουθία ἀπαιτεῖ τὰ ὑποτακτικὰ τῶν εἰς μι ὁμοφωνεῖν καὶ ὁμοτονεῖν τοῖς αὐτῶν πρωτοτύποις. οἷον τιθῶ τίθημι ἐὰν τιθῶ· ἱστῶ ἵστημι ἐὰν ἱστῶ· διδῶ δίδωμι ἐὰν διδῶ· ἑτέρα δὲ εἰς ω ἔχειν περισπώμενα τὰ ἔχοντα εἰς σ ὀξύτονον τὴν μετοχήν· ἐν ταῦθα οὖν τὸ μὲν πρωτότυπον βαρύτονον. ἡ δὲ μετοχὴ εἰς σ ὀξύτονος· ἀναγκαζόμενον οὖν τὸ ὑποτακτικὸν καὶ βαρύνεσθαι καὶ περισπᾶσθαι ἐπεὶ μὴ ἦν τοῦτο δυνατὸν ἐξέλιπε παντελῶς. ἡ ἐνεργητικὴ μετοχὴ ὁ ζευγνύς. ἡ παθητικὴ ὁ ζευγνύμενος.

*Regula* *Regula Rep.* *repetit regul.* *Anno · 1502 · mēse decembris*

## Κλίσις τῶν ἀρσενικῶν ὀνομάτων. κανὼν α.

Ἡ ὀρθὴ καὶ εὐθεῖα τῶν ἑνικῶν ὁ αἴας. ἡ γενικὴ τῶν ἑνικῶν τοῦ αἴαντος. ἡ δοτικὴ τῶν ἑνικῶν τῷ αἴαντι. ἡ αἰτιατικὴ τῶν ἑνικῶν τὸν αἴαντα. ἡ κλητικὴ τῶν ἑνικῶν ὦ αἴαν. ἡ εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυϊκῶν τὼ αἴαντε. ἡ γενικὴ καὶ δοτικὴ τῶν δυϊκῶν τοῖν αἰάντοιν. ἡ κλητικὴ τῶν δυϊκῶν ὦ αἴαντε. ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ αἴαντες. ἡ γενικὴ τῶν πληθυντικῶν τῶν αἰάντων. ἡ δοτικὴ τῶν πληθυντικῶν τοῖς αἴασιν. ἡ αἰτιατικὴ τῶν πληθυντικῶν τοὺς αἴαντας. ἡ κλητικὴ τῶν πληθυντικῶν ὦ αἴαντες. ας

παράδειγμα.

ὁ θόας τοῦ θόαντος τῷ θόαντι τὸν θόαντα ὦ θόαν. ας

κανὼν β.

ὁ κοχλίας τοῦ κοχλίου τῷ κοχλίᾳ τὸν κοχλίαν ὦ κοχλία. τὼ κοχλία τοῖν κοχλίαιν ὦ κοχλία. οἱ κοχλίαι τῶν κοχλιῶν τοῖς κοχλίαις τοὺς κοχλίας ὦ κοχλίαι. ας

παράδειγμα.



ας ὁ αἰνείας τοῦ αἰνείου τῷ αἰνείᾳ τὸν αἰνείαν ὦ αἰνεία.

κανὼν γ.

ης ὁ λάχης τοῦ λάχητος τῷ λάχητι τὸν λάχητα ὦ λάχης. τὼ λάχητε τοῖν λαχήτοιν ὦ λάχητε. οἱ λάχητες τῶν λαχήτων τοῖς λάχησι τοὺς λάχητας ὦ λάχητες.

παράδειγμα.

ης ὁ λέβης τοῦ λέβητος τῷ λέβητι τὸν λέβητα ὦ λέβης.

κανὼν δ.

ης ὁ χρύσης τοῦ χρύσου τῷ χρύσῃ τὸν χρύσην ὦ χρύση. τὼ χρύσα τοῖν χρύσαιν ὦ χρύσα. οἱ χρῦσαι τῶν χρυσῶν τοῖς χρύσαις τοὺς χρύσας ὦ χρύσαι.

παράδειγμα.

ης ὁ πέρσης τοῦ πέρσου τῷ πέρσῃ τὸν πέρσην ὦ πέρσα.

κανὼν ε.

ης ὁ δημοσθένης τοῦ δημοσθένεος καὶ δημοσθένους τῷ δημοσθένεϊ καὶ δημοσθένει τὸν δημοσθένεα καὶ δημοσθένην ὦ δημόσθενες καὶ ὦ δημοσθένης. τὼ δημοσθένεε καὶ δημοσθένη τοῖν δημοσθενέοιν καὶ δημοσθενοῖν. ὦ δημοσθένεε καὶ ὦ δημοσθένη. οἱ δημοσθένεες καὶ δημοσθένεις τῶν δημοσθενέων καὶ δημοσθενῶν τοῖς δημοσθένεσι. ὁμοίως τοὺς δημοσθένεας καὶ δημοσθένεις ὦ δημοσθένεες καὶ δημοσθένεις.

παράδειγμα.

ης ὁ ἀντισθένης τοῦ ἀντισθένεος καὶ ἀντισθένους. τῷ ἀντισθένεϊ καὶ ἀντισθένει. τὸν ἀντισθένεα καὶ ἀντισθένην ὦ ἀντίσθενες καὶ ἀντισθένης.

κανὼν ϛ.

ις ὁ πάρις τοῦ πάριδος τῷ πάριδι τὸν πάριδα καὶ πάριν ὦ πάρι καὶ ὦ πάρις. τὼ πάριδε τοῖν παρίδοιν ὦ πάριδε. οἱ πάριδες τῶν παρίδων τοῖς πάρισι τοὺς πάριδας ὦ πάριδες.

παράδειγμα.

ις ὁ ἄδωνις τοῦ ἀδώνιδος τῷ ἀδώνιδι τὸν ἀδώνιδα καὶ ἄδωνιν ὦ ἄδωνι καὶ ὦ ἄδωνις.

καμὼν ζ.

ις · ὁ ὄφις τοῦ ὄφιος κοινῶς καὶ ὄφεος ἰωνικῶς καὶ ὄφεως ἀττικῶς τῷ ὄφιϊ καὶ ὄφι καὶ ὄφει καὶ ὄφει· τὸν ὄφιν μόνως ὦ ὄφι καὶ ὦ ὄφις· τὼ ὄφιε καὶ ὄφεε· τοῖν ὀφίοιν καὶ ὀφέοιν καὶ ὀφεῶν· ὦ ὄφιε καὶ ὦ ὄφεε· οἱ ὄφιες καὶ ὄφις καὶ ὄφεες καὶ ὄφεις τῶν ὀφίων καὶ ὀφέων καὶ ὄφεων· τοῖς ὄφισι καὶ ὄφεσι· τοὺς ὄφιας καὶ ὄφις καὶ ὄφεας καὶ ὄφεις· ὦ ὄφιες καὶ ὦ ὄφις καὶ ὦ ὄφεες καὶ ὦ ὄφεις.

τὼ ὄφιε κὶ ὄφεε. nō addit κὶ ὄφει ut technic)

παράδειγμα.

ις · ὁ μάντις τοῦ μάντιος κοινῶς καὶ μάντεος ἰωνικῶς καὶ μάντεως ἀττικῶς· τῷ μάντιϊ καὶ μάντι καὶ μάντει καὶ μάντει· τὸν μάντιν μόνως· ὦ μάντι καὶ ὦ μάντις.

καμὼν η.

δς · ὁ χαρίεις τοῦ χαρίεντος τῷ χαρίεντι τὸν χαρίεντα ὦ χαρίει καὶ ὦ χαρίεις καὶ ὦ χάριεν· τὼ χαρίεντε τοῖν χαριέντοιν ὦ χαρίεντε· οἱ χαρίεντες τῶν χαριέντων τοῖς χαρίεσι τοὺς χαρίεντας ὦ χαρίεντες.

παράδειγμα.

δς · ὁ τιμήεις τοῦ τιμήεντος τῷ τιμήεντι τὸν τιμήεντα ὦ τιμήει καὶ ὦ τιμήεις καὶ ὦ τιμῆεν. *accentus secutus ÷ originem dicimus .n. τιμῆ* — ὦ τιμῆ[en]

καμὼν θ.

ως · ὁ πηλεύς τοῦ πηλέος κοινῶς καὶ πηλῆος ἰωνικῶς καὶ πηλέως ἀττικῶς· τῷ πηλεῖ καὶ πηλῆϊ καὶ πηλεῖ· τὸν πηλέα καὶ πηλῆα· ὦ πηλεῦ καὶ ὦ πηλεύς· τὼ πηλέε καὶ πηλῆε· τοῖν πηλέοιν καὶ πηλήοιν· ὦ πηλέε καὶ ὦ πηλῆε· οἱ πηλέες καὶ πηλεῖς καὶ πηλῆες· τῶν πηλέων καὶ πηλήων τοῖς πηλεῦσι καὶ πηλήεσι· τοὺς πηλέας καὶ πηλῆας καὶ πηλεῖς· ὦ πηλέες καὶ ὦ πηλῆες καὶ ὦ πηλεῖς.

παράδειγμα.

δως · ὁ βασιλεύς τοῦ βασιλέος κοινῶς καὶ βασιλῆος ἰωνικῶς καὶ βασιλέως ἀττικῶς· τῷ βασιλεῖ καὶ βασιλῆϊ καὶ βασιλεῖ· τὸν βασιλέα καὶ βασιλῆα· ὦ βασιλεῦ καὶ ὦ βασιλεύς.

*Tres uocatiui*
ὦ χαρίει καὶ
ὦ χαρίεις καὶ
ὦ χάριεν

*Vocatiui Tres*
ὦ τιμήει καὶ
ὦ τιμήεις κὶ
ὦ τίμηεν. Technic[us]
τίμηεν. sed meli[us]
moscho. p[ro]pter orig[inem]

καμὼν ι.

ὁ ἡδύς τοῦ ἡδέος τῷ ἡδέϊ καὶ ἡδεῖ τὸν ἡδέα καὶ ἡδὺν ὦ ἡδὺ καὶ ὦ ἡδύς· τὼ ἡδέε τοῖν ἡδέοιν ὦ ἡδέε· οἱ ἡδέες καὶ ἡδεῖς τῶν ἡδέων τοῖς ἡδέσι τοὺς ἡδέας καὶ ἡδεῖς ὦ ἡδέες καὶ ὦ ἡδεῖς. · υς ·

παράδειγμα.

ὁ ὠκύς τοῦ ὠκέος τῷ ὠκέϊ καὶ ὠκεῖ τὸν ὠκέα καὶ ὠκὺν ὦ ὠκὺ καὶ ὦ ὠκύς. υς

καμὼν ια.

ὁ βότρυς τοῦ βότρυος τῷ βότρυϊ τὸν βότρυν ὦ βότρυ καὶ ὦ βότρυς· τὼ βότρυε τοῖν βοτρύοιν ὦ βότρυε· οἱ βότρυες καὶ βότρυς τῶν βοτρύων τοῖς βότρυσι τοὺς βότρυας καὶ βότρυς ὦ βότρυες καὶ ὦ βότρυς. υς ·

παράδειγμα.

ὁ νέκυς τοῦ νέκυος τῷ νέκυϊ τὸν νέκυν ὦ νέκυ καὶ ὦ νέκυς. · υς ·

καμὼν ιβ.

ὁ βοῦς τοῦ βοὸς τῷ βοῒ τὸν βόα καὶ βοῦν ὦ βοῦ καὶ ὦ βοῦς· τὼ βόε τοῖν βοοῖν ὦ βόε· οἱ βόες τῶν βοῶν τοῖς βουσὶ τοὺς βόας καὶ βοῦς ὦ βόες καὶ βοῦς. ους ·

παράδειγμα.

ὁ πούς τοῦ ποδὸς τῷ ποδὶ τὸν πόδα ὦ πούς. · ους ·

καμὼν ιγ.

ὁ πλόος ὁ πλοῦς τοῦ πλόου τοῦ πλοῦ τῷ πλόῳ τῷ πλῷ τὸν πλόον τὸν πλοῦν ὦ πλόε ὦ πλοῦ καὶ ὦ πλοῦς· τὼ πλόω τὼ πλῶ τοῖν πλόοιν τοῖν πλοῖν ὦ πλόω ὦ πλῶ· οἱ πλόοι οἱ πλοῖ τῶν πλόων τῶν πλῶν τοῖς πλόοις τοῖς πλοῖς τοὺς πλόους τοὺς πλοῦς ὦ πλόοι ὦ πλοῖ. · οος · ȣς

παράδειγμα.

ὁ νόος ὁ νοῦς τοῦ νόου τοῦ νοῦ τῷ νόῳ τῷ νῷ τὸν νόον τὸν νοῦν ὦ νόε ὦ νοῦ καὶ ὦ νοῦς. οος · ȣς

καμὼν ιδ.

ὁ ἱδρὼς τοῦ ἱδρῶτος τῷ ἱδρῶτι τὸν ἱδρῶτα ὦ ἱδρώς· τὼ ἱδρῶτε τοῖν ἱδρώτοιν ὦ ἱδρῶτε· οἱ ἱδρῶτες τῶν ἱδρώτων τοῖς ἱδρῶσι τοὺς ἱδρῶτας ὦ ἱδρῶτες. ως ·

θ iii

*Accusatiui duo*
τὸν ἡδέα καὶ
τὸν ἡδύν

τὼ πλόω τὼ πλῶ. nota
lege regulã in . πλόος .

βότρυ[ς]. nota nõ βότρυα

παράδειγμα.

ως. ὁ ἀγνὼς τοῦ ἀγνῶτος τῷ ἀγνῶτι τὸν ἀγνῶτα ὦ ἀγνώς.

κανὼν ιε.

ως. ὁ ἥρως τοῦ ἥρωος τῷ ἥρωι τὸν ἥρωα ὦ ἥρως. τὼ ἥρωε τοῖν
ἡρώοιν ὦ ἥρωε. οἱ ἥρωες τῶν ἡρώων τοῖς ἥρωσι τοὺς ἥρω-
ας ὦ ἥρωες.

παράδειγμα.

ως. ὁ γέλως τοῦ γέλωτος τῷ γέλωτι τὸν γέλωτα ὦ γέλως.

κανὼν ις.

ος. ως. ὁ μενέλαος ὁ μενέλεως τοῦ μενελάου τοῦ μενέλεω. τῷ
μενελάῳ τῷ μενέλεῳ. τὸν μενέλαον τὸν μενέλεων. ὦ με-
νέλαε. ὦ μενέλεως. τὼ μενελάω τὼ μενέλεω. τοῖν μενελά-
οιν τοῖν μενέλεων. ὦ μενελάω ὦ μενέλεω. οἱ μενέλαοι οἱ με-
νέλεῳ. τῶν μενελάων τῶν μενέλεων. τοῖς μενελάοις τοῖς
μενέλεῳς. τοὺς μενελάους τοὺς μενέλεως. ὦ μενέλαοι
ὦ μενέλεῳ.

παράδειγμα.

ος. ως. ὁ νικόλαος ὁ νικόλεως. τοῦ νικολάου τοῦ νικόλεω. τῷ νικο-
λάῳ τῷ νικόλεῳ. τὸν νικόλαον τὸν νικόλεων. ὦ νικόλαε ὦ
νικόλεως.

κανὼν ιζ.

λς. ὁ ἅλς τοῦ ἁλὸς τῷ ἁλὶ τὸν ἅλα ὦ ἅλς. τὼ ἅλε τοῖν ἁ-
λοῖν ὦ ἅλε. οἱ ἅλες τῶν ἁλῶν τοῖς ἁλσὶ. τοὺς ἅλας ὦ ἅλες.

παράδειγμα.

νς. ὁ τίρυνς τοῦ τίρυνθος τῷ τίρυνθι τὸν τίρυνθα ὦ τίρυνς.

κανὼν ιη.

αν. ὁ ἀλκμὰν τοῦ ἀλκμᾶνος τῷ ἀλκμᾶνι τὸν ἀλκμᾶνα ὦ ἀλκ-
μάν. τὼ ἀλκμᾶνε τοῖν ἀλκμάνοιν ὦ ἀλκμᾶνε. οἱ ἀλκμᾶ-
νες τῶν ἀλκμάνων τοῖς ἀλκμᾶσι τοὺς ἀλκμᾶνας ὦ
ἀλκμᾶνες.

παράδειγμα.

αν. ὁ παιὰν τοῦ παιᾶνος τῷ παιᾶνι τὸν παιᾶνα ὦ παιάν.

κανὼν ιθ.

ην. ὁ σωλὴν τοῦ σωλῆνος τῷ σωλῆνι τὸν σωλῆνα ὦ σωλήν. τὼ
σωλῆνε τοῖν σωλήνοιν ὦ σωλῆνε. οἱ σωλῆνες τῶν σωλήνων
τοῖς σωλῆσι τοὺς σωλῆνας ὦ σωλῆνες.

παράδειγμα.

ὁ ποιμὴν τοῦ ποιμένος τῷ ποιμένι τὸν ποιμένα ὦ ποιμήν. ην.

κανὼν κ.

ὁ ἕλλην τοῦ ἕλληνος τῷ ἕλληνι τὸν ἕλληνα ὦ ἕλλην. τὼ ἕλλη- ην.
νε τοῖν ἑλλήνοιν ὦ ἕλληνε. οἱ ἕλληνες τῶν ἑλλήνων τοῖς ἕλλη-
σι τοὺς ἕλληνας ὦ ἕλληνες.

παράδειγμα.

ὁ τέρην τοῦ τέρενος τῷ τέρενι τὸν τέρενα ὦ τέρεν. ην.

κανὼν κα.

ὁ δελφὶν τοῦ δελφῖνος τῷ δελφῖνι τὸν δελφῖνα ὦ δελφίν. ιν.
τὼ δελφῖνε τοῖν δελφίνοιν ὦ δελφῖνε. οἱ δελφῖνες τῶν δελ-
φίνων τοῖς δελφῖσι τοὺς δελφῖνας ὦ δελφῖνες.

παράδειγμα.

ὁ τελχὶν τοῦ τελχῖνος τῷ τελχῖνι τὸν τελχῖνα ὦ τελχίν. ιν.

κανὼν κβ.

ὁ φόρκυν τοῦ φόρκυνος τῷ φόρκυνι τὸν φόρκυνα ὦ φόρκυν. υν.
τὼ φόρκυνε τοῖν φορκύνοιν ὦ φόρκυνε. οἱ φόρκυνες τῶν φορ-
κύνων τοῖς φόρκυσι τοὺς φόρκυνας ὦ φόρκυνες.

παράδειγμα.

ὁ μόσσυν τοῦ μόσσυνος τῷ μόσσυνι τὸν μόσσυνα ὦ μόσσυν. υν.

κανὼν κγ.

ὁ θέων τοῦ θέωνος τῷ θέωνι τὸν θέωνα ὦ θέων. τὼ θέωνε τοῖν ων.
θεώνοιν ὦ θέωνε. οἱ θέωνες τῶν θεώνων τοῖς θέωσι τοὺς θέ-
ωνας ὦ θέωνες.

παράδειγμα.

ὁ λέων τοῦ λέοντος τῷ λέοντι τὸν λέοντα ὦ λέον. ων.

κανὼν κδ.

ὁ κοιτὼν τοῦ κοιτῶνος τῷ κοιτῶνι τὸν κοιτῶνα ὦ κοιτών ων.
τὼ κοιτῶνε τοῖν κοιτώνοιν ὦ κοιτῶνε. οἱ κοιτῶνες τῶν κοι-
τώνων τοῖς κοιτῶσι τοὺς κοιτῶνας ὦ κοιτῶνες.

παράδειγμα.

ὁ σαρπηδὼν τοῦ σαρπηδόνος τῷ σαρπηδόνι τὸν σαρ- ων.
πηδόνα ὦ σαρπηδών.

κανὼν κε.

· ῶν · ὁ ξενοφῶν τοῦ ξενοφῶντος τῷ ξενοφῶντι τὸν ξενοφῶντα ὦ
ξενοφῶν· τὼ ξενοφῶντε τοῖν ξενοφώντοιν ὦ ξενοφῶντε· οἱ ξε-
νοφῶντες τῶν ξενοφώντων τοῖς ξενοφῶσι τοὺς ξενοφῶν-
τας ὦ ξενοφῶντες.

παράδειγμα.

· ῶν · ὁ ποσειδῶν τοῦ ποσειδῶνος τῷ ποσειδῶνι τὸν ποσειδῶ-
να ὦ πόσειδον.

κανὼν κϛ·

· ᾱξ · ὁ θώραξ τοῦ θώρακος τῷ θώρακι τὸν θώρακα ὦ θώραξ· τὼ
θώρακε τοῖν θωράκοιν ὦ θώρακε· οἱ θώρακες τῶν θωράκων
τοῖς θώραξι τοὺς θώρακας ὦ θώρακες.

παράδειγμα.

· ᾱξ · ὁ ἅρπαξ τοῦ ἅρπαγος τῷ ἅρπαγι τὸν ἅρπαγα ὦ ἅρ-
παξ.

κανὼν κζ·

· η̄ξ · ὁ μύρμηξ τοῦ μύρμηκος τῷ μύρμηκι τὸν μύρμηκα ὦ μύρ-
μηξ· τὼ μύρμηκε τοῖν μυρμήκοιν ὦ μύρμηκε· οἱ μύρμηκες
τῶν μυρμήκων τοῖς μύρμηξι τοὺς μύρμηκας ὦ μύρμηκες.

παράδειγμα.

· η̄ξ · ὁ βουπλὴξ τοῦ βουπλῆγος τῷ βουπλῆγι τὸν βουπλῆγα
ὦ βουπλήξ.

κανὼν κη·

· ῑξ · ὁ πέρδιξ τοῦ πέρδικος τῷ πέρδικι τὸν πέρδικα ὦ πέρ-
διξ· τὼ πέρδικε τοῖν περδίκοιν ὦ πέρδικε· οἱ πέρδικες τῶν
περδίκων τοῖς πέρδιξι τοὺς πέρδικας ὦ πέρδικες.

παράδειγμα.

· ῑξ · ὁ τέττιξ τοῦ τέττιγος τῷ τέττιγι τὸν τέττιγα ὦ τέττιξ.

κανὼν κθ·

· ῡξ · ὁ δοίδυξ τοῦ δοίδυκος τῷ δοίδυκι τὸν δοίδυκα ὦ δοί-
δυξ· τὼ δοίδυκε τοῖν δοιδύκοιν ὦ δοίδυκε· οἱ δοίδυκες
τῶν δοιδύκων τοῖς δοίδυξι τοὺς δοίδυκας ὦ δοίδυκες.

παράδειγμα.

· ῡξ · ὁ βέβρυξ τοῦ βέβρυκος τῷ βέβρυκι τὸν βέβρυκα ὦ βέβρυξ.

κανὼν λ·

· ῶξ · ὁ βῶξ τοῦ βωκὸς τῷ βωκὶ τὸν βῶκα ὦ βῶξ· τὼ βῶκε τοῖν
βωκοῖν ὦ βῶκε· οἱ βῶκες τῶν βωκῶν τοῖς βωξὶ τοὺς βῶ-
κας ὦ βῶκες.

παράδειγμα.

ὁ πτὼξ τοῦ πτωκὸς τῷ πτωκὶ τὸν πτῶκα ὦ πτῶξ. · ωξ ·

κανὼν λα·

ὁ λουτὴρ τοῦ λουτῆρος τῷ λουτῆρι τὸν λουτῆρα ὦ λου- · ηρ ·
τήρ· τὼ λουτῆρε τοῖν λουτήροιν ὦ λουτῆρε· οἱ λουτῆρες τῶν
λουτήρων τοῖς λουτῆρσι τοὺς λουτῆρας ὦ λουτῆρες.

παράδειγμα.

ὁ αἰθὴρ τοῦ αἰθέρος τῷ αἰθέρι τὸν αἰθέρα ὦ αἰθήρ. · ηρ ·

κανὼν λβ·

ὁ πίηρ τοῦ πίερος τῷ πίερι τὸν πίερα ὦ πίηρ· τὼ πίερε · η̄ρ ·
τοῖν πιέροιν ὦ πίερε· οἱ πίερες τῶν πιέρων τοῖς πίερσι·
τοὺς πίερας ὦ πίερες.

παράδειγμα.

ὁ ἴβηρ τοῦ ἴβηρος τῷ ἴβηρι τὸν ἴβηρα ὦ ἴβηρ. · ηρ ·

κανὼν λγ·

ὁ μέστωρ τοῦ μέστορος τῷ μέστορι τὸν μέστορα ὦ μέστορ· τὼ μέ- · ω̄ρ ·
στορε τοῖν μεστόροιν ὦ μέστορε· οἱ μέστορες τῶν μεστόρων τοῖς μέ-
στορσι τοὺς μέστορας ὦ μέστορες.

παράδειγμα.

ὁ κέλωρ τοῦ κέλωρος τῷ κέλωρι τὸν κέλωρα ὦ κέλωρ. · ω̄ρ ·

κανὼν λδ·

ὁ κύκλωψ τοῦ κύκλωπος τῷ κύκλωπι τὸν κύκλωπα ὦ κύ- · ω̄ψ ·
κλωψ· τὼ κύκλωπε τοῖν κυκλώποιν ὦ κύκλωπε· οἱ κύκλω-
πες τῶν κυκλώπων τοῖς κύκλωψι τοὺς κύκλωπας ὦ
κύκλωπες.

παράδειγμα.

ὁ μώλωψ τοῦ μώλωπος τῷ μώλωπι τὸν μώλωπα ὦ · ω̄ψ ·
μώλωψ.

Foemmina

κλίσις τῶν θηλυκῶν ὀνομάτων· κανὼν α·

ἡ μοῦσα τῆς μούσης τῇ μούσῃ τὴν μοῦσαν ὦ μοῦσα· τὰ · ᾱ ·
μούσα ταῖν μούσαιν ὦ μούσα· αἱ μοῦσαι τῶν μουσῶν ταῖς
μούσαις τὰς μούσας ὦ μοῦσαι.

παράδειγμα.

α ἡ μαῖα τῆς μαίας τῇ μαίᾳ τὴν μαῖαν ὦ μαῖα.

κανὼν β.

η ἡ τιμὴ τῆς τιμῆς τῇ τιμῇ τὴν τιμὴν ὦ τιμή. τὰ τιμὰ ταῖν τιμαῖν ὦ τιμά. αἱ τιμαὶ τῶν τιμῶν ταῖς τιμαῖς τὰς τιμὰς ὦ τιμαί.

παράδειγμα.

η ἡ σοφὴ τῆς σοφῆς τῇ σοφῇ τὴν σοφὴν ὦ σοφή.

κανὼν γ.

ω ἡ σαπφὼ τῆς σαπφόος καὶ σαπφοῦς τῇ σαπφοῖ καὶ σαπφοῖ τὴν σαπφόα καὶ σαπφὼ ὦ σαπφοῖ καὶ ὦ σαπφώ. τὰ σαπφὼ ταῖν σαπφοῖν ὦ σαπφώ. αἱ σαπφοὶ τῶν σαπφῶν ταῖς σαπφοῖς τὰς σαπφοῦς ὦ σαπφοί.

παράδειγμα.

ω ἡ λητὼ τῆς λητόος καὶ λητοῦς τῇ λητοῖ καὶ λητοῖ τὴν λητόα καὶ λητὼ ὦ λητοῖ καὶ λητώ.

κανὼν δ.

ων ἡ τρυγὼν τῆς τρυγόνος τῇ τρυγόνι τὴν τρυγόνα ὦ τρυγών. τὰ τρυγόνε ταῖν τρυγόνοιν ὦ τρυγόνε. αἱ τρυγόνες τῶν τρυγόνων ταῖς τρυγόσι τὰς τρυγόνας ὦ τρυγόνες.

παράδειγμα.

ων ἡ τρήρων τῆς τρήρωνος τῇ τρήρωνι τὴν τρήρωνα ὦ τρήρων.

κανὼν ε.

αξ ἡ αὖλαξ τῆς αὔλακος τῇ αὔλακι τὴν αὔλακα ὦ αὖλαξ. τὰ αὔλακε ταῖν αὐλάκοιν ὦ αὔλακε. αἱ αὔλακες τῶν αὐλάκων ταῖς αὔλαξι τὰς αὔλακας ὦ αὔλακες.

παράδειγμα.

αξ ἡ πίδαξ τῆς πίδακος τῇ πίδακι τὴν πίδακα ὦ πίδαξ.

κανὼν ς.

ιγξ ἡ σφίγξ τῆς σφιγγὸς τῇ σφιγγὶ τὴν σφίγγα ὦ σφίγξ. τὰ σφίγγε ταῖν σφιγγοῖν ὦ σφίγγε. αἱ σφίγγες τῶν σφιγγῶν ταῖς σφιγξὶ τὰς σφίγγας ὦ σφίγγες.

παράδειγμα.

ιγξ ἡ σάλπιγξ τῆς σάλπιγγος τῇ σάλπιγγι τὴν σάλπιγγα ὦ σάλπιγξ.



κανὼν ζ.

ἡ μήτηρ τῆς μητέρος καὶ μητρὸς τῇ μητέρι καὶ μητρὶ τὴν μητέρα ὦ μῆτερ. τὰ μητέρε ταῖν μητέροιν ὦ μητέρε. αἱ μητέρες τῶν μητέρων ταῖς μητράσι τὰς μητέρας ὦ μητέρες. ηρ

παράδειγμα.

ἡ θυγάτηρ τῆς θυγατέρος καὶ θυγατρὸς τῇ θυγατέρι καὶ θυγατρὶ τὴν θυγατέρα ὦ θύγατερ. ηρ

κανὼν η.

ἡ λαμπὰς τῆς λαμπάδος τῇ λαμπάδι τὴν λαμπάδα ὦ λαμπάς. τὰ λαμπάδε ταῖν λαμπάδοιν ὦ λαμπάδε. αἱ λαμπάδες τῶν λαμπάδων ταῖς λαμπάσι τὰς λαμπάδας ὦ λαμπάδες. ας

παράδειγμα.

ἡ τριὰς τῆς τριάδος τῇ τριάδι τὴν τριάδα ὦ τριάς. ας

κανὼν θ.

ἡ φιλότης τῆς φιλότητος τῇ φιλότητι τὴν φιλότητα ὦ φιλότης. τὰ φιλότητε ταῖν φιλοτήτοιν ὦ φιλότητε. αἱ φιλότητες τῶν φιλοτήτων ταῖς φιλότησι τὰς φιλότητας ὦ φιλότητες. ης

παράδειγμα.

ἡ κακότης τῆς κακότητος τῇ κακότητι τὴν κακότητα ὦ κακότης. ης

κανὼν ι.

ἡ μῆνις τῆς μήνιδος τῇ μήνιδι τὴν μήνιδα καὶ μῆνιν ὦ μῆνι καὶ ὦ μῆνις. τὰ μήνιδε ταῖν μηνίδοιν ὦ μήνιδε. αἱ μήνιδες τῶν μηνίδων ταῖς μήνισι τὰς μήνιδας ὦ μήνιδες. ις

παράδειγμα.

ἡ νεᾶνις τῆς νεάνιδος τῇ νεάνιδι τὴν νεάνιδα καὶ νεᾶνιν ὦ νεᾶνι καὶ ὦ νεᾶνις. ις

κανὼν ια.

ἡ πίτυς τῆς πίτυος τῇ πίτυϊ τὴν πίτυν ὦ πίτυ καὶ ὦ πίτυς. τὰ πίτυε ταῖν πιτύοιν ὦ πίτυε. αἱ πίτυες τῶν πι- υς

τύων ταῖς πίτυσι τὰς πίτυς ὦ πίτυες.

παράδειγμα.

υς · Ἡ χλαμὺς τῆς χλαμύδος τῇ χλαμύδι τὴν χλαμύδα ὦ χλαμὺ καὶ ὦ χλαμύς.

κανὼν ιβ.

ως · Ἡ αἰδὼς τῆς αἰδόος καὶ αἰδοῦς τῇ αἰδόϊ καὶ αἰδοῖ τὴν αἰδόα καὶ αἰδῶ ὦ αἰδοῖ καὶ ὦ αἰδώς. τὰ αἰδῶ ταῖν αἰδοῖν ὦ αἰδῶ. αἱ αἰδοῖ τῶν αἰδῶν ταῖς αἰδοῖς τὰς αἰδοῦς ὦ αἰδοῖ.

παράδειγμα.

ως · Ἡ ἠὼς τῆς ἠόος καὶ ἠοῦς τῇ ἠόϊ καὶ ἠοῖ τὴν ἠόα καὶ ἠῶ. ὦ ἠοῖ καὶ ὦ ἠώς.

παράδειγμα.

ως · Ἡ ἕως τῆς ἕω τῇ ἕω τὴν ἕω ὦ ἕως.

κλίσις τῶν οὐδετέρων ὀνομάτων. κανὼν α.

Neutra

α · Τὸ βῆμα τοῦ βήματος τῷ βήματι τὸ βῆμα ὦ βῆμα. τὼ βήματε τοῖν βημάτοιν ὦ βήματε. τὰ βήματα τῶν βημάτων τοῖς βήμασι τὰ βήματα ὦ βήματα.

παράδειγμα.

α · Τὸ δῶμα τοῦ δώματος τῷ δώματι τὸ δῶμα ὦ δῶμα.

κανὼν β.

ι · Τὸ μέλι τοῦ μέλιτος τῷ μέλιτι τὸ μέλι ὦ μέλι. τὼ μέλιτε τοῖν μελίτοιν ὦ μέλιτε. τὰ μέλιτα τῶν μελίτων τοῖς μέλισι τὰ μέλιτα ὦ μέλιτα.

παράδειγμα.

ι · Τὸ σίνηπι τοῦ σινήπιος κοινῶς καὶ σινήπεος ἰωνικῶς τῷ σινήπιι καὶ σινήπι καὶ σινήπει καὶ σινήπῃ. τὸ σίνηπι ὦ σίνηπι.

κανὼν γ.

υ · Τὸ πῶυ τοῦ πώεος τῷ πώεϊ τὸ πῶυ ὦ πῶυ. τὼ πώεε τοῖν πωέοιν ὦ πώεε. τὰ πώεα τῶν πωέων τοῖς πώεσι. τὰ πώεα ὦ πώεα.

παράδειγμα.

υ · Τὸ γόνυ τοῦ γόνυος τῷ γόνυι τὸ γόνυ ὦ γόνυ.



κανὼν δ.

Τὸ ξύλον τοῦ ξύλου τῷ ξύλῳ τὸ ξύλον ὦ ξύλον. τὼ ξύλω τοῖν ξύλοιν ὦ ξύλω. τὰ ξύλα τῶν ξύλων τοῖς ξύλοις. τὰ ξύλα ὦ ξύλα. · ον

παράδειγμα.

Τὸ ἄροτρον τοῦ ἀρότρου τῷ ἀρότρῳ τὸ ἄροτρον. ὦ ἄροτρον. · ον

κανὼν ε.

Τὸ δέλεαρ τοῦ δελέατος τῷ δελέατι τὸ δέλεαρ ὦ δέλεαρ. τὼ δελέατε τοῖν δελεάτοιν ὦ δελέατε. τὰ δελέατα τῶν δελεάτων τοῖς δελέασι τὰ δελέατα ὦ δελέατα. · αρ

παράδειγμα.

Τὸ ἧπαρ τοῦ ἥπατος τῷ ἥπατι τὸ ἧπαρ ὦ ἧπαρ. · αρ

κανὼν ϛ.

Τὸ ὕδωρ τοῦ ὕδατος τῷ ὕδατι τὸ ὕδωρ ὦ ὕδωρ. τὼ ὕδατε τοῖν ὑδάτοιν ὦ ὕδατε. τὰ ὕδατα τῶν ὑδάτων τοῖς ὕδασι τὰ ὕδατα ὦ ὕδατα. · ωρ

παράδειγμα.

Τὸ ἕλωρ τοῦ ἕλωρος τῷ ἕλωρι τὸ ἕλωρ ὦ ἕλωρ. · ωρ

κανὼν ζ.

Τὸ κρέας τοῦ κρέατος κοινῶς καὶ κρέαος ἰωνικῶς καὶ κρέως ἀττικῶς. τῷ κρέατι καὶ κρέαϊ καὶ κρέᾳ. τὸ κρέας ὦ κρέας. τὼ κρέατε καὶ κρέαε καὶ κρέα. τοῖν κρεάτοιν καὶ κρεάοιν καὶ κρεῷν. ὦ κρέατε καὶ ὦ κρέαε καὶ ὦ κρέα. τὰ κρέατα καὶ κρέαα καὶ κρέα. τῶν κρεάτων καὶ κρεάων καὶ κρεῶν καὶ κρειῶν ποιητικῶς. τοῖς κρέασι ὁμοίως. τὰ κρέατα καὶ κρέαα καὶ κρέα. ὦ κρέατα καὶ ὦ κρέαα καὶ ὦ κρέα. · ας

παράδειγμα.

Τὸ γῆρας τοῦ γήρατος κοινῶς καὶ γήραος ἰωνικῶς καὶ γήρως ἀττικῶς. τῷ γήρατι καὶ γήραι καὶ γήρᾳ. τὸ γῆρας ὦ γῆρας. ας

κανὼν η.

Τὸ τεῖχος τοῦ τείχεος καὶ τείχους τῷ τείχεϊ καὶ τείχει τὸ τεῖχος ὦ τεῖχος. τὼ τείχεε καὶ τείχη τοῖν τειχέοιν καὶ τειχοῖν · ος

ὦ τείχεε καὶ ὦ τείχη· τὰ τείχεα καὶ τείχη· τῶν τειχέων καὶ τειχῶν τοῖς τείχεσι ὁμοίως· τὰ τείχεα καὶ τείχη ὦ τείχεα καὶ ὦ τείχη·

παράδειγμα.

ος · Τὸ βέλος τοῦ βέλεος καὶ βέλους τῷ βέλει καὶ βέλει τὸ βέλος ὦ βέλος·

κανὼν · θ·

ως · Τὸ φῶς τοῦ φωτὸς τῷ φωτὶ τὸ φῶς ὦ φῶς. τὼ φῶτε τοῖν φωτοῖν ὦ φῶτε· τὰ φῶτα τῶν φώτων τοῖς φωσὶ τὰ φῶτα ὦ φῶτα·

παράδειγμα.

ως · Τὸ ὦς τοῦ ὠτὸς τῷ ὠτὶ τὸ ὦς ὦ ὦς.

Ῥῆμα ὁριστικὸν ἐνεργητικὸν ἁπλοῦν πρωτότυπον συζυγίας πρώτης τῶν βαρυτόνων· ὁριστικὰ ἐνεργητικὰ ἐνεστὼς καὶ παρατατικός·

*Prima cõiugatio uarytonorũ* · Τύπτω τύπτεις τύπτει· τύπτετον τύπτετον· τύπτομεν τύπτετε τύπτουσι·

παρατατικός·

Ἔτυπτον ἔτυπτες ἔτυπτε· ἐτύπτετον ἐτυπτέτην· ἐτύπτομεν ἐτύπτετε ἔτυπτον·

παρακείμενος·

Τέτυφα τέτυφας τέτυφε· τετύφατον τετύφατον· τετύφαμεν τετύφατε τετύφασι·

μέσος παρακείμενος·

Τέτυπα τέτυπας τέτυπε· τετύπατον τετύπατον· τετύπαμεν τετύπατε τετύπασιν·

ὑπερσυντέλικος·

Ἐτετύφειν ἐτετύφεις ἐτετύφει· ἐτετύφειτον ἐτετυφείτην· ἐτετύφειμεν ἐτετύφειτε ἐτετύφεισαν·

μέσος ὑπερσυντέλικος·

Ἐτετύπειν ἐτετύπεις ἐτετύπει· ἐτετύπειτον ἐτετυπείτην· ἐτετύπειμεν ἐτετύπειτε ἐτετύπεισαν·

ἀόριστος πρῶτος·

Ἔτυψα ἔτυψας ἔτυψε· ἐτύψατον ἐτυψάτην· ἐτύψαμεν ἐτύψατε ἔτυψαν·



ἀόριστος δεύτερος·

Ἔτυπον ἔτυπες ἔτυπε· ἐτύπετον ἐτυπέτην· ἐτύπομεν ἐτύπετε ἔτυπον·

μέλλων πρῶτος·

Τύψω τύψεις τύψει· τύψετον τύψετον· τύψομεν τύψετε τύψουσιν·

Ὁριστικὰ παθητικὰ ἐνεστὼς καὶ παρατατικός·

Τύπτομαι τύπτῃ τύπτεται· τυπτόμεθον τύπτεσθον τύπτεσθον· τυπτόμεθα τύπτεσθε τύπτονται·

παρατατικός·

Ἐτυπτόμην ἐτύπτου ἐτύπτετο· ἐτυπτόμεθον ἐτύπτεσθον ἐτυπτέσθην· ἐτυπτόμεθα ἐτύπτεσθε ἐτύπτοντο·

παρακείμενος·

Τέτυμμαι τέτυψαι τέτυπται· τετύμμεθον τέτυφθον τέτυφθον· τετύμμεθα τέτυφθε τετυμμένοι εἰσὶ καὶ ἰωνικῶς τετύφαται·

ὑπερσυντέλικος·

Ἐτετύμμην ἐτέτυψο ἐτέτυπτο· ἐτετύμμεθον ἐτέτυφθον ἐτετύφθην· ἐτετύμμεθα ἐτέτυφθε τετυμμένοι ἦσαν καὶ ἰωνικῶς ἐτετύφατο·

ἀόριστος πρῶτος·

Ἐτύφθην ἐτύφθης ἐτύφθη· ἐτύφθητον ἐτυφθήτην· ἐτύφθημεν ἐτύφθητε ἐτύφθησαν·

ἀόριστος δεύτερος·

Ἐτύπην ἐτύπης ἐτύπη· ἐτύπητον ἐτυπήτην· ἐτύπημεν ἐτύπητε ἐτύπησαν·

μέσος ἀόριστος πρῶτος·

Ἐτυψάμην ἐτύψω ἐτύψατο· ἐτυψάμεθον ἐτύψασθον ἐτυψάσθην· ἐτυψάμεθα ἐτύψασθε ἐτύψαντο·

μέσος ἀόριστος δεύτερος·

Ἐτυπόμην ἐτύπου ἐτύπετο· ἐτυπόμεθον ἐτύπεσθον ἐτυπέσθην· ἐτυπόμεθα ἐτύπεσθε ἐτύποντο·

μέλλων πρῶτος·

Τυφθήσομαι τυφθήσῃ τυφθήσεται· τυφθησόμεθον τυφθήσε

σθον τυφθήσεσθον· τυφθησόμεθα τυφθήσεσθε τυφθήσονται·

μέλλων δεύτερος·

τυπήσομαι τυπήσῃ τυπήσεται· τυπησόμεθον τυπήσεσθον τυπήσεσθον· τυπησόμεθα τυπήσεσθε τυπήσονται·

μέσος μέλλων πρῶτος·

τύψομαι τύψῃ τύψεται· τυψόμεθον τύψεσθον τύψεσθον τυψόμεθα τύψεσθε τύψονται·

μετ' ὀλίγον μέλλων·

τετύψομαι τετύψῃ τετύψεται· τετυψόμεθον τετύψεσθον τετύψεσθον· τετυψόμεθα τετύψεσθε τετύψονται·

ἀπαρέμφατα ἐνεργητικὰ ἐνεστὼς καὶ παρατατικός·

τύπτειν· παρακείμενος·
τετυφέναι· μέσος παρακείμενος·
τετυπέναι· ἀόριστος πρῶτος·
τύψαι· ἀόριστος δεύτερος·
τυπεῖν μέλλων πρῶτος· τύψειν·

ἀπαρέμφατα παθητικὰ ἐνεστὼς καὶ παρατατικός·

τύπτεσθαι· παρακείμενος·
τετύφθαι· ἀόριστος πρῶτος·
τυφθῆναι· ἀόριστος δεύτερος·
τυπῆναι· μέσος ἀόριστος πρῶτος·
τύψασθαι· μέσος ἀόριστος δεύτερος·
τυπέσθαι· μέλλων πρῶτος·
τυφθήσεσθαι· μέλλων δεύτερος·
τυπήσεσθαι· μέσος μέλλων πρῶτος·
τύψεσθαι· μετ' ὀλίγον μέλλων· τετύψεσθαι·

προστακτικὰ ἐνεργητικὰ ἐνεστὼς καὶ παρατατικός·

τύπτε τυπτέτω· τύπτετον τυπτέτων τύπτετε τυπτέτωσαν

παρακείμενος·

τέτυφε τετυφέτω· τετύφετον τετυφέτων· τετύφετε τετυφέτωσαν·

μέσος παρακείμενος·

τέτυπε τετυπέτω· τετύπετον τετυπέτων· τετύπετε τετυπέτωσαν·



ἀόριστος πρῶτος·

τύψον τυψάτω· τύψατον τυψάτων· τύψατε τυψάτωσαν·

ἀόριστος δεύτερος·

τύπε τυπέτω· τύπετον τυπέτων· τύπετε τυπέτωσαν·

προστακτικὰ παθητικὰ ἐνεστὼς καὶ παρατατικός·

τύπτου τυπτέσθω· τύπτεσθον τυπτέσθων· τύπτεσθε τυπτέσθωσαν·

παρακείμενος καὶ ὑπερσυντέλικος·

τέτυψο τετύφθω· τέτυφθον τετύφθων· τέτυφθε τετύφθωσαν·

ἀόριστος πρῶτος·

τύφθητι τυφθήτω· τύφθητον τυφθήτων· τύφθητε τυφθήτωσαν·

ἀόριστος δεύτερος·

τύπηθι τυπήτω· τύπητον τυπήτων· τύπητε τυπήτωσαν·

μέσος ἀόριστος πρῶτος·

τύψαι τυψάσθω· τύψασθον τυψάσθων· τύψασθε τυψάσθωσαν·

μέσος ἀόριστος δεύτερος·

τυποῦ τυπέσθω· τύπεσθον τυπέσθων· τύπεσθε τυπέσθωσαν·

ὐκτικὰ ἐνεργητικὰ ἐνεστὼς καὶ παρατατικός·

τύπτοιμι τύπτοις τύπτοι· τύπτοιτον τυπτοίτην· τύπτοιμεν τύπτοιτε τύπτοιεν·

παρακείμενος·

τετύφοιμι τετύφοις τετύφοι· τετύφοιτον τετυφοίτην· τετύφοιμεν τετύφοιτε τετύφοιεν·

μέσος παρακείμενος·

τετύποιμι τετύποις τετύποι· τετύποιτον τετυποίτην τετύποιμεν τετύποιτε τετύποιεν·

ἀόριστος πρῶτος·

τύψαιμι τύψαις τύψαι· τύψαιτον τυψαίτην· τύψαιμεν τύψαιτε τύψαιεν·

ἀόριστος δεύτερος·

τύπτοιμι τύπτοις τύπτοι. τύπτοιτον τυπτοίτην. τύπτοιμεν τύ-
πτοιτε τύπτοιεν.

μέλλων πρῶτος.

τύψοιμι τύψοις τύψοι. τύψοιτον τυψοίτην. τύψοιμεν τύ-
ψοιτε τύψοιεν.

λκτικὰ παθητικὰ ἐνεστῶς καὶ παρατατικός.

τυπτοίμην τύπτοιο τύπτοιτο. τυπτοίμεθον τύπτοισθον τυπτοί
σθην. τυπτοίμεθα τύπτοισθε τύπτοιντο.

παρακείμενος.

τετυμμένος εἴην εἴης εἴη. τετυμμένω εἴητον εἰήτην. τετυμμέ
νοι εἴημεν εἴητε εἴησαν.

ἀόριστος πρῶτος.

τυφθείην τυφθείης τυφθείη. τυφθείητον τυφθειήτην. τυφθείημεν
τυφθείητε τυφθείησαν.

ἀόριστος δεύτερος.

τυπείην τυπείης τυπείη. τυπείητον τυπειήτην. τυπείημεν τυ
πείητε τυπείησαν.

μέσος ἀόριστος πρῶτος.

τυψαίμην τύψαιο τύψαιτο. τυψαίμεθον τύψαισθον τυψαί-
σθην. τυψαίμεθα τύψαισθε τύψαιντο.

μέσος ἀόριστος δεύτερος.

τυποίμην τύποιο τύποιτο. τυποίμεθον τύποισθον τυποί-
σθην. τυποίμεθα τύποισθε τύποιντο.

μέλλων πρῶτος.

τυφθησοίμην τυφθήσοιο τυφθήσοιτο. τυφθησοίμεθον τυφ-
θήσοισθον τυφθησοίσθην. τυφθησοίμεθα τυφθήσοισθε τυφ
θήσοιντο.

μέλλων δεύτερος.

τυπησοίμην τυπήσοιο τυπήσοιτο. τυπησοίμεθον τυπή-
σοισθον τυπησοίσθην. τυπησοίμεθα τυπήσοισθε τυπή
σοιντο.

μέσος μέλλων πρῶτος.

τυψοίμην τύψοιο τύψοιτο. τυψοίμεθον τύψοισθον τυψοίσθην
τυψοίμεθα τύψοισθε τύψοιντο.



μετ᾽ ὀλίγον μέλλων.

τετυψοίμην τετύψοιο τετύψοιτο. τετυψοίμεθον τετύ-
ψοισθον τετυψοίσθην. τετυψοίμεθα τετύψοισθε τετύ-
ψοιντο.

ὑποτακτικὰ ἐνεργητικὰ ἐνεστὼς καὶ παρατατικός.

ἐὰν τύπτω ἐὰν τύπτῃς ἐὰν τύπτῃ. ἐὰν τύπτητον ἐὰν τύπτητον
ἐὰν τύπτωμεν ἐὰν τύπτητε ἐὰν τύπτωσι.

παρακείμενος.

ἐὰν τετύφω ἐὰν τετύφῃς ἐὰν τετύφῃ. ἐὰν τετύφητον ἐὰν τετύ
φητον. ἐὰν τετύφωμεν ἐὰν τετύφητε ἐὰν τετύφωσι.

μέσος παρακείμενος.

ἐὰν τετύπω ἐὰν τετύπῃς ἐὰν τετύπῃ. ἐὰν τετύπητον ἐὰν τε
τύπητον. ἐὰν τετύπωμεν ἐὰν τετύπητε ἐὰν τετύπωσιν.

ἀόριστος πρῶτος.

ἐὰν τύψω ἐὰν τύψῃς ἐὰν τύψῃ. ἐὰν τύψητον ἐὰν τύψητον. ἐὰν
τύψωμεν ἐὰν τύψητε ἐὰν τύψωσιν.

ἀόριστος δεύτερος.

ἐὰν τύπω ἐὰν τύπῃς ἐὰν τύπῃ. ἐὰν τύπητον ἐὰν τύπητον.
ἐὰν τύπωμεν ἐὰν τύπητε ἐὰν τύπωσιν.

ὑποτακτικὰ παθητικὰ ἐνεστὼς καὶ παρατατικός.

ἐὰν τύπτωμαι ἐὰν τύπτῃ ἐὰν τύπτηται. ἐὰν τυπτώμεθον
ἐὰν τύπτησθον ἐὰν τύπτησθον. ἐὰν τυπτώμεθα ἐὰν τύπτη-
σθε ἐὰν τύπτωνται.

παρακείμενος.

τετυμμένος ἐὰν ὦ ἐὰν ᾖς ἐὰν ᾖ. τετυμμένω ἐὰν ἦτον ἐὰν
ἦτον. τετυμμένοι ἐὰν ὦμεν ἐὰν ἦτε ἐὰν ὦσιν.

ἀόριστος πρῶτος.

ἐὰν τυφθῶ ἐὰν τυφθῇς ἐὰν τυφθῇ. ἐὰν τυφθῆτον ἐὰν τυφθῆ
τον. ἐὰν τυφθῶμεν ἐὰν τυφθῆτε ἐὰν τυφθῶσιν

ἀόριστος δεύτερος.

ἐὰν τυπῶ ἐὰν τυπῇς ἐὰν τυπῇ. ἐὰν τυπῆτον ἐὰν τυπῆ-
τον. ἐὰν τυπῶμεν ἐὰν τυπῆτε ἐὰν τυπῶσιν.

μέσος ἀόριστος πρῶτος.

ἐὰν τύψωμαι ἐὰν τύψῃ ἐὰν τύψηται. ἐὰν τυψώμεθον ἐὰν τύ

ψησθον ἐὰν τύψησθον. ἐὰν τυψώμεθα ἐὰν τύψησθε ἐὰν τύψωνται.

μέσος ἀόριστος δεύτερος.

ἐὰν τύπωμαι ἐὰν τύπῃ ἐὰν τύπηται. ἐὰν τυπώμεθον ἐὰν τύπησθον ἐὰν τύπησθον. ἐὰν τυπώμεθα ἐὰν τύπησθε ἐὰν τύπωνται.

μετοχαὶ ἐνεργητικαὶ ἐνεστὼς καὶ παρατατικός.

ὁ τύπτων τοῦ τύπτοντος. ἡ τύπτουσα τῆς τυπτούσης. τὸ τύπτον τοῦ τύπτοντος.

παρακείμενος.

ὁ τετυφὼς τοῦ τετυφότος. ἡ τετυφυῖα τῆς τετυφυίας. τὸ τετυφὸς τοῦ τετυφότος.

μέσος παρακείμενος.

ὁ τετυπὼς τοῦ τετυπότος. ἡ τετυπυῖα τῆς τετυπυίας. τὸ τετυπὸς τοῦ τετυπότος.

ἀόριστος πρῶτος.

ὁ τύψας τοῦ τύψαντος. ἡ τύψασα τῆς τυψάσης. τὸ τύψαν τοῦ τύψαντος.

ἀόριστος δεύτερος.

ὁ τυπὼν τοῦ τυπόντος. ἡ τυποῦσα τῆς τυπούσης. τὸ τυπὸν τοῦ τυπόντος.

μέλλων πρῶτος.

ὁ τύψων τοῦ τύψοντος. ἡ τύψουσα τῆς τυψούσης. τὸ τύψον τοῦ τύψοντος.

μετοχαὶ παθητικαὶ ἐνεστὼς καὶ παρατατικός.

ὁ τυπτόμενος τοῦ τυπτομένου. ἡ τυπτομένη τῆς τυπτομένης. τὸ τυπτόμενον τοῦ τυπτομένου.

παρακείμενος.

ὁ τετυμμένος τοῦ τετυμμένου. ἡ τετυμμένη τῆς τετυμμένης. τὸ τετυμμένον τοῦ τετυμμένου.

ἀόριστος πρῶτος.

ὁ τυφθεὶς τοῦ τυφθέντος. ἡ τυφθεῖσα τῆς τυφθείσης. τὸ τυφθὲν τοῦ τυφθέντος.

ἀόριστος δεύτερος.

ὁ τυπεὶς τοῦ τυπέντος. ἡ τυπεῖσα τῆς τυπείσης. τὸ τυπὲν τοῦ τυπέντος.

μέσος ἀόριστος πρῶτος.

ὁ τυψάμενος τοῦ τυψαμένου. ἡ τυψαμένη τῆς τυψαμένης. τὸ τυψάμενον τοῦ τυψαμένου.

μέσος ἀόριστος δεύτερος.

ὁ τυπόμενος τοῦ τυπομένου. ἡ τυπομένη τῆς τυπομένης. τὸ τυπόμενον τοῦ τυπομένου.

μέλλων πρῶτος.

ὁ τυφθησόμενος τοῦ τυφθησομένου. ἡ τυφθησομένη τῆς τυφθησομένης. τὸ τυφθησόμενον τοῦ τυφθησομένου.

μέλλων δεύτερος.

ὁ τυπησόμενος τοῦ τυπησομένου. ἡ τυπησομένη τῆς τυπησομένης. τὸ τυπησόμενον τοῦ τυπησομένου.

μέσος μέλλων πρῶτος.

ὁ τυψόμενος τοῦ τυψομένου. ἡ τυψομένη τῆς τυψομένης. τὸ τυψόμενον τοῦ τυψομένου.

~~μέσος μέλλων δεύτερος.~~

μετ' ὀλίγον μέλλων

ὁ τετυψόμενος τοῦ τετυψομένου. ἡ τετυψομένη τῆς τετυψομένης. τὸ τετυψόμενον τοῦ τετυψομένου.

## Hæc errata ad gramaticã Demetrij chacõdylæ pertinent nõ ad gramaticã moschopuli

Τὰ ἐν τῇ γραμματικῇ εὑρισκόμενα σφάλματα ἐν ταύτῃ περιέχονται τῇ σελίδι καὶ τινὲς ἐπισημειώσεις.

Ἐν τῷ πρώτῳ φύλλῳ τοῦ πρώτου τετραδίου ἐπὶ τοῦ δευτέρου καταβατοῦ ἐν τῷ δωδεκάτῳ στίχῳ τὸ ἑξῆς δασυντέον. ἐν δὲ τῷ τρισκαιδεκάτῳ τὸ, καταπεραιοῖ περισπαστέον μόνον.

Ἐν δὲ τῷ ἑβδόμῳ φύλλῳ τοῦ πρώτου ἐν τῇ δευτέρᾳ σελίδι κατὰ τὸ τέλος λείπει ὦ Δημοσθένεες καὶ Δημόσθενες.

Ἐν τῷ ὀγδόῳ τοῦ αὐτοῦ ἐν τῇ πρώτῃ σελίδι καὶ ἐν τῷ ὀκτωκαιδεκάτῳ στίχῳ τὸ ἐφθάσας περιττεύει.

Ἐν δὲ τῷ δευτέρῳ φύλλῳ τοῦ δευτέρου τετραδίου ἐν τῷ δευτέρῳ καταβατῷ ἐν τῷ ἐνάτῳ στίχῳ λείπει ἡ εἰς πρὸ τοῦ ις. Ἐν δὲ τῷ τριακοστῷ τετάρτῳ στίχῳ τοῦ αὐτοῦ ἐγκλιτικῶς γραπτέον.

Ἐν τῷ τετάρτῳ φύλλῳ τοῦ δευτέρου ἐν τῇ δευτέρᾳ σελίδι ἐν τῷ εἰκοστῷ τετάρτῳ στίχῳ ἔσσαρμαι γραπτέον.

Ἐν τῷ ἑβδόμῳ φύλλῳ τοῦ αὐτοῦ ἐν τῇ πρώτῃ σελίδι ἐπὶ τοῦ τέλους λείπει. μέσος ἀόριστος δεύτερος. ἐὰν τύπωμαι τύπηαι τύπη τύπηται. δυ. ἐὰν τυπώμεθον τύπησθον τύπησθον. πλη. ἐὰν τυπώμεθα τύπησθε τύπωνται.

Ἐν τῷ τρίτῳ τετραδίῳ ἐν τῇ πρώτῃ σελίδι τοῦ πρώτου φύλλου ἐν τῷ εἰκοστῷ ὀγδόῳ στίχῳ οὕτω τονιστέον τὸ, ἰδίαν.

Ἐν τῷ τρίτῳ φύλλῳ τοῦ αὐτοῦ ἐν τῇ πρώτῃ σελίδι ἐν τῷ δεκάτῳ στίχῳ λείπει ποιησαίμην ποιήσαιο ποιήσαιτο. μέσος μέλλων πρῶτος. * falsũ

Ἐν δὲ τῷ τρισκαιδεκάτῳ τῆς αὐτῆς σελίδος γραπτέον ποιῆνται. * Falsũ

Ἐν τῷ τρίτῳ φύλλῳ τοῦ τρίτου τετραδίου ἐν τῇ δευτέρᾳ σελίδι ἐν τῷ εἰκοστῷ πέμπτῳ στίχῳ λείπει. εὐκτικὰ ἐνεργητικὰ ἐνεστῶτος καὶ παρατατικοῦ. βοάοιμι βοῷμι βοάοις βοῷς βοάοι βοῷ. βοάοιτον βοῷτον βοαοίτην βοῴτην. βοάοιμεν βοῷμεν βοάοιτε βοῷτε βοάοιεν βοῷεν. παρακείμενος. βεβοήκοιμι βεβοήκοις. ἀόριστος πρῶτος. βοήσαιμι βοήσαις. μέλλων πρῶτος βοήσοιμι βοήσοις. * falsũ

Ἐν τῷ πέμπτῳ φύλλῳ τοῦ αὐτοῦ ἐπὶ τῆς […] δος ἐν τῷ εἰκοστῷ στίχῳ μεταγραπτέον. […] σούσθω. χρυσοέσθων χρυσούσθων. χρυσοέ[…] σθων. χρυσόεσθε χρυσοῦσθε. χρυσοέσθωσαν […] σθωσαν.

Ἐν τῷ ἑβδόμῳ φύλλῳ τοῦ αὐτοῦ τρισὶ στίχοις πρὸ [τοῦ τέ]λους τῆς πρώτης σελίδος βέλτιον ἂν λέγοιτο οὕτως. [illegible] […]κὸς ἀόριστος ἐπί τε τοῦ δευτέρου καὶ τρίτου τῶν ἑνικῶν καὶ ἐπὶ τοῦ τρίτου τῶν πληθυντικῶν ἐστιν ἐν χρήσει μόνον. οἷον τύψας τύψε τύψαν.

Ἐν τῷ πρώτῳ φύλλῳ τοῦ τετάρτου τετραδίου ἐπὶ τῆς δευτέρας σελίδος ἐν τῷ ἑβδόμῳ στίχῳ λείπει τὸ, ἵστασθαι. μετοχαὶ παθητικαὶ ἐνεστῶτος καὶ παρατατικοῦ.

Ἐν τῷ πέμπτῳ φύλλῳ τοῦ τετάρτου τετραδίου ἐν τῇ πρώτῃ σελίδι ἐν τῷ δεκάτῳ στίχῳ περισπᾶσθαι γραπτέον. Ἐν τῷ ἑβδόμῳ φύλλῳ τοῦ αὐτοῦ ἐν τῇ πρώτῃ σελίδι ἐν τῷ τριακοστῷ στίχῳ προσθετέον. ἔτι ἔνια τῶν εἰς ως ληγόντων ἰσοσυλλάβων καὶ ἀττικῶς κλινομένων προφέρονται ἐπὶ τῆς αἰτιατικῆς τῶν ἑνικῶν ἄνευ τοῦ ν. οἷον τὸν ἄθω. τὸν λαγὼ τὴν κῶ. τὴν τέω. τὴν ἕω. ἔτι τὰ εἰς ος καθαρὸν λήγοντα παραληγόμενα τῷ α. οἱ ἀττικοὶ τρέποντες τὸ ο μικρὸν εἰς ω μέγα καὶ τὸ α εἰς ε κλίνουσιν. οἷον μενέλαος μενέλεως. ναὸς νεώς. — Falsum

Ὡσαύτως ἐπὶ τῆς αὐτῆς σελίδος ἐν τριακοστῷ τετάρτῳ στίχῳ προσκείσθω. ἔτι τὰ εἰς ης καθαρὸν λήγοντα τῶν ὀνομάτων τῆς πρώτης κλίσεως τῶν συνῃρημένων καὶ τῷ ε παραληγόμενα συναιροῦνται ἐπὶ τῆς εὐθείας τῶν ἑνικῶν. οἷον περικλέης περικλῆς. σοφοκλέης σοφοκλῆς. τούτων δὲ διττῆς οὔσης συναιρέσεως ἐπὶ τῶν πλαγίων ἐπὶ μὲν τῆς γενικῆς καὶ αἰτιατικῆς τῶν ἑνικῶν ἡ πρώτη συναίρεσις ἐστὶν ἐν χρήσει μόνον. οἷον περικλέεος περικλέους περικλέεα περικλέα. ἐπὶ δὲ τῆς δοτικῆς τῶν ἑνικῶν ἡ δευτέρα. οἷον περικλέει περικλεῖ. — Falsũ

Ἐν τῷ τετάρτῳ φύλλῳ τοῦ πέμπτου τετραδίου ἐπὶ τῆς δευτέρας σελίδος ἐν εἰκοστῷ ὀγδόῳ στίχῳ γραπτέον ὤρυχα.

68 128

2 Persuadeat sibi me in hanc pulcherrimam uirtutem ultro etiam impendere iubentur. In alijs erat iubet. Si me uertas in ut, ac mox ur in ut, erit commoda lectio. Adhuc illud persuadeat sibi ut in hanc pulcherrimam uirtutem, ultro etiam impendere iuuet, ut tota cogitatio &c.

EPISTOLA CXV.

5 Quid si fœminæ cirro crispat. Hic locus absq; codicum auxilio restitui non potest, Itaq; nolui me torquere sudore infrugifero, quandoquidem parum opis adferebant exemplaria.

## LVCII ANNEI SENECAE AD LVCILIVM EPISTOLARVM LIB. VICESIMVSPRIMVS.

### EPIST. CXVI. Quod sapientē non decet orationis solicita concinnitas. De pulchritudine animi. Et quod omnium hic non solida, sed bracteata & ficta felicitas est.

NImis anxium esse te circa uerba & compositionem mi Lucili nolo. Habeo maiora quæ cures, quàm quæ scribas. Quęre quid scribas, non quemadmodum: & hoc ipsum, non ut scribas, sed ut sentias, ut illa quæ senseris, magis applices tibi, & ueluti signes. Cuiuscunq; orationē uideris solicitam & politam, scito animū quoq; nō minus esse pusillis occupatum. Magnus ille, remissius loquit, & securius. Quæcūq; dicit, plus habent fiduciæ, quàm curæ. Nosti complures iuuenes, barba & coma nitidos, de capsula tortos, nihil ab illis speraueris forte, nihil solidum. Oratio cultus animi est, si circumtunsa est, & fucata, & manufacta, ostendit illum quoq; non esse sincerum, & habere aliquid fracti. Non est ornamentū uirile concinnitas. Si nobis animum boni uiri liceret inspicere, O quàm pulchram faciem, quàm sanctam, quàm ex magnifico placidoq; fulgentē, uideremus, hinc iusticia, illinc fortitudine, hinc temperantia, prudētiaq; lucentibus. Præter has frugalitas, & continentia, & tolerantia, & libertas, comitasq;, & quod credas in homine rarum, humanitatis bonum, splendoremq; illi suum affunderent. Tunc prouidentia, cum elegātia, & ex istis magnanimitas eminentissima, quantū dij boni decoris illi, quantum ponderis, grauitatisq; adderent, quāta esset cum gratia autoritas? Nemo illum amabilem, qui non simul uenerabilem diceret, Siquis uiderit hanc faciem altiorē fulgentioremq;, quàm cerni inter humana cōsueuit, nonne uelut numinis occursu obstupefactus resistat, & ut fas sit uidisse, tacitus precetur? Tamen euocante ipsum uultus benignitate productus, adoret ac supplicet: & diu contemplatus multū extantem, supraq; mensuram solitorū inter nos aspici, elatam oculis, mite quiddam, sed nihilominus uiuido igni flagrantibus, Tūc demum illam Vergilij nostri uocem uerens atq; attonitus emittat. O quàm te memorē uirgo, nāq; haud tibi uultus Mortalis, nec uox hominem sonat. Sis felix nostrumq; leues quæcunq; laborem. Aderit, leuabitq; si colere eam uoluerimus. Colitur autem non taurorum opimis corporibus cōtrucidatis, nec auro argentoq; suspenso, nec in thesauros stipe infusa, sed pia & recta uoluntate. Nemo non, inquam, amore eius arderet, si nobis illam uidere contingeret. Nunc enim multa obsigillant, & aciem nostram, aut splendore nimio repercutiunt, aut obscure retinent. Sed quemadmodum uisus oculorum quibusdam medicamentis acui solet & repurgari, sic & nos, si aciem animi liberare impedimentis uoluerimus, poterimus perspicere uirtutem, etiam obrutam corpore, etiam paupertate opposita, & humilitate, & infamia obiacentibus. Cernemus, inquam, pulchritudinem illam, quamuis sordido obtectam. Rursus æque maliciam & erumnosi animi ueternum perspiciemus, quamuis multus circa diuitiarum radiantium splendor impediat, & intuentem, hinc honorum, illinc magnarū potestatū falsa lux uerberet. Tunc intelligere nobis licebit, quàm contemnenda miremur, simillimi pueris, quibus omne ludicrum in precio est. Parentibus quippe, nec minus fratribus præferunt paruo ære empta monilia. Quid ergo inter nos & illos interest, ut Ariston ait, nisi qđ nos circa tabulas & statuas insanimus, charius inepti. Illos reperti in littore calculi leues, & aliquid habentes uarietatis delectant: nos ingentiū maculæ columnarum: siue ex Aegyptijs arenis, siue ex Africæ solitudinibus

aliter, tunc

...λλῳ τοῦ αὐτοῦ ἐπὶ τῆς πρώτης σελί-
...ῳ στίχῳ περιττεύει τό, ὁμοίως προστεθή-
...μετὰ τὸ δὲ. ἐξαιρείσθω καὶ τὰ, ἐν τῷ ἑβδό-
τοῦ αὐτοῦ ἐπὶ τῆς δευτέρας σελίδος ἐν τῷ εἰκο-
...ρτῳ στίχῳ γραπτέον τοῦ ω.
...ευτέρῳ φύλλῳ τοῦ ἕκτου τετραδίου ἐπὶ τῆς πρώ-
...ης σελίδος ἐν τῷ ἐννεακαιδεκάτῳ στίχῳ. γραπτέον λέ-
ξω, ἐν τῷ τετάρτῳ φύλλῳ τοῦ αὐτοῦ ἐπὶ τῆς πρώ...
λίδος ἐν τῷ τρίτῳ στίχῳ προστεθήτω. σεσημειώσθω μέν-
τοι ἔνια τῶν προστακτικῶν τῶν εἰς ε καθαρὸν ληγόντων με-
ταποιήσει τοῦ ε εἰς θ. κλίνεσθαι. οἷον ἴε ἴθι ἴτω. κλύε κλῦθι.
ἵλαε ἵλαθι. δίεδιε δέδιθι. ἔτι ἐν τῷ τετάρτῳ τοῦ αὐτοῦ ἐπὶ
τῆς δευτέρας σελίδος ἐν τῷ τριακοστῷ δευτέρῳ στίχῳ
προσκείσθω καὶ παθητικῶν. ἐν τῷ ὀγδόῳ φύλλῳ τοῦ αὐτοῦ
ἐπὶ τῆς δευτέρας σελίδος ἐν τῷ ἕκτῳ στίχῳ γραπτέον
κατωμόσεως. ἐν δὲ τῷ ὀγδόῳ ἀπωμόσεως.]
ἐν τῷ τρίτῳ φύλλῳ τοῦ ἑβδόμου τετραδίου ἐπὶ τῆς πρώ-
της σελίδος ἐν τῷ δεκάτῳ ἕκτῳ στίχῳ προστεθήτω ἀ-
πὸ τοῦ ἀμφιέω.

τέλος.

2

2